τίθεσιν πρὸς τὸ ὀλίγῳ. Καὶ οἱ ἄλλοι μὲν σύλλογοι δὲν εἶχον μακρὸν χρόνον πρὸς διδασκαλίαν, πρὸ πάντων ὅμως τὰ δικαστήρια, ἐν οἷς ὁ χρόνος τοῦ λέγοντος ὡρίζετο διὰ τῆς κλεψύδρας. Τούτου ἕνεκεν ἀκούονται συχνάκις φράσεις ἀναφερόμεναι εἰς τὴν βραχύτητα τοῦ χρόνου, Πλ. ἐν 'Απολογ. 19, Α. «'Επιχειρητέον ὑμῶν ἐξελέσθαι τὴν διαβολήν, ἣν ὑμεῖς ἐν πολλῷ χρόνῳ ἔσχετε, ταύτην ἐν οὕτως ὀλίγῳ χρόνῳ».

1. Καὶ ἐν τῷ κεφαλαίῳ τούτῳ ὁ Σωκράτης ἐπιθυμεῖ νὰ μάθῃ περὶ τί εἶναι πειθὼ ἡ ῥητορική· διότι αὕτη δὲν περιορίζεται μόνον ἐν τῷ δικαίῳ καὶ ἀδίκῳ, ἀλλ' ἐκτείνεται καὶ εἰς ἄλλα, ἐν οἷς ὅμως ὁ ῥήτωρ οὐδεμίαν συμβουλὴν δύναται νὰ δώσῃ. 'Εντεῦθεν ἄρχεται ἡ ἐξέτασις τοῦ ζητήματος ὑπὸ ἠθικὴν ἔποψιν.

2. Οἱ ἱερεῖς τοῦ 'Ασκληπιοῦ ἐν τῇ ἀρχαιότητι διαδοχικῶς ἀνέπτυσσον τὴν ἰατρικὴν καὶ ὑπὸ τούτων ἱδρύθησαν ἐν πολλαῖς ἑλληνικαῖς πόλεσι σχολαὶ ἰατρικῆς, ὡς ἐν Κῷ, ἐν Κνίδῳ, ἐν 'Ρόδῳ καὶ ἐν τῇ μεγάλῃ 'Ελλάδι. Τοιοῦτοι ἰατροὶ ἐμισθοῦντο ὑπὸ τῆς πολιτείας ἐκλεγόμενοι ὑπὸ τοῦ λαοῦ, οἵτινες ἐλέγοντο ἰατροὶ δημοσιεύοντες. Ὅρα 514 D.

3. Ἡ πρόθεσις αὕτη καὶ ἡ ἑπομένη ἀποδίδονται εἰς τὴν ἐννοουμένην γενικὴν αἵρεσεως.

4. Ἡ λέξις ἐν διαφόροις ἐποχαῖς ἔσχε διάφορον σημασίαν. Παρ' 'Ομήρῳ σημαίνει πλῆθος ἐμψύχων ὄντων συνδεομένων διὰ τοῦ αὐτοῦ ἔθους, καὶ δὴ ἔθνεα μυιάων, μελισσάων, ὀρνίθων, χοίρων. 'Απὸ Θουκυδίδου καὶ ἐξῆς ἐσήμαινε τοὺς λαούς. Παρὰ δὲ τοῖς μεταγενεστέροις συγγραφεῦσιν, ὡς παρὰ Δίωνι τῷ Κασσίῳ, ἐδήλου τὰς ἐπαρχίας τῆς 'Ρωμαϊκῆς αὐτοκρατορίας καὶ τέλος παρὰ τοῖς ἐκκλησιαστικοῖς συγγραφεῦσι τοὺς μὴ δεξαμένους τὴν χριστιανικὴν θρησκείαν. Ὁ Πλάτων διὰ τῆς λέξεως δηλοῖ ὡρισμένας τάξεις, ὡς ἐν Σοφιστ. 242 D τὸ 'Ελεατικὸν ἔθνος, ἐν Πολιτ. 260 B τὸ κηρυκικὸν γένος=οἱ κήρυκες.

5. Τὰ χειρόγραφα ἔχουσιν ἄλλο τι ἤ, ὅπερ παρέχει δυσκολίαν. Ὁ Bekker καὶ ὁ Hirschig ὀβελίζουσι τὸν ἤ, ὁ δὲ Jahn ἐννοεῖ τὸ ἔστιν ἢ γίγνεται, ὡς συνήθως ἐν τοιαύτῃ φράσει. Ἂν τις λοιπὸν δέχηται τὴν ἑρμηνείαν ταύτην, ἡ φράσις σημαίνει· ἄλλο τι γίνεται

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στῃ αἱρέσει τὸν τεχνικώτατον δεῖ αἱρεῖσθαι· οὐδ' ὅταν τειχῶν περὶ οἰκοδομήσεως ἢ λιμένων κατασκευῆς ἢ νεωρίων[1], ἀλλ' οἱ ἀρχιτέκτονες· οὐδ' αὖ ὅταν στρατηγῶν αἱρέσεως πέρι[2] ἢ τάξεως τινος πρὸς πολεμίους[3] ἢ χωρίων καταλήψεως συμβουλὴ ᾖ, ἀλλ' οἱ στρατηγικοί· τότε συμβουλεύσουσιν, οἱ ῥητορικοὶ δὲ οὔ· ἢ πῶς λέγεις[4], ὦ Γοργία τὰ τοιαῦτα; ἐπειδὴ γὰρ αὐτός[5] τε φῂς ῥήτωρ εἶναι καὶ ἄλλους ποιεῖν ῥητορικούς, εὖ ἔχει τὰ[6] τῆς σῆς τέχνης παρὰ σοῦ πυνθάνεσθαι. καὶ ἐμὲ νῦν νόμισον καὶ τὸ σὸν σπεύδειν[7]· ἴσως γὰρ καὶ τυγχάνει τις τῶν ἔνδον ὄντων[8] μαθητής σου

(θὰ συμβῇ) ἢ ὁ ῥητορικὸς δὲν θὰ συμβουλεύσῃ; Βεβαίως ἄλλο. Ἡ ἀπόκρισις αὕτη ἐννοεῖται. Ἐπειδὴ ὅμως τὰ ἑπόμενα προϋποθέτουσιν οὐχὶ πρᾶξιν, ἀλλὰ πρόσωπον, τὸ χωρίον ἤθελεν εἶναι σύμφωνον πρὸς ταῦτα, ἂν εἶχεν οὕτωσί. Ἄλλος τις ἢ τότε ὁ ῥητορικὸς συμβουλεύσει; Βεβαίως ἄλλος, ἤτοι ὁ ῥητορικὸς δὲν θέλει συμβουλεύσει καὶ δὲν θέλει συμβουλεύσει, ὅταν...ἀλλ' οἱ ἀρχικέκτονες...ἀλλ' οἱ στρατηγικοὶ τότε συμβουλεύουσιν, οἱ ῥητορικοὶ δὲ οὔ. Ὅτι εἶναι οἱ ἀρχιτέκτονες καὶ οἱ στρατηγικοὶ ἐν τοῖς ἑπομένοις, τὸ αὐτὸ εἶναι ἐν τῷ προκειμένῳ χωρίῳ τὸ ἄλλος, ὅπερ εἰκάζομεν ὡς δυνάμενον νὰ ἀντικαταστήσῃ τὸ ἄλλο.

1. Οὕτως ἐκαλοῦντο αἱ στοαὶ αἱ πλαγίως πρὸς τοὺς λιμένας κείμεναι καὶ χρησιμεύουσαι πρὸς παρασκευὴν καὶ διατήρησιν τῶν νηῶν.

2. Ἡ ἀναστροφὴ γίνεται συνηθέστερον μὲν παρὰ τοῖς ποιηταῖς, οὐχὶ δὲ σπανίως καὶ παρὰ τοῖς πεζογράφοις, Πλάτ. ἐν Φιλήβ. 49, Α. Θουκυδ. I, 76.

3. Δηλαδὴ ὅταν ᾖναι ὁ λόγος, τίνα τάξιν νὰ λάβωμεν ἐναντίον τῶν πολεμίων.

4. Τὸ λέγειν ἐνταῦθα ἔχει τὴν σημασίαν τοῦ ἐννοεῖν, ὡς καὶ ἐν Φαίδρ. 265, C. «Μαθήσει ἐνθένδε σαφέστερον τί λέγω», Αἰσχύλ. ἐν Ἑπτὰ ἐπὶ Θήβ. 609.

5. Τὸ αὐτὸς ποιεῖ ἀντίθεσιν πρὸς τὸ ἄλλους.

6. Δὲν εἶναι ὑποκείμενον τοῦ ἔχει, ἀλλ' ἀντικείμενον τοῦ πυνθάνεσθαι, ὅπερ συντάσσεται γενικῇ, ὅταν τὸ ἀντικείμενον ᾖναι πρόσωπον, Ξενοφ. ἐν Κύρ. Παιδ. 1, 4, 7. Ὀρθῶς λέγει τὰ τῆς τέχνης καὶ οὐχὶ τὸ τῆς τέχνης, διότι δὲν πρόκειται ἤδη περὶ τῆς οὐσίας τῆς ῥητορικῆς, ἀλλὰ περὶ τῶν ἐνεργειῶν αὐτῆς, ὡς λέγει ὁ Cron.

7. Τὸ σπεύδειν κυρίως εἶναι ἀμετάβατον, ὅπερ συνηθέστερον παρὰ ποιηταῖς γίνεται μεταβατικόν, Σοφοκλ. ἐν Ἠλέκτρ. 251. «Τὸ σὸν σπεύδειν ἅμα, καὶ τοὐμὸν αὐτῆς», ὅμως ἐνίοτε καὶ παρὰ τοῖς πεζογράφοις. Ἡρόδοτ. I, 206. «Παῦσαι σπεύδων τὰ σπεύδεις.» Παράβαλλ. Θουκυδ. VI, 39. Ἡ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βουλόμενος γενέσθαι, ὡς ἐγώ τινας σχεδὸν[1] καὶ συχνοὺς αἰσθάνομαι, οἳ ἴσως αἰσχύνοιντ'[2] ἄν σε ἀνερέσθαι· ὑπ' ἐμοῦ οὖν ἀνερωτώ-
D μενος νόμισον καὶ ὑπ' ἐκείνων ἀνερωτᾶσθαι· τί ἡμῖν, ὦ Γοργία, ἔσται, ἐάν σοι συνῶμεν[3]; περὶ τίνων τῇ πόλει συμβουλεύειν οἷοί τε ἐσόμεθα; πότερον περὶ δικαίου μόνον καὶ ἀδίκου ἢ καὶ περὶ ὧν νῦν δὴ Σωκράτης ἔλεγε; πειρῶ οὖν ἀποκρίνεσθαι.

ΓΟΡ. Ἀλλ' ἐγώ σοι πειράσομαι, ὦ Σώκρατες, σαφῶς ἀποκαλύψαι[4] τὴν τῆς ῥητορικῆς δύναμιν ἅπασαν· αὐτὸς γὰρ καλῶς ὑφηγήσω[5]. οἶσθα γὰρ δήπου ὅτι τὰ νεώρια ταῦτα καὶ τὰ τείχη
E τὰ Ἀθηναίων[6] καὶ ἡ τῶν λιμένων κατασκευὴ ἐκ τῆς Θεμιστο-

ὅλη φράσις σημαίνει, φροντίζω διὰ τὸ συμφέρον σου. Οἱ σοφισταὶ εἶχον τὸ συμφέρον νὰ ἔχωσι πλείονας μαθητάς, ὅπως πλείονα μισθὸν λαμβάνωσιν.

8. Ἐν τοῖς διαλόγοις ὑποτίθενται παρόντες καὶ πολλοὶ ἀκροαταί.

1. Τὸ σχεδὸν δὲν προσδιορίζει τὸ αἰσθάνομαι, ἀλλὰ τὸ συχνούς. Ὁ Σωκράτης τὸ κατ' ἀρχὰς μετεχειρίσθη μετριωτέραν ἔκφρασιν, ἀποβλέψας ὅμως πρὸς τοὺς ἀκροατὰς ἐνισχύει ταύτην. Τοῦτο εἶναι λίαν δραματικόν. Παράβαλλ. Φαίδ. 58 Δ. Πρὸς ἐξακολούθησιν τοῦ διαλόγου ὁ Σωκράτης κεντρίζει τὴν φιλοχρηματίαν τοῦ σοφιστοῦ. Ὄντως ὁ Πρωταγόρας διὰ τοιαύτην σύστασιν ὁμολογεῖ χάριτας τῷ Σωκράτει.

2. Ὁ ὁρισμὸς τοῦ Ἀριστοξένου καὶ ἄλλων γραμματικῶν, ὅτι αἰδὼς μὲν εἶναι πρὸ τῆς πράξεως, αἰσχύνη δὲ μετὰ τὴν πρᾶξιν δὲν ἐφαρμόζεται πανταχοῦ, ὡς ἐνταῦθα. Παράβαλλ. καὶ Θουκυδ. I, 84.

3. Τεχνικὸς ὅρος πρὸς δήλωσιν τῆς ὁμιλίας διδασκάλου καὶ μαθητῶν, Παράβαλλ. καὶ Πρωταγόρ. 313, Β. Ἀπολογ. 19, Ε. Τοιαῦτα καὶ τὸ συγγίγνεσθαι καὶ συνδιατρίβειν.

4. Μετά τινος κομπορρημοσύνης ἐπιχειρεῖ νὰ διδάξῃ τὸν φιλόσοφον, ὅστις διὰ τοῦτο εἰρωνεύεται τὸν σοφιστὴν 460 Α.

5. Ἡ διεύθυνσις τῆς συζητήσεως, ἣν ἔδωκεν ὁ Σωκράτης, ἤρεσεν εἰς τὸν σοφιστὴν καὶ διὰ τοῦτο μεταχειρίζεται τὰ αὐτὰ παραδείγματα. Τὸ ἀντίθετον ῥῆμα τοῦ ὑφηγεῖσθαι εἶναι τὸ ὑφέπεσθαι, Πλάτ. ἐν Φαίδωνι 82, Δ καὶ Θουκυδ. I. 78.

6. Ἡ φράσις αὕτη διαφόρως φέρεται ἐν τοῖς διαφόροις χειρογράφοις, τὰ τείχη τῶν Ἀθηναίων, τὰ τείχη τὰ Ἀθηναίων καὶ τὰ τείχη Ἀθηναίων. Προετιμήσαμεν τὴν δευτέραν γραφὴν ἕνεκα τῶν ἑξῆς. Ἡ φράσις πλασθεῖσα τὸ κατ' ἀρχὰς ὑπὸ τῶν ῥητόρων θελόντων νὰ κολακεύσωσι τὸν δῆμον τῶν Ἀθηναίων κατ' ὀλίγον ἐγένετο ἐπίσημος φράσις τῆς πολιτείας. Ἥρμοζε λοιπὸν εἰς τὸν σοφιστὴν νὰ μετα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κλέους[1] συμβουλῆς γέγονε, τὰ δ'[2] ἐκ τῆς Περικλέους, ἀλλ' οὐκ ἐκ τῶν[3] δημιουργῶν.

ΣΩ. Λέγεται[4] ταῦτα, ὦ Γοργία, περὶ Θεμιστοκλέους· Περικλέους[5] δὲ καὶ αὐτὸς ἤκουον ὅτε συνεβούλευεν ἡμῖν περὶ τοῦ διὰ μέσου τείχους[6].

ΓΟΡ. Καὶ ὅταν γέ τις αἵρεσις ᾖ ὧν δὴ σὺ ἔλεγες, ὦ Σώκρατες, ὁρᾷς ὅτι οἱ ῥήτορές εἰσιν οἱ συμβουλεύοντες καὶ οἱ νικῶντες τὰς γνώμας[7] περὶ τούτων. 456

χειρισθῇ τοιαύτην κολακευτικὴν φράσιν. Τὰ τείχη ταῦτα ὠνομάζοντο μακρὸν τεῖχος, μακρὰ τείχη καὶ μακρὰ σκέλη,

1. Ὁ Θεμιστοκλῆς ὠχύρωσε τὰς Ἀθήνας καὶ τὸν Πειραιᾶ, Θουκυδ. 1,90—93.

2. Ἑτέθη ὁ δέ, ἐν ᾧ δὲν προηγεῖται ὁ μέν.

3. Κυρίως ἔπρεπε νὰ εἴπῃ ἐκ τῆς τῶν δημιουργῶν, ὅπερ καὶ ἔπραξεν ὁ Κοραῆς καὶ ὁ Hirschig. Δὲν εἶναι ὅμως ἀνάγκη· διότι τοιαῦται βραχυλογίαι εἶναι συχναὶ ἐν τῇ ἑλληνικῇ γλώσσῃ, Ξενοφ. ἐν Ἀπομν. II, 4, 5. «Ὁ γὰρ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον τῷ φίλῳ καὶ τῆς τῶν ἰδίων κατασκευῆς καὶ τῶν κοινῶν πράξεων.» Τοιαῦται βραχυλογίαι γίνονται συχνάκις ἐν τοῖς συγκριτικοῖς, Εὐριπίδ. Ἀνδρομάχ. 220.

4. Ὁ μὲν Σωκράτης ἐγεννήθη τὸ 469 π. Χ., ὁ δὲ Θεμιστοκλῆς ἐτελεύτησε μετὰ τὸ 465 ἐν Περσίᾳ. Ὥστε δὲν ἠδύνατο νὰ ἀκούσῃ τὰς συμβουλὰς αὐτοῦ. Διὰ τῆς μικρολόγου κατὰ τὸ φαινόμενον ἀκριβείας ὁ Σωκράτης σκοπεῖ, ὅπως σβέσῃ τοῦ σοφιστοῦ τὴν θερμότητα, ἣν δεικνύει διὰ τῆς φράσεως, οἶσθα γὰρ δήπου, ὡς καὶ ἐν 470 D.

5. Ὁ Περικλῆς ἤρξατο πολιτευόμενος κατὰ τὸ 468 π. Χ.

6. Τὸ διὰ μέσου τεῖχος κείμενον μεταξὺ τῶν μακρῶν σκελῶν πρὸς τὸν Πειραιᾶ ἠγέρθη τὸ 444 π. Χ.

7. Ἡ αἰτιατικὴ αὕτη ἔχει μὲν τύπον ἀντικειμένου, εἶναι ὅμως προσδιορισμός· διότι οἱ νικῶντες δὲν νικῶσι τὰς γνώμας, ἀλλὰ τοὺς ἀντιδοξοῦντας ἐν ταῖς γνώμαις. Ὁπωσδήποτε ὅμως ἐγένετο φράσις συχνάκις εὑρισκομένη παρὰ τοῖς ἀρχαίοις, Ἀριστοφ. ἐν Νεφέλ. 432. «Ἐν τῷ δήμῳ γνώμας οὐδεὶς νικήσει ἢ σύ.» καὶ ἐν Σφηξὶ 597· «Κἀν τῷ δήμῳ γνώμην οὐδεὶς πώποτε ἐνίκησεν, ἐὰν μὴ εἴπῃ.» Ὁμοία φράσις εἶναι καὶ τὸ νικῶ Ὀλύμπια ἀντὶ ἐν Ὀλυμπίοις, Θουκυδ. 1, 126. «Νομίσας ἑορτήν τε τοῦ Διὸς μεγίστην εἶναι καὶ ἑαυτῷ τι προσήκειν Ὀλύμπια νενικηκότι.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Ταῦτα καὶ[1] θαυμάζων, ὦ Γοργία, πάλαι ἐρωτῶ, ἥτις ποτὲ ἡ δύναμίς ἐστι τῆς ῥητορικῆς. δαιμονία[2] γάρ τις ἔμοι γε καταφαίνεται τὸ μέγεθος οὕτω σκοποῦντι.

ΧΙ. ΓΟΡ. Εἰ[3] πάντα γε εἰδείης, ὦ Σώκρατες, ὅτι ὡς ἔπος εἰπεῖν ἁπάσας τὰς δυνάμεις συλλαβοῦσα[4] ὑφ' αὑτῇ[5] ἔχει· μέγα δέ σοι τεκμήριον ἐρῶ· πολλάκις γὰρ ἤδη ἔγωγε μετὰ τοῦ ἀδελφοῦ[6] καὶ μετὰ τῶν ἄλλων ἰατρῶν εἰσελθὼν[7] παρά τινα τῶν καμνόντων οὐχὶ ἐθέλοντα ἢ φάρμακον πιεῖν[8] ἢ τεμεῖν ἢ[9] καῦσαι

B

1. Ὁ καὶ εἶναι ἐπιδοτικός, δηλ. οὐ μόνον βλέπω, ἀλλὰ καὶ θαυμάζων ἐρωτῶ.

2. Ὁ Ὅμηρος μεταχειρίζεται συνήθως τὸ ἐπίθετον ἐν προσφωνησεσιν εἰς θεοὺς ἢ θεάς. Βραδύτερον ἐπεξετάθη ἡ χρῆσις τούτου καὶ σημαίνει τὸ ἔκτακτον, τὸ ὑπεράνθρωπον. Ἐνταῦθα εἰρωνικῶς ὁ Σωκράτης εἰκονίζεται ὡς θαυμαστὴς τῆς ῥητορικῆς.

3. Ἐπειδὴ λείπει ἡ ἀπόδοσις, ἐξηγοῦσι τὴν ὑπόθεσιν ὡς εὐχὴν διὰ τοῦ εἴθε, utinam. Τοῦτο δὲν εἶναι ὀρθόν· διότι ἐκ τῆς προηγουμένης προτάσεως ἐξάγεται ἡ ἀπόδοσις, καὶ μᾶλλον ἔτι σοι καταφαίνοιτ' ἂν τοιαύτη. Ἡ ἀπόδοσις συχνάκις παραλείπεται, ὁσάκις ὁ λέγων θέλει νὰ ἀποφύγῃ ταύτην ἀφίνων εἰς τὸν ἀκούοντα, ἵνα σταθμίσῃ τὸ βάρος τῆς ἐννοουμένης ἀποδόσεως, ὡς Ἰλιάδ. Α. 139. «Ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί, ἅρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται.»

4. Ὁ σοφιστὴς ἐκ τοῦ εἰρωνικοῦ τρόπου τοῦ Σωκράτους κολακευόμενος πειρᾶται, ἵνα ἀνυψώσῃ τὴν τέχνην αὐτοῦ καὶ ἀφέλῃ πᾶσαν κατ' αὐτῆς μομφήν. Εἶναι βραχυλογία ἀντί, ἁπασῶν τῶν τεχνῶν τὰς δυνάμεις συλλαβοῦσα. Ἐν ἄλλαις λέξεσιν εἶναι ἡ τέχνη τῶν τεχνῶν. Ὅρα καὶ Φίληβ. σελ. 58.

5. Ἡ ὑπὸ μετὰ δοτικῆς σημαίνει τὸ ὑποκάτω ἐν τῇ σημασίᾳ τῆς ὑποταγῆς, Ἰσοκράτ. ἐν Πανηγυρ. Β. «Τῶν Ἑλλήνων οἱ μὲν ὑφ' ὑμῖν, οἱ δὲ ὑπὸ Λακεδαιμονίοις εἰσίν.

6. Ἐννοεῖ τὸν Ἡρόδικον ὃν ὠνόμασεν ἐν τοῖς ἔμπροσθεν, 448 B.

7. Ἐνταῦθα ἔχομεν δύο προθέσεις, τὴν μὲν ἐν τῷ ῥήματι, τὴν δὲ παρὰ τῷ ὀνόματι· ἡ πρώτη σημαίνει τὴν διεύθυνσιν εἰς τὴν οἰκίαν τοῦ πάσχοντος, ἡ δὲ δευτέρα τὴν προσέγγισιν παρὰ τῷ ἀσθενεῖ.

8. Οἱ ἀρχαῖοι ἰατροὶ ἦσαν φαρμακευταὶ καὶ χειρουργοι. Ἐν ἀρχῇ αἱ τέχναι καὶ ἐπιστῆμαι γεννῶνται συμφυεῖς, προϊόντος δὲ τοῦ χρόνου διαχωρίζονται.

9. Ὁ Blomfield (ἐν Αἰσχύλ. Ἀγαμέμν. στίχ. 822) νομίζει, ὅτι πρέπει νὰ γραφῇ τεμεῖν καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρασχεῖν[1] τῷ ἰατρῷ, οὐ δυναμένου τοῦ ἰατροῦ πεῖσαι, ἐγὼ ἔπεισα, οὐκ ἄλλῃ τέχνῃ ἢ τῇ ῥητορικῇ. φημὶ δὲ καὶ εἰς πόλιν ὅποι[2] βούλει ἐλθόντα[3] ῥητορικὸν ἄνδρα καὶ ἰατρόν, εἰ δέοι[4] λόγῳ[5] διαγωνίζεσθαι ἐν ἐκκλησίᾳ ἢ ἐν ἄλλῳ τινὶ συλλόγῳ, ὁπότερον[6] δεῖ αἱρεθῆναι ἰατρόν, οὐδαμοῦ ἂν φανῆναι[7] τὸν ἰατρόν, ἀλλ' αἱ- C

καῦσαι. Διότι, ὡς λέγει, μετὰ τὴν τομὴν ἐγίνετο ἡ καῦσις καὶ ὁ συγγραφεὺς δὲν θέλει νὰ ἐννοήσῃ δύο διαφόρους περιστάσεις. Τὴν γνώμην ταύτην ὑποστηρίζουσι πολλὰ χωρία, Ξενοφ ἐν Κύρ. Ἀναβάσ V, 8, 18 «Καὶ γὰρ οἱ ἰατροὶ τέμνουσι καὶ καίουσιν ἐπ' ἀγαθῷ.» καὶ Πρωταγόρ. 354, Α. Ἐπειδὴ ὅμως ὑπάρχουσι καὶ ἄλλα χωρία ὑποστηρίζοντα τὴν φερομένην γραφήν, δὲν μεταβάλλομεν τὸ χωρίον, Πλάτ. ἐν Πολιτ ΙΙΙ, 466, D καὶ ἐν Πολιτικῷ σελ. 293. Β.

1. Τὸ ἀπαρέμφατον τοῦτο εἶναι κοινὸν καὶ εἰς τὸ τεμεῖν καὶ εἰς τὸ καῦσαι. Λείπει δὲ ἡ αὐτοπαθὴς ἀντωνυμία, ἥτις ἀλλαχοῦ προστίθεται, Πλάτ. ἐν Ἀπολογ 33, Β. «Καὶ πλουσίῳ καὶ πένητι παρέχω ἐμαυτὸν ἐρωτᾶν.»

2. Ἐκ τῆς ἑπομένης μετοχῆς ἐξάγεται τὸ ἀπαρέμφατον ἐλθεῖν, ὅπερ ὅμως δὲν ἀπαιτεῖ προσδιορισμὸν ἐκφράζοντα τὴν ἐν τόπῳ στάσιν, ἀλλὰ τὴν εἰς τόπον κίνησιν. Ἐπειδὴ ὅμως ὁ ῥητορικὸς οὐ μόνον θὰ ἔλθῃ, ἀλλὰ καὶ θὰ διαμείνῃ, ἵνα διαγωνισθῇ, μετεχειρίσθη τὸ ὅποι. Ὁ σοφιστὴς νομίζει, ὅτι δὲν ὑπάρχει ὅριον τοῦ χώρου δυνάμενον νὰ κωλύσῃ τὴν ἐνέργειαν τοῦ ῥητορικοῦ.

3. Ἐνταῦθα ἠδύνατο νὰ μεταχειρισθῇ δυϊκὸν ἀριθμόν, ἀλλὰ συνέταξε πρὸς τὸ πλησιέστερον. Σημειωτέον, ὅτι καὶ ἡ αἰτιατικὴ αὕτη μένει οἱονεὶ ἀπόλυτος· διότι καὶ τὰ δύο ταῦτα ὀνόματα δὲν δύνανται νὰ θεωρηθῶσιν ὡς ὑποκείμενα τοῦ φανῆναι ἄν· διότι τοῦτο ἔχει ὡς ὑποκείμενον μόνον τὸ ἰατρόν, ὅπερ καὶ ἐπανελήφθη.

4. Ἡ ὑπόθεσις αὕτη ἔχει ἀπόδοσιν τὸ φανῆναι ἄν.

5. Ἐπειδὴ τὸ διαγωνίζεσθαι ἔχει ἔννοιαν γενικήν, προσετέθη ὁ προσδιορισμὸς λόγῳ.

6. Ἡ πλαγία αὕτη ἐρώτησις ἐξαρτᾶται ἐκ τοῦ λόγῳ διαγωνίζεσθαι. Αἱ πλάγιαι ὅμως ἐρωτήσεις ἐξαρτῶνται ἐκ τῶν ῥημάτων ἐρωτᾶν, πυνθάνεσθαι, ἀποφαίνεσθαι καὶ τῶν τοιούτων. Καὶ τὸ διαγωνίζεσθαι βραχυλογικῶς παρέχει τοιαύτην ἔννοιαν.

7. Τὸ ῥῆμα μέχρις ἡμῶν διετήρησε τὴν σημασίαν, ἣν ἔχει ἐνταῦθα. Εἶναι δὲ ἡ φράσις ἐντονωτέρα τῶν μηδαμοῦ τιθέναι καὶ nullo loco numerari καὶ pro nihilo putari, Πλάτ. ἐν Φαίδωνι 72, C. «Οἶσθ' ὅτι τελευτῶντα πάντ' ἂν λῆρον τὸν Ἐνδυμίωνα ἀποδείξειε καὶ οὐδαμοῦ ἂν φαίνοιτο». καὶ Δημοσθ. ἐν τῷ περὶ Στεφάν. σελ. 328. (ἔκδ. Reisk). «Ἐν οἷς οὐδαμοῦ σὺ φανήσῃ γεγονὼς οὐ πρῶτος, οὐ δεύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρεθῆναι ἂν τὸν εἰπεῖν δυνατόν[1], εἰ βούλοιτο[2]. καὶ εἰ[3] πρὸς ἄλλον γε δημιουργὸν ὁντιναοῦν ἀγωνίζοιτο, πείσειεν ἂν αὐτὸν ἑλέσθαι ὁ ῥητορικὸς μᾶλλον[4] ἢ ἄλλος ὁστισοῦν· οὐ γάρ ἐστι[5] περὶ ὅτου οὐκ ἂν πιθανώτερον εἴποι ὁ ῥητορικὸς ἢ ἄλλος ὁστισοῦν τῶν δημιουργῶν ἐν πλήθει[6]. ἡ μὲν οὖν δύναμις τοσαύτη[7] ἐστὶ καὶ τοιαύτη τῆς τέχνης· δεῖ μέντοι, ὦ Σώκρατες, τῇ ῥητορικῇ χρῆ-
D σθαι ὥσπερ τῇ ἄλλῃ πάσῃ ἀγωνίᾳ[8]. καὶ γὰρ τῇ ἄλλῃ ἀγωνίᾳ

τερος, οὐ τρίτος, οὐ τέταρτος, οὐ πέμπτος, οὐχ ἕκτος....»

1. Κυρίως ἥρμοζε νὰ εἴπῃ, τὸν λέγειν δυνατόν. Ἂν καὶ ἠδύνατό τις νὰ εἴπῃ, ὅτι ὁ συγγραφεὺς ἀπεῖδε μόνον εἰς τὴν περίστασιν ταύτην, ὅμως ἦτο συνήθης φράσις. Πλάτ. Πρωταγόρ. 329, Α. «Τάχ' ἂν καὶ τοιούτους λόγους ἀκούσειεν ἢ Περικλέους ἢ ἄλλου τινὸς τῶν ἱκανῶν εἰπεῖν.»

2. Διὰ τῆς ὑποθέσεως ταύτης δίδει μεγαλοπρέπειαν εἰς τὸν ῥήτορα, δηλ. ἀρκεῖ νὰ θέλῃ.

3. Δὲν εἶναι ἐναντιωματικός, ἀλλὰ κατὰ τύχην συνέπεσαν οἱ δύο σύνδεσμοι.

4. Τὸ μᾶλλον συντακτέον μετὰ τοῦ πείσειεν ἄν καὶ χάριν τοῦ ἢ μετέβαλε τὴν θέσιν αὐτοῦ.

5. Τὸ ῥῆμα τοῦτο ἔχει ὡς ὑποκείμενον τὸ νοούμενον τί.

6. Ἐννοεῖ τοὺς ὄχλους, περὶ ὧν ἐγένετο λόγος ἐν τοῖς ἔμπροσθεν. Τὸ ἔμπρόθετον τοῦτο προσδιορίζει τὸ πιθανώτερον εἶποι καὶ σημαίνει ἐκεῖνο, ὅπερ ὁ Ῥωμαῖος ἤθελεν ἐκφράσει οὕτω coram populi turba. Παράβαλλ. καὶ 459, Α. Ἐν τῷ λόγῳ τούτῳ εἶναι ἄξιον προσοχῆς τὸ πλῆρες τῆς ἐκφράσεως, ὅπερ ἔχει πολὺ τὸ σοφιστικόν. Ἡ φράσις ἐν πλήθει ἐτέθη τελευταία, διότι ἦκιστα τιμᾷ τὸν σοφιστήν. Ἡ νίκη ἤθελεν ὁμολογηθῇ ὑπὸ ἀμαθῶν καὶ οὐχὶ ὑπὸ ἐπισταμένων.

7. Τοῦτο εἶναι ἐξαίρεσις τοῦ κανόνος· διότι συνήθως προηγεῖται ἡ ἀντωνυμία ἡ ἐκφράζουσα τὴν ποιότητα καὶ ἕπεται ἡ τὴν ποσότητα δηλοῦσα. Πλάτ. ἐν Νόμ. III, 686, Β. «Τηλικοῦτον καὶ τοιοῦτον σύστημα.» Παράβαλλ. καὶ Πρωταγόρ. 328, D· Τοιοῦτον καὶ τὸ λατινικὸν talis tantaque Ἐνταῦθα λήγει ὁ ἔπαινος τῆς ῥητορικῆς καὶ ἄρχεται ἡ ὑπὲρ ταύτης ἄμυνα. Ἡ τέχνη αὕτη, ὡς εἰκόνισε ταύτην ὁ σοφιστής, ἔχει μὲν δύναμιν, ἀλλὰ δὲν εἶναι ἠθικὴ τέχνη. Τούτου ἕνεκεν ἠναγκάσθη, ὅπως ἀπολογηθῇ. Ἡ ἀπολογία ὅμως φέρει αὐτὸν εἰς ἀντίφασιν.

8. Τοῦτο λέγεται ἐν ἀναφορᾷ πρὸς τὰ ἄνω εἰρημένα, εἰ πρὸς ἄλλον γε δημιουργὸν ὁντιναοῦν ἀγωνίζοιτο. Οἱ σοφισταὶ ἦσαν ἀγωνιστικοὶ καὶ ἐριστικοί. Τινὲς δὲ τούτων, ὡς ὁ Εὐθύδημος καὶ ὁ Διονυσόδωρος, ἦσαν διδάσκαλοι τῆς ἀθλητικῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐ τούτου ἕνεκα δεῖ πρὸς ἅπαντας χρῆσθαι ἀνθρώπους[1], ὅτι ἔμαθε[2] πυκτεύειν τε καὶ παγκρατιάζειν[3] καὶ ἐν ὅπλοις μάχεσθαι[4], ὥστε κρείττων εἶναι[5] καὶ φίλων καὶ ἐχθρῶν· οὐ τούτου ἕνεκα τοὺς φίλους δεῖ τύπτειν οὐδὲ κεντεῖν τε καὶ ἀποκτιννύναι[6]. οὐδέ γε μὰ[7] Δία ἐάν τις εἰς παλαίστραν[8]

1. Ὁ Γοργίας φύσει δὲν ἦτο κακός, ὡς μαρτυροῦσιν οἱ λόγοι οὗτοι τοῦ σοφιστοῦ. Ὅρα εἰσαγωγ. σελ. 95. Τὸ ἐμπρόθετον δὲν προσδιορίζει τὸ χρῆσθαι, ἀλλὰ τὸ ἀγωνία χρῆσθαι=ἀγωνίζεσθαι.

2. Ὡς ὑποκείμενον τοῦ ἔμαθε ἐφέρετο κοινῶς ἡ ἀόριστος ἀντωνυμία τις. Ἐπειδὴ ὅμως τὰ πλείονα χειρόγραφα δὲν ἔχουσι ταύτην, παρελείφθη. Ἄλλως πολλαχοῦ παραλείπεται ἡ ἀόριστος ἀντωνυμία, ὡς ἐν Γορ. 464, Α καὶ ἐν Κρίτωνι 49, C. «Οὔτε ἄρα ἀνταδικεῖν δεῖ οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν.» καὶ ἐν Μένωνι 79, Β.

3. Περὶ τοῦ ἀγῶνος ὅρα Φιλόστρατ. Εἰκόν. Β'. καὶ Πίνδ. ἐν Ἰσθμ. Δ. 77.

4. Τὸ ἐν ὅπλοις μάχεσθαι ἤτοι ἡ ὁπλομαχία ἐγένετο τεχνικὴ ἄσκησις ἀπὸ τοῦ Πελοποννησιακοῦ πολέμου καὶ ἐξῆς.

5. Ἐνταῦθα δείκνυται σαφῶς ἡ σημασία τοῦ ὥστε μετὰ ἀπαρεμφάτου, δηλ. ὅτι ἡ ἰδιότης ἢ ἡ ἐνέργεια εἶναι τοιαύτη, ὥστε δύναταί νὰ ἐπέλθῃ τὸ ἀποτέλεσμα, περὶ οὗ ὁ λόγος· δὲν ἐκφράζει ὅμως, ὅτι καὶ ὄντως ἐπῆλθεν. Ὅτι δὲ καὶ ἡ δύναμις τοῦ λόγου δύναται νὰ ὠφελήσῃ καὶ νὰ βλάψῃ, παρετήρησε καὶ ὁ Ἀριστοτέλης ἐν Ῥητορ. Ι, 1. «Εἰ δ', ὅτι μεγάλα βλάψειεν ἂν ὁ χρώμενος ἀδίκως τῇ τοιαύτῃ δυνάμει τῶν λόγων, τοῦτό γε κοινόν ἐστι κατὰ πάντων τῶν ἀγαθῶν πλὴν ἀρετῆς, καὶ μάλιστα κατὰ τῶν χρησιμωτάτων, οἷον ἰσχύος, ὑγιείας, πλούτου στρατηγίας· τούτοις γὰρ ἂν τις ὠφελήσειε τὰ μέγιστα χρώμενος δικαίως, καὶ βλάψειεν, ἀδίκως.»

6. Ὁ σοφιστὴς χωρεῖ ἀπὸ τῶν μικροτέρων ἐπὶ τὰ δεινότερα· μεταχειρίζεται δὲ καὶ ἐνταῦθα τὸ πλῆρες τῆς ἐκφράσεως, ἵνα δείξῃ, ὅτι τὰ πάντα ἐκθέτει ἀκριβῶς. Τὰ τοιαῦτα ὅμως ποιεῖ εἰς πράγματα ἐπουσιώδη ἢ τοὐλάχιστον εἰς πράγματα, ἃ οὐδεὶς ἀμφισβητεῖ.

7. Κυρίως τὸ μὰ δὲν ἔχει οὔτε καταφατικήν, οὔτε ἀποφατικὴν σημασίαν, ἀλλὰ προσκτᾶται τοιαύτην διὰ τῆς προσθήκης τοῦ γαὶ ἢ οὔ, Ἰλιαδ. Α. 234 καὶ Ψ. 43. Παρὰ τοῖς ἀττικοῖς ὅμως συγγραφεῦσιν ἔχει ἀρνητικὴν σημασίαν καὶ ἄνευ τοῦ ἀρνητικοῦ μορίου, ὁσάκις ἡ ἄρνησις ἦναι σαφὴς ἐκ τῆς ἐννοίας.

8. Ἡ παλαίστρα ἔχει εὐρυτέραν σημασίαν ἐκείνης, ἣν δεικνύει τὸ ὄνομα, δηλ. σημαίνει μόνον τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φοιτήσας[1], εὖ ἔχων[2] τὸ σῶμα καὶ πυκτικὸς γενόμενος, ἔπειτα[3] τὸν πατέρα τύπτῃ καὶ τὴν μητέρα ἢ ἄλλον τινὰ τῶν οἰκείων
E ἢ τῶν φίλων, οὐ[4] τούτου ἕνεκα δεῖ τοὺς παιδοτρίβας καὶ τοὺς ἐν τοῖς ὅπλοις διδάσκοντας μάχεσθαι μισεῖν τε καὶ ἐκβάλλειν ἐκ τῶν πόλεων. ἐκεῖνοι[5] μὲν γὰρ παρέδοσαν[6] ἐπὶ τῷ δικαίως χρῆσθαι τούτοις πρὸς τοὺς πολεμίους καὶ τοὺς ἀδικοῦντας, ἀμυνο-
457 μένους[7], μὴ ὑπάρχοντας[8]· οἱ δὲ μεταστρέψαντες[9] χρῶνται τῇ

τόπον, ἐν ᾧ παλαίει τις. Παρὰ δὲ τῷ Λονγίνῳ ὑπάρχει ἡ ποιητικὴ φράσις IV, 4. «Ξενοφῶν καὶ Πλάτων ἐκ τῆς Σωκράτους ὄντες παλαίστρας.» Παράβαλλ. Πλούτ. ἐν βίῳ Δημ. 5 καὶ ἐν βίῳ Ἀντων. 9.

1. Φοιτᾷν εἶναι τεχνικὸς ὅρος πρὸς δήλωσιν τοῦ συχνάζειν τακτικῶς εἰς σχολεῖον ἢ εἰς γυμνάσιον.

2. Ὁ Deuschle καὶ ὁ Cron νομίζουσιν, ὅτι τὸ μὲν εὖ ἔχων ἀναφέρεται εἰς τὴν φυσικὴν κατάστασιν, τὸ δὲ πυκτικὸς γενόμενος εἰς τὴν μόρφωσιν. Νομίζομεν, ὅτι δὲν εἶναι ὀρθόν· διότι ἂν τὸ εὖ ἔχων εἶχε τοιαύτην σημασίαν, δὲν ἠδύνατο νὰ θέσῃ αὐτὸ μετὰ τὸ φοιτήσας. Ὁ συγγραφεὺς διὰ τοῦ εὖ ἔχων ἐννοεῖ τὸ πάγιον σῶμα, ὅπερ κτᾶται ὁ φοιτῶν εἰς τὴν παλαίστραν. Ὥστε τὸ μὲν εὖ ἔχων σημαίνει ἀμυντικὴν δύναμιν, τὸ δὲ πυκτικὸς γενόμενος ἐπιθετικήν.

3. Τὸ ἔπειτα συγκεφαλαιοῖ τὰς προηγουμένας μετοχάς, Πρωταγόρ. 362, C.

4. Ἐπαναλαμβάνει τὴν ἄρνησιν, διότι ἀπεμακρύνθη πολὺ ἀπὸ τῆς προηγουμένης.

5. Δὲν ἀναφέρεται εἰς τοὺς μαθητάς, ἀλλ' εἰς τοὺς διδασκάλους· κεῖνται μὲν οὗτοι συντακτικῶς ἐγγύτερον, ἀλλ' οἱ μαθηταὶ ὑποτίθενται ἐγγύτερον τῶν διδασκάλων κείμενοι.

6. Δηλ. τὴν πυκτικὴν καὶ τὴν ὁπλομαχίαν. Τὸ παραδιδόναι περιπίπτει εἰς τὴν σημασίαν τοῦ διδάσκειν, Πλάτ. Πρωταγόρ. 319, E.

7. Τὸ μέσον ἀμύνεσθαι σημαίνει ἀποκρούω ἀπὸ ἐμαυτοῦ κακόν τι, ὑπερασπίζω ἐμαυτόν, Ἰλιάδ. Μ. 243. «Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.» καὶ Ἡρόδοτ. V, 27.

8. Ἡ μετοχὴ αὕτη δὲν συνδέεται μετὰ τῆς προηγουμένης, διὰ δὲ τοῦ ἀσυνδέτου δίδεται εἰς τὸν λόγον ῥητορικὴ χροιά. Τὸ ἀντικείμενον τῆς μετοχῆς λείπει, δηλ. ἀδικίας. Τὸ ῥῆμα συντάσσεται καὶ μετοχῇ, Ἡρόδοτ. VII, 8. «Ὑπῆρξαν ἄδικα πιεῦντες.» Τὸ ὑπάρχειν δὲν σημαίνει ὅτι καὶ τὸ ἁπλοῦν, διότι τὸ σύνθετον δηλοῖ τὸ πλαγίως ἄρχειν τῆς ἀδικίας, ὡς συνήθως πράττουσιν οἱ ἐν τῇ ὁπλομαχίᾳ ἠσκημένοι.

9. Τὸ ἀντικείμενον λαμβάνεται ἐκ τῶν ἑπομένων· ἡ δὲ πρόθεσις σημαίνει ἀντιστροφὴν καὶ συμφώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἰσχύι καὶ τῇ τέχνῃ[1], οὐκ ὀρθῶς. οὔκουν οἱ διδάξαντες πονηροί,[2] οὐδὲ ἡ τέχνη οὔτε αἰτία οὔτε πονηρὰ τούτου ἕνεκά ἐστιν, ἀλλ' οἱ μὴ χρώμενοι, οἶμαι[3], ὀρθῶς. ὁ αὐτὸς δὴ λόγος[4] καὶ περὶ τῆς ῥητορικῆς. δυνατὸς μὲν γὰρ πρὸς ἅπαντάς[5] ἐστιν ὁ ῥήτωρ καὶ περὶ παντὸς λέγειν, ὥστε πιθανώτερος εἶναι ἐν τοῖς πλήθεσιν B ἔμβραχυ[6] περὶ ὅτου ἂν βούληται· ἀλλ' οὐδέν τι μᾶλλον τούτου ἕνεκα δεῖ οὔτε τοὺς ἰατροὺς τὴν δόξαν ἀφαιρεῖσθαι—ὅτι δύναιτο ἂν τοῦτο ποιῆσαι—οὐτε τοὺς ἄλλους δημιουργούς, ἀλλὰ δικαίως καὶ τῇ ῥητορικῇ χρῆσθαι, ὥσπερ καὶ τῇ ἀγωνίᾳ. ἐὰν δέ,[7] οἶμαι, ῥητορικὸς γενόμενός τις κἄτα[8] ταύτῃ τῇ δυνάμει

νως πρὸς τὴν ἔννοιαν ταύτην ἐτέθη τὸ οὐκ ὀρθῶς.

1. Ἡ μὲν ἰσχὺς ἀναφέρεται εἰς τὸ εὖ ἔχων, ἡ δὲ τέχνη εἰς τὸ πυκτικὸς γενόμενος.

2. Πονηρὸς λέγεται ὁ εἰς ἄλλους πόνους ἐργαζόμενος· τούτου ἕνεκεν δὲν εἶναι ἀνάγκη νὰ ἦναι πάντοτε ἄνθρωπος, ἀλλὰ καὶ ἄψυχα ὄντα. Ἐντεῦθεν παρὰ Πλάτωνι καὶ Ξενοφῶντι λέγεται, οἰκία πονηρά, δίαιτα, τροφή, αὐλοί, σῶμα κτλ

3. Εἰς τὰ εἰρημένα ὁ σοφιστὴς ἔχει πεποίθησιν, ἀλλὰ μετεχειρίσθη τὸ οἶμαι χάριν λιτότητος.

4. Ὁ λόγος ἐνταῦθα σημαίνει σχέσιν, ἀναλογίαν καὶ ἐν Θεαιτ. 158, D. καὶ Ἡροδότ. II, 109.

5. Ἡ πρὸς μετὰ αἰτιατικῆς δεικνύει ἐνταῦθα σχέσιν, ὡς Πλάτ. ἐν Νόμ. I, 636. «Τὰ γυμνάσια καὶ ξυσσίτια πολλὰ μὲν ἄλλα νῦν ὠφελεῖ τὰς πόλεις, πρὸς δὲ τὰς στάσεις χαλεπά.»

6. Ἄλλοι γράφουσιν ἐμβραχύ, τὸ ἔμβραχυ ὅμως εἶναι ἀττικώτερον. Περὶ τῆς σημασίας ὁ Τίμαιος λέγει· «Ἔμβραχυ, συντόμως καὶ οἷον ἐν βραχεῖ»· ὁ δὲ Σχολιαστὴς ἐν Θεάγ. σελ. 127. «Ὅπερ ἂν εἴποι τις εὐχερῶς εἰπεῖν ἐθέλων, ἢ ἁπλῶς, τοῦτο ἔμβραχυ λέγεται. Ἔμβραχυ οὖν, συντόμως καὶ ἁπλῶς....» Κατὰ δὲ τὸν Cron σημαίνει ὅ τι καὶ τὸ ἐν βραχεῖ ἢ συνελόντι εἰπεῖν.

7 Ὁ σοφιστὴς ἐπανέρχεται εἰς τὴν ἀντίθεσιν τῆς θεωρίας πρὸς τὴν πρᾶξιν καὶ καθόλου περιπίπτει εἰς ταυτολογίας, ὡσεὶ ἤθελε διὰ τοῦ ὄγκου τῶν φράσεων, νὰ καλύψῃ τὴν ἔλλειψιν τῶν ἰδεῶν, ὡς λέγει ὁ Cron.

8. Τὸ κἄτα συχνάκις τίθεται μετὰ μετοχάς, ὡς Ξενοφ. ἐν Ἀπομν. I, 1, 5. «Ἐδόκει δ' ἂν ἀμφότερα ταῦτα, εἰ προαγορεύων ὡς ὑπὸ θεοῦ φαινόμενα κἄτα ψευδόμενος ἐφαίνετο.» καὶ Ἀριστοφ. ἐν Ἱππ. 391. «Ἀλλ' ὅμως οὗτος τοιοῦτος ὢν ἅπαντα τὸν βίον κἄτα ἀνὴρ ἔδοξεν εἶναι».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τῇ τέχνῃ ἀδικῇ[1], οὐ τὸν διδάξαντα δεῖ μισεῖν τε καὶ ἐκβάλλειν[2] ἐκ τῶν πόλεων. ἐκεῖνος μὲν γὰρ ἐπὶ δικαίᾳ χρείᾳ παρ-
C ἔδωκεν, ὁ δ' ἐναντίως χρῆται. τὸν οὖν οὐκ ὀρθῶς χρώμενον μισεῖν δίκαιον καὶ ἐκβάλλειν καὶ ἀποκτιννύναι[3], ἀλλ' οὐ τὸν διδάξαντα.

XII. ΣΩ. Οἶμαι[4], ὦ Γοργία, καὶ σὲ ἔμπειρον εἶναι πολλῶν λόγων[5] καὶ καθεωρακέναι[6] ἐν αὐτοῖς τὸ τοιόνδε[7], ὅτι οὐ ῥᾴδίως δύνανται[8] περὶ ὧν ἂν ἐπιχειρήσωσι[9] διαλέγεσθαι, διορισάμενοι

1. Τὸ ῥῆμα ἀδικεῖν κυρίως εἶναι ἐνεργητικὸν ἀμετάβατον καὶ εὑρίσκεται τὸ πρῶτον ἐν τῷ Ὁμηρικῷ ὕμνῳ εἰς Δήμητρ. 367.

2. Τὸ ὑποκείμενον πρέπει νὰ νοηθῇ ἔξωθεν, τοὺς ἀνθρώπους ἢ τοὺς πολίτας.

3. Καὶ ἐνταῦθα εἶναι σχῆμα κλιμακωτόν, καθ' ὅσον ἐκ τῶν μικροτέρων χωρεῖ εἰς τὰ φοβερώτερα. Ἐνταῦθα ὁ Γοργίας δεικνύει αὐστηρότητα κατὰ τῶν μὴ ὀρθῶς χρωμένων τῇ ῥητορικῇ. Τοῦτο μαρτυρεῖ τὴν ἠθικὴν τοῦ γέροντος σοφιστοῦ. Καὶ ὅμως τοιοῦτος ἀνήθικος ῥήτωρ ἦτο ὁ τοῦτον ξενίζων Καλλικλῆς. Εὐφυῶς δ' ὁ Πλάτων ἐνέβαλεν εἰς τὸ στόμα αὐτοῦ τοῦ Γοργίου τὴν τιμωρίαν, ἧς ἦσαν ἄξιοι ἀνήθικοι ῥήτορες, οἷος ὁ Καλλικλῆς.

4. Πρὶν ἐλέγξῃ ὁ Σωκράτης τὸν εἰς ἀντίφασιν περιπεσόντα σοφιστήν, ἐπιθυμεῖ νὰ μάθῃ ἐν τῷδε τῷ κεφαλαίῳ, ἂν οὗτος θεωρῇ τὸν ἔλεγχον ὡς προσβολὴν τῆς φιλοτιμίας αὐτοῦ.

5. Ὁ λόγος ἐνταῦθα σημαίνει διάλογον, συζήτησιν, ὡς ἐξάγεται ἐκ τῶν ἑπομένων. Παράβαλλ. καὶ Πλάτ. ἐν Πρωταγόρ. 335 ἐν παραβολῇ πρὸς 337, Α.

6. Κυρίως καθορᾶν σημαίνει βλέπειν ἀπὸ ὑψηλοῦ μέρους πρὸς τὰ κάτω, Ἰλιάδ. Ν. 4. Αὐτὸς δὲ πάλιν τρέπε ὅσσε φαεινώ, νόσφιν ἐφ' ἱπποπόλων Θρηκῶν καθορώμενος αἶαν » καὶ Πλάτ. ἐν Φαίδωνι 109, Ε. «Εἴ τις πτηνὸς γινόμενος ἀναπτοῖτο, κατιδεῖν ἂν καὶ τὰ ἐκεῖ.» Ἐντεῦθεν περιπίπτει εἰς τὴν σημασίαν τοῦ παρατηρεῖν, ἐπισκοπεῖν, οὐχὶ πλέον ἐπὶ ὑλικῆς σημασίας.

7. Πᾶσαι αἱ ἀντωνυμίαι εἶναι δεκτικαὶ τοῦ ἄρθρου. Ἀπολλώνιος ὁ ἐπικληθεὶς Δύσκολος ἐνόμιζεν (Περὶ συντάξ. I, 16), ὅτι μόνον οἱ ἀμφότεροι δὲν δέχεται τοῦτο. Τὸν κανόνα ὅμως τοῦ γραμματικοῦ δὲν ἐτήρησεν ὁ Πλάτων ἐν Φιλήβ. 22 καὶ ἐν Συμποσ. 209.

8. Τὸ ὑποκείμενον τοῦ ῥήματος λείπει, ὅπερ δυνάμεθα νὰ ἀναπληρώσωμεν διὰ τοῦ, οἱ λέγοντες, ἢ οἱ διαλεγόμενοι.

9. Κυρίως ἐπιχειρεῖν σημαίνει, βάλλω τὸ χέρι μου εἴς τι, Ὀδυσσ. Ω. 386 καὶ 395 καὶ Ἡρόδοτ. III, 61. Συνεκδοχικώτερον δὲ τίθεται καὶ ἐπὶ πράξεων, ἐν αἷς δὲν εἶναι ἀνάγκη τῆς χειρός.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς ἀλλήλους καὶ μαθόντες καὶ διδάξαντες[1] ἑαυτοὺς οὕτω διαλύεσθαι τὰς συνουσίας, ἀλλ' ἐὰν περί του ἀμφισβητήσωσι καὶ μὴ φῇ ὁ ἕτερος τὸν ἕτερον ὀρθῶς λέγειν ἢ μὴ[2] σαφῶς, χαλεπαίνουσί[3] τε καὶ κατὰ φθόνον οἴονται τὸν ἑαυτῶν λέγειν, φιλονεικοῦντας[4], ἀλλ' οὐ ζητοῦντας τὸ προκείμενον ἐν τῷ λόγῳ· καὶ ἔνιοί γε τελευτῶντες αἴσχιστα ἀπαλλάττονται[5], λοιδορηθέντες[6] τε καὶ εἰπόντες καὶ ἀκούσαντες περὶ σφῶν αὐτῶν τοιαῦτα, οἷα καὶ τοὺς παρόντας ἄχθεσθαι[7] ὑπὲρ σφῶν αὐτῶν, ὅτι τοιούτων ἀνθρώπων ἠξίωσαν ἀκροαταὶ γενέσθαι. τοῦ δὴ ἕνεκα λέγω ταῦτα; ὅτι νῦν ἐμοὶ δοκεῖς σὺ οὐ πάνυ ἀκόλουθα λέγειν οὐδὲ σύμφωνα[8]

1. Τὸ μανθάνειν εἶναι τρόπον τινὰ τὸ παθητικὸν τοῦ διδάσκειν· Ὅμοια ῥήματα εἶναι τὸ λέγειν καὶ ἀκούειν, τὸ διδόναι καὶ λαμβάνειν, τὸ ἡγεῖσθαι καὶ ἕπεσθαι καὶ τὰ τοιαῦτα.

2. Ἡ ἄρνησις δὲν ἀνήκει εἰς τὸ σαφῶς, ἀλλ' εἰς τὸ ἐκ τῆς προηγουμένης προτάσεως ἐννοούμενον φῇ.

3. Τὸ ὑποκείμενον ἐξάγεται ἐκ τῆς προηγουμένης προτάσεως, ὁ ἕτερος τὸν ἕτερον.

4. Κατὰ μὲν τὴν κοινὴν γραφὴν αἱ δύο μετοχαὶ εἶναι αἰτιατικῆς, κατὰ δὲ τὸ Αὐγουσταῖον χειρόγραφον ὀνομαστικῆς. Τὰς αἰτιατικὰς δέχονται οἱ πλεῖστοι τῶν ἐκδοτῶν, ὡς ὁ Hermann, ὁ Jahn, ὁ Kratz καὶ ὁ Stallbaum· διότι ὁ συγγραφεὺς ἠδύνατο νὰ εἴπῃ, οἴεται ὁ ἕτερος τὸν ἕτερον κατὰ φθόνον τὸν ἑαυτοῦ λέγειν φιλονεικοῦντα, ἀλλ' οὐ ζητοῦντα τὸ προκείμενον ἐν τῷ λόγῳ.

5. Μέσον ἀλληλοπαθὲς = ἀπαλλάσσουσιν ἀλλήλους.

6. Αἱ μετοχαὶ αὗται δὲν συνδέονται μετὰ τῶν προηγουμένων, διότι εἶναι ἐπεξήγησις τοῦ αἴσχιστα. Ὁ Ὁλλανδὸς Naber νομίζει, ὅτι ἡ φράσις, λοιδορηθέντες τε καί, πρέπει νὰ ἐξαλειφθῇ. Ἡ ἔννοια καὶ ἄνευ τῆς φράσεως ταύτης δὲν ἀποβάλλει δύναμιν, ἀλλ' ὁ Πλάτων ἐνταῦθα πειρᾶται, ὅπως καταστήσῃ τὸν λόγον ὅσον οἷόν τε πληρέστερον.

7. Τὸ ἄχθεσθαι ἔχει ποικιλίαν συντάξεων, ὡς περί τινος, Ἡρόδοτ. VI 1,99, ἐπί τινος, Πλάτ. ἐν Παρμενίδ. 130, Α, ὑπέρ τινος, ὡς ἐνταῦθα καὶ ἐν Ἀπολογ. 23, Ε. «Μέλητος μὲν ὑπὲρ τῶν ποιητῶν ἀχθόμενος, Ἄνυτος δὲ ὑπὲρ τῶν δημιουργῶν».

8. Τὸ ἀκόλουθον διαφέρει τοῦ σύμφωνον, καθ' ὅσον τὸ μὲν πρῶτον ἀφορᾷ εἰς τὰς συνεπείας δοθέντος ὁρισμοῦ, τὸ δὲ σύμφωνον εἰς τὴν ἐσωτερικὴν ὁμολογίαν δύο παραλλήλων ἰσχυρισμῶν. Ὁ Πλάτων ἀρέσκεται νὰ λαμβάνῃ μεταφορὰς ἐκ τῆς μουσικῆς, οἷον τὸ ἐνταῦθα σύμφωνον καὶ ἀλλαχοῦ τὸ διαφωνεῖν, συνᾴδειν, συνῳδοί.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἷς τὸ πρῶτον ἔλεγες περὶ τῆς ῥητορικῆς. φοβοῦμαι οὖν διελέγχειν[1] σε, μή με ὑπολάβῃς οὐ πρὸς τὸ πρᾶγμα φιλονεικοῦντα λέγειν τοῦ[2] καταφανὲς γενέσθαι, ἀλλὰ πρὸς σέ. ἐγὼ οὖν, εἰ μὲν καὶ σὺ εἷ τῶν ἀνθρώπων ὧν περ καὶ ἐγώ, ἡδέως ἄν σε διερωτῴην[3]· εἰ δὲ μή, ἐῴην ἄν. ἐγὼ δὲ τίνων εἰμί; τῶν ἡδέως μὲν ἂν ἐλεγχθέντων[4], εἴ τι μὴ ἀληθὲς λέγω, ἡδέως δ' ἂν ἐλεγξάντων, εἴ τίς τι μὴ ἀληθὲς λέγοι[5], οὐκ ἀηδέστερον μέντ' ἂν ἐλεγχθέντων ἢ ἐλεγξάντων· μεῖζον γὰρ αὐτὸ ἀγαθὸν ἡγοῦμαι, ὅσῳ[6] περ μεῖζον ἀγαθόν ἐστιν αὐτὸν[7] ἀπαλλαγῆναι κακοῦ τοῦ μεγίστου ἢ ἄλλον ἀπαλλάξαι. οὐδὲν[8] γὰρ οἶμαι τοσοῦτον κακὸν εἶναι ἀνθρώπῳ, 458

1. Ἡ διὰ σημαίνει ἐπίτασιν, καθ' ὅσον ἐνέργειά τις διέρχεται ἀπὸ τοῦ ἑνὸς ἄκρου εἰς τὸ ἄλλο.

2. Πληρεστέρα ἤθελεν εἶναι ἡ φράσις, ἂν ὑπῆρχε τὸ ἕνεκα, ὅπερ καὶ ἀλλαχοῦ παραλείπεται, Θουκυδ. I,4. «Τό τε ληστικόν, ὡς εἰκός, καθῆρει ἐκ τῆς θαλάσσης ἐφ' ὅσον ἠδύνατο, τοῦ τὰς προσόδους μᾶλλον ἴέναι αὐτῷ.» καὶ 1,23. «Διότι δ' ἔλυσαν, τὰς αἰτίας προέγραψα πρῶτον καὶ τὰς διαφοράς, τοῦ μή τινα ζητῆσαί ποτε ἐξ ὅτου τοσοῦτος πόλεμος τοῖς Ἕλλησι κατέστη».

3. Ἡ μὲν ὑπόθεσις ἐγένετο καθ' ὁριστικὴν ἔγκλισιν πρὸς δήλωσιν τοῦ ἀναγκαίου, ἡ δὲ ἀπόδοσις κατ' εὐκτικήν, ὅπως δηλωθῇ μόνον ἰδέα τις, ἥτις δύναται καὶ νὰ μείνῃ ἀπραγματοποίητος.

4. Ὁ Σωκράτης κατὰ τὸν σώφρονα αὐτοῦ χαρακτῆρα προτάσσει τὸ ἐλέγχεσθαι τοῦ ἐλέγχειν.

5. Ἡ εὐκτικὴ ἐνταῦθα τὸ προβληματῶδες σημαίνουσα ἥρμοζε νὰ τεθῇ εἰς τὸ στόμα τοῦ φιλοσόφου, ὅστις περὶ ἑαυτοῦ δέχεται, ὅτι ὄντως δύναται νὰ εἴπῃ τι μὴ ἀληθές.

6. Πολλάκις δύο συγκριτικὰ ἢ δύο ὑπερθετικὰ δέχονται τὰ συσχετικὰ τοσούτῳ—ὅσῳ πρὸς δήλωσιν, ὅτι ἐν τῷ αὐτῷ βαθμῷ ὑπάρχει ποιότης τις ἢ ἰδιότης. Θουκυδ. VIII, 84. «Ὅσῳ μάλιστα καὶ ἐλεύθεροι ἦσαν οἱ ναῦται, τοσούτῳ καὶ θρασύτατα προσπεσόντες τὸν μισθὸν ἀπῄτουν.» Ἐνίοτε ὅμως λείπει τὸ τοσούτῳ Θουκυδ. I,68. «Οὐχ ἥκιστα ὅσῳ καὶ μέγιστα ἐγκλήματα ἔχομεν.» καὶ II,47. «Αὐτοὶ μάλιστα ἔθνησκον, ὅσῳ καὶ μάλιστα προσῄεσαν.» Ὅμοιον εἶναι καὶ τὸ χωρίον τοῦτο τοῦ Πλάτωνος.

7. Ἡ ἀντωνυμία δὲν εἶναι ἐπαναληπτική, ἀλλὰ ποιεῖ ἀντίθεσιν πρὸς τὸν ἄλλον.

8. Τοῦτο δὲν εἶναι τρόπος ἐκφράσεως, ὡς παρὰ πολλοῖς γίνεται, ἀλλὰ πραγματικὴ πεποίθησις τοῦ Σωκράτους. Διότι ἐκ τῆς γνώσεως γεννᾶται ἡ θέλησις καὶ ἡ ἐνέργεια τοῦ ἀνθρώπου. Ἡ μάθησις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅσον δόξα[1] ψευδὴς περὶ ὧν τυγχάνει νῦν[2] ἡμῖν ὁ λόγος ὤν. εἰ μὲν οὖν καὶ σὺ φὴς τοιοῦτος εἶναι, διαλεγώμεθα· εἰ δὲ καὶ δοκεῖ B
χρῆναι ἐᾶν, ἐῶμεν ἤδη χαίρειν[3] καὶ διαλύωμεν τὸν λόγον.[4]

ΓΟΡ. Ἀλλὰ φημὶ μὲν ἔγωγε, ὦ Σώκρατες, καὶ αὐτὸς τοιοῦτος εἶναι οἷον σὺ ὑφηγεῖ[5]· ἴσως μέντοι χρῆν ἐννοεῖν καὶ τὸ τῶν παρόντων.[6] πάλαι γάρ τοι, πρὶν καὶ ὑμᾶς ἐλθεῖν[7], ἐγὼ τοῖς παροῦσι πολλὰ ἐπεδειξάμην[8], καὶ νῦν ἴσως πόρρω ἀποτενοῦμεν[9],

κατὰ τὸν φιλόσοφον χρησιμεύει καὶ πρὸς ἠθικὴν διόρθωσιν. Ἀπολογ. 25 Ε.

4. Ἐπειδὴ τὸ ὄνομα τοῦτο ἔπρεπε νὰ ἦναι ὑποκείμενον τοῦ προηγουμένου εἶναι, ἤρμοζε νὰ ἦναι κατ' αἰτιατικὴν καὶ ὁ Heindorf ἐκφράζει ἐπιθυμίαν διορθώσεως· δὲν εἶναι ὅμως ἀνάγκη, διότι δυνάμεθα νὰ νοήσωμεν τὸ ἐστί, ὡς πράττει ὁ ἡμέτερος Κοραῆς.

2. Ἐνταῦθα ὁ Σωκράτης τὴν γενικὴν παρατήρησιν ἐφαρμόζει εἰς τὴν εἰδικὴν περίστασιν.

3. Παρὰ τοῖς ἀρχαίοις ὑπῆρχε μόνον τὸ χαίρω, τὸ δὲ χαίρομαι ὠνομάζετο βαρβαρισμὸς ἢ Ἀτισμός. Ὅρα Ἀριστοφάν. ἐν Εἰρήν. 291 καὶ Σχολ. αὐτόθι.

4. Ὁ Heindorf μὴ ἐννοῶν ἐνταῦθα τὸν λόγον ἀνέγνω τὸν σύλλογον. Δὲν εἶναι ἀνάγκη διορθώσεως· διότι ὁ λόγος σημαίνει διάλογον, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται. Παράβαλλ. καὶ 505, C.

5. Ἐννοεῖται ἔξωθεν τὸ εἶναι ἐμέ. Εἶμαι τοιοῦτος, ὁποῖον παραινεῖς νὰ ἦμαι.

6. Δηλαδὴ τὴν ἐπιθυμίαν, τὸ συμφέρον τῶν ἀκροατῶν. Ὁ Γοργίας, ἀφ' οὗ παρετήρησεν, ὅτι συχνάκις ὑπὸ τοῦ Σωκράτους ἐλέγχεται πρὸ πολλῶν ἀκροατῶν, ἐπιθυμεῖ νὰ διακόψῃ τὴν συζήτησιν. Ἀλλ' ἂν τὴν αἰτίαν ἀπέδιδεν εἰς ἑαυτόν, τοῦτο ἤθελε θεωρηθῇ ὡς ἧττα. Διὰ τοῦτο πειρᾶται νὰ ἀποδώσῃ τὴν αἰτίαν εἰς τοὺς ἀκροατάς, ὡς ὁ Σχολιαστὴς παρετήρησεν· «Δέδοικεν ὁ Γοργίας καὶ φεύγει τὴν διάλεξιν, αἰτιᾶται δὲ τοὺς παρόντας πανούργως ὡς οὐκ ἀνεξομένους.»

7. Ἐκ τῆς φράσεως ταύτης γίνεται δῆλον, ὅτι ὁ διάλογος ἐγένετο ἐν τῷ αὐτῷ τόπῳ, ἐν ᾧ καὶ ἡ ἐπίδειξις.

8 Πολλὰς ἐπιδείξεις ἐποιησάμην.

9. Τὸ ῥῆμα εἶναι ἐνταῦθα μεταβατικόν, ὡς καὶ ἀλλαχοῦ, Πρωταγόρ. 336, C· καὶ Πολιτ. X, 605, C. Ἀντικείμενον εἶναι τὸ διαλέγεσθαι, ὅπερ ἐξάγεται ἐκ τῆς ἑπομένης ὑποθετικῆς προτάσεως, ἣν διαλεγώμεθα. Ἡ μεταφορὰ εἶναι ἐκ τῶν ἀποτεινομένων σωμάτων, Πρωταγόρ. 329 Α. «Τὰ Χαλκεῖα πληγέντα μακρὸν ἠχεῖ καὶ ἀποτείνει.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

C ἦν διαλεγώμεθα· σκοπεῖν οὖν χρὴ καὶ τὸ τούτων, μή[1] τινας αὐτῶν κατέχομεν βουλομένους τι καὶ ἄλλο πράττειν.

XIII. ΧΑΙ. Τοῦ μὲν θορύβου[2], ὦ Γοργία τε καὶ Σώκρατες, αὐτοὶ ἀκούετε τούτων τῶν ἀνδρῶν, βουλομένων[3] ἀκούειν, ἐάν τι λέγητε· ἐμοὶ δ' οὖν[4] καὶ αὐτῷ μὴ γένοιτο τοσαύτη ἀσχολία, ὥστε τοιούτων λόγων καὶ οὕτω λεγομένων ἀφεμένῳ προὐργιαίτερόν[5] τι γενέσθαι ἄλλο πράττειν.

D ΚΑΛ. Νὴ[6] τοὺς θεούς, ὦ Χαιρεφῶν, καὶ μὲν δὴ καὶ αὐτὸς πολ-

1. Εἶναι ἐπεξήγησις τοῦ τὸ τούτων. Τὸ μὴ φέρεται καὶ εἰς ὁριστικὴν ἐπὶ τοιαύτης σημασίας, ὡς Πλάτ. ἐν Λάχ. 196, C. «Ὁρῶμεν μὴ Νικίας οἴεται τί λέγειν.» καὶ ἐν Λύσ. 216, C. «Ἔτι δὲ καὶ τόδε σκεψώμεθα, μὴ ἡμᾶς λανθάνει τὸ φίλον ὡς ἀληθῶς, οὐδὲν τούτων ὄν.» Ἡ μὲν ὑποτακτικὴ δηλοῖ, ὅτι θέλει τις ἀπὸ πρότερον νὰ προφυλαχθῇ, ἡ δὲ ὁριστικὴ σημαίνει, ὅτι τοῦτο ὑπάρχει ἤδη, ὡς λέγει ὁ Cron.

2. Εἶδός τι ἀνακολούθου, διότι γίνεται ἀντίθεσις μεταξὺ τοῦ θορύβου καὶ τοῦ Χαιρεφῶντος. Κυρίως ἔπρεπε νὰ εἴπῃ, τούτων μὲν τῶν ἀνδρῶν θορυβούντων αὐτοὶ ἀκούετε, ... ἐμοὶ δέ. Περὶ τῆς θέσεως τῶν ἀκροατῶν ἐν τῷ διαλόγῳ ὅρα Εἰσαγωγ. σελ. 109.

3. Ὁ Χαιρεφῶν εὐφυῶς ὁμιλεῖ διὰ τῶν αὐτῶν φράσεων τοῦ σοφιστοῦ. Ἐκεῖνος εἶπε, βουλουμένους τι καὶ ἄλλο πράττειν, οὗτος δὲ βουλομένους ἀκούειν. Πρὸς δὲ τὴν φράσιν πόρρω ἀποτενοῦμεν, ἀντιτίθεται ἡ, μὴ γένοιτο τοιαύτη ἀσχολία.

4. Κατὰ τὴν πιθανωτέραν γνώμην ὁ σύνδεσμος παράγεται ἐκ τοῦ ὄν, ὅπερ ἐπιβεβαιοῦται ἐκ τῆς βεβαιωτικῆς σημασίας τοῦ συνδέσμου, Ἡρόδοτ. III, 80. «Ἐλέχθησαν λόγοι ἄπιστοι μὲν ἐνίοισι Ἑλλήνων, ἐλέχθησαν δ' ὦν.» Θουκυδ. II, 5. Διαφέρει ὅμως τοῦ δή, καθ' ὅσον τοῦτο μὲν σημαίνει ἀλήθειαν καθ' ἑαυτὴν ὑπάρχουσαν, τὸ δὲ οὖν, μόνον κατὰ τὴν κρίσιν καὶ προσδοκίαν τοῦ λέγοντος.

5. Τὸ θετικὸν εἶναι προύργου, τὸ δὲ συγκριτικὸν προὐργιαίτερος. Ὁ δὲ τύπος προὐργιέστερος, ὅστις μνημονεύεται ὑπὸ τοῦ Ἡσυχίου, εἶναι ἀμφίβολος. Ὁ Σχολιαστὴς ἑρμηνεύει τὴν λέξιν διὰ τοῦ προτιμότερον καὶ ὄντως ἐκεῖνο, ὅπερ ὀφείλει τις νὰ πράξῃ πρὸ ἄλλου ἔργου, εἶναι προτιμότερον.

6. Ὁ Καλλικλῆς χαίρει ἐπὶ τῇ ἐξακολουθήσει τοῦ διαλόγου· διότι πρὸ ὀλίγου ἤκουσεν, ὅτι ὁ διάλογος ἤχθη εἰς τὴν πολιτικήν, ἥτις ἦτο ὁ κύκλος τῆς ἐνεργείας αὐτοῦ. Ὥστε καὶ ὁ Χαιρεφῶν καὶ ὁ Καλλικλῆς ἐπιθυμοῦσι μὲν τὴν ἐξακολούθησιν, ἀλλὰ διὰ διάφορα αἴτια.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λοῖς ἤδη λόγοις παραγενόμενος[1] οὐκ οἶδ' εἰ[2] πώποτε ἥσθην οὕτως ὥσπερ νυνί· ὥστ' ἔμοιγε, κἂν τὴν ἡμέραν ὅλην ἐθέλητε διαλέγεσθαι, χαριεῖσθε[3].

ΣΩ. Ἀλλὰ μήν, ὦ Καλλίκλεις, τό γ' ἐμόν[4] οὐδὲν κωλύει, εἴπερ ἐθέλει Γοργίας.

ΓΟΡ. Αἰσχρὸν[5] δὴ τὸ λοιπόν[6], ὦ Σώκρατες, γίγνεται ἐμέ γε μὴ ἐθέλειν, καὶ ταῦτ'[7] αὐτὸν ἐπαγγειλάμενον[8] ἐρωτᾶν ὅ τι τις βούλεται. ἀλλ' εἰ δοκεῖ τουτοισί, διαλέγου τε καὶ ἐρώτα ὅ τι Ε βούλει.

ΣΩ. Ἄκουε δή, ὦ Γοργία, ἃ θαυμάζω ἐν τοῖς λεγομένοις ὑπὸ

1. Τὸ παραγίγνεσθαι ἐνταῦθα ἔχει τὴν σημασίαν τοῦ εἶναι παρόντα ὡς καὶ παρὰ Θουκυδ. III, 54. «Μάχῃ τῇ ἐν τῇ ἡμετέρᾳ γῇ γενομένῃ παρεγενόμεθα ὑμῖν τε καὶ Παυσανίᾳ».

2. Δηλαδὴ ἐν τῷ παρόντι διαλόγῳ ηὐχαριστήθην ἢ ἐν οἱῳδήποτε ἄλλῳ.

3. Οὐδόλως ἀποβλέπει ὁ πολιτευτὴς εἰς τὴν δεινὴν θέσιν, εἰς ἣν Σωκράτης περιήγαγε τὸν σοφιστήν.

4. Εἶναι ὁ Σωκράτης μετὰ τῶν περιστάσεων αὐτοῦ, ὡς τὸ τῶν παρόντων ἐν τοῖς ἔμπροσθεν.

5. Ὁ σοφιστὴς πάντοτε ἀποβλέπει εἰς τὴν ἰδίαν τιμήν. Παράβαλλ. καὶ Πρωταγόρ. 352, D. «Αἰσχρόν ἐστιν ἐμοὶ σοφίαν μὴ οὐχὶ πάντων κράτιστον φάναι.»

6. Τοῦτο πρέπει νὰ ληφθῇ ἐπιρρηματικῶς. Ἀφ' οὗ πάντες ἐξεφράσθησαν ὑπὲρ τῆς ἐξακολουθήσεως τοῦ διαλόγου, ὑπελείπετο μόνος ὁ Γοργίας, ὅστις τὴν ἄρνησιν θεωρεῖ ὡς προσβάλλουσαν τὴν ἰδίαν φιλοτιμίαν.

7. Τινὰ τῶν χειρογράφων δὲν ἔχουσι τὴν φράσιν καὶ ταῦτα· ἂν λείψῃ, ὁ λόγος δὲν ζημιοῦται πολύ, διότι ἡ μετοχὴ εἶναι ἐναντιωματική. Ἡ φράσις αὕτη σημαίνει ἐπίδοσιν, ὡς καὶ Ξενοφ. ἐν Κύρ. Παιδ. II, 216. «Γελᾶν ἀναπείθειν καὶ ταῦθ' οὕτω πολέμιον ὄντα τῷ γέλωτι.»

8. Δὲν λέγει ἐπαγγελλόμενον, διότι τοῦτο δὲν ἦτο τὸ ἐπάγγελμα τοῦ σοφιστοῦ. Ἀλλὰ κατὰ τύχην εἶπε τοῦτο καὶ περιεπλέγχθη. Τὸ χωρίον τοῦτο περιέχει δυσκολίαν ἐν τῇ συντάξει. Ὁ Hirschig νομίζει μέν, ὅτι ἠδύνατο νὰ διορθωθῇ εἰς, καὶ ταῦτ αὐτὸν ἐπαγγειλάμενον τῷ βουλομένῳ ἐρωτᾶν ἐμέ, ὅμως ἐννοεῖ τὸ διαλέγεσθαι, ὡς ἐννοεῖται καὶ ἐν τοῖς ἡγουμένοις ῥήμασι εἴπερ ἐθέλει Γοργίας (διαλέγεσθαι) καὶ μὴ ἐθέλειν (διαλέγεσθαι). Ἡμεῖς κατὰ δύο τρόπους δυνάμεθα νὰ συντάξωμεν τὸ χωρίον· ἢ ἐκ τοῦ ἐρωτᾶν ἐννοοῦμεν τὸ ἀποκρίνεσθαι ὡς ἐν 447 D ἢ θεωροῦμεν ὡς βραχυλογίαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοῦ· ἴσως γάρ τοι σοῦ ὀρθῶς λέγοντος ἐγὼ οὐκ ὀρθῶς ὑπολαμβάνω.[1] ῥητορικὸν φῂς ποιεῖν οἷός τ' εἶναι, ἐάν τις βούληται παρὰ σοῦ μανθάνειν.

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκοῦν[2] περὶ πάντων, ὥστ' ἐν ὄχλῳ πιθανὸν εἶναι, οὐ διδάσκοντα, ἀλλὰ πείθοντα[3];

459 ΓΟΡ. Πάνυ μὲν οὖν.

ΣΩ. Ἔλεγές τοι νῦν δὴ ὅτι καὶ περὶ τοῦ ὑγιεινοῦ τοῦ ἰατροῦ πιθανώτερος ἔσται ὁ ῥήτωρ.

ΓΟΡ. Καὶ γὰρ ἔλεγον, ἔν γε ὄχλῳ[4].

ΣΩ. Οὐκοῦν τὸ ἐν ὄχλῳ[5] τοῦτό ἐστιν ἐν τοῖς μὴ εἰδόσιν[6]; οὐ γὰρ δήπου ἔν γε τοῖς εἰδόσι τοῦ ἰατροῦ πιθανώτερος ἔσται.

ΓΟΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Οὐκοῦν εἴπερ τοῦ ἰατροῦ πιθανώτερος ἔσται, τοῦ εἰδότος πιθανώτερος γίγνεται[7];

1. Οἱ λόγοι τοῦ σοφιστοῦ ὑποτίθεται ῥέοντες πρὸς τὰ κάτω, ἀλλ' ὁ Σωκράτης δὲν ὑποδέχεται αὐτοὺς ὀρθῶς. Ἀφ' οὗ ὁ σοφιστὴς ὡμολόγησεν, ὅτι τὸν ἔλεγχον δὲν θεωρεῖ ὡς προσβολήν, ὁ φιλόσοφος ἄρχεται ἐλέγχων τὸν Γοργίαν.

2. Ἐκ τῆς προηγουμένης προτάσεως ἐννοητέα ἡ φράσις, φῂς οἷος τ' εἶναι ποιεῖν ῥητορικόν· τὸ δὲ ῥητορικὸς συντάσσεται μετὰ τῆς περὶ καὶ γενικῆς δυνάμει τῆς λεκτικῆς τοῦ ὀνόματος σημασίας.

3. Ὁ Γοργίας ὡμολόγησεν ἐν 455 Α, ὅτι ὑπάρχουσι δύο εἴδη πειθοῦς, ἡ πιστευτικὴ καὶ ἡ διδασκαλικὴ καὶ ὅτι ὁ ῥήτωρ ἀνήκει εἰς τὴν πρώτην.

4. Ἐπειδὴ ὁ σοφιστὴς γινώσκει, ὅτι θέλει ἐξελεγχθῆναι ἀντιφάσκων, πειρᾶται νὰ προφυλαχθῇ διὰ τοῦ περιορισμοῦ τοῦ ἰσχυρισμοῦ αὐτοῦ. Ὁ Γοργίας δὲν μετεχειρίσθη τὴν φράσιν περὶ τοῦ ὑγιεινοῦ ἐν 456 C καὶ 457 B, ἀλλ' εἶπε μόνον, ὅτι ὁ ἰατρὸς θέλει ἡττηθῇ ὑπὸ τοῦ ῥήτορος. Κατὰ τὸν Πλάτωνα ὅμως ἐν Χαρμίδ. 165 C. «Ἰατρικὴ ἐπιστήμη ἐστὶ τοῦ ὑγιεινοῦ».

5. Τὸ ἐμπρόθετον τοῦτο διὰ τοῦ ἄρθρου μεταβάλλεται εἰς οὐσιαστικόν.

6. Ἡ μετοχὴ εἶναι ὀνοματική. Αἱ ὀνοματικαὶ μετοχαὶ ἔχουσι τὸ ἄρθρον, ἀλλὰ καὶ ἀνάρθρως εὑρίσκονται, Πλάτ. ἐν Νόμ. VI. 795. «Διαφέρει πάμπολυ μαθὼν μηδὲν μαθόντος.»

7. Ἐνταῦθα σαφῶς δείκνυται ἡ διαφορὰ τοῦ εἶναι καὶ γίγνεσθαι, καθ' ὅσον ἐκεῖνο μὲν σημαίνει ὅ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Οὐκ' ἰατρός γε ὤν[1]· ἦ γάρ;

ΓΟΡ. Ναί. B

ΣΩ. Ὁ δὲ μὴ ἰατρός γε δήπου ἀνεπιστήμων ὢν ὁ ἰατρὸς ἐπιστήμων.

ΓΟΡ. Δῆλον ὅτι[2].

ΣΩ. Ὁ οὐκ εἰδὼς ἄρα τοῦ εἰδότος ἐν οὐκ εἰδόσι πιθανώτερος ἔσται, ὅταν[3] ὁ ῥήτωρ τοῦ ἰατροῦ πιθανώτερος ᾖ. τοῦτο συμβαίνει ἢ ἄλλο τι;

ΓΟΡ. Τοῦτο ἐνταῦθά γε συμβαίνει[4].

ΣΩ. Οὐκοῦν καὶ περὶ τὰς ἄλλας ἁπάσας[5] τέχνας, ὡσαύτως ἔχει ὁ ῥήτωρ καὶ ἡ ῥητορική· αὐτὰ[6] μὲν τὰ πράγματα οὐδὲν δεῖ αὐτὴν εἰδέναι ὅπως ἔχει, μηχανὴν δέ τινα πειθοῦς εὑρηκέναι[7], ὥστε φαίνεσθαι τοῖς οὐκ εἰδόσι μᾶλλον εἰδέναι τῶν εἰδότων. C

XIV ΓΟΡ. Οὐκοῦν πολλὴ ῥᾳστώνη[8], ὦ Σώκρατες, γίγνεται,

παρξιν, τοῦτο δὲ μεταβολὴν καταστάσεως.

1. Ἐννοεῖται ἔξωθεν ἡ φράσις, πιθανώτερος γίγνεται.

2. Ἐννόησον ὁλόκληρον τὴν προηγουμένην πρότασιν.

3. Τὸ ὅταν συντάσσεται ὑποτακτικῇ καὶ σπανιώτατα εὐκτικῇ, μάλιστα, ὅταν ἡ πρότασις, ἐξ ἧς ἐξαρτᾶται, ἐκφράζηται κατ' εὐκτικήν. Αἰσχύλ. ἐν Πέρσ. 448. «Ἐνταῦθα πέμπει τόνδ', ὅπως, ὅταν νεῶν φθαρέντες ἐχθροὶ νῆσον ἐκσωζοίατο, κτείνοιαν εὐχείρωτον Ἑλλήνων στρατόν.» Τὸ συμβαίνει σημαίνει ἐξάγεται λογικῶς.

4. Καὶ ἐνταῦθα ὁ σοφιστὴς διὰ τὸν φόβον τοῦ ἐλέγχου πειρᾶται τὴν ἰσχὺν τῆς ἀποδείξεως νὰ περιορίσῃ μόνον ἐπὶ τῆς εἰδικῆς ταύτης περιστάσεως.

5. Τοὐναντίον ὁ Σωκράτης τείνει νὰ γενικεύσῃ τὸν συλλογισμόν.

6. Ἡ πρότασις αὕτη δὲν συνδέεται μετὰ τῆς προηγουμένης ὡς ἐπεξήγησις. Τὰ μὲν πράγματα δηλοῦσι τὸ ἀληθές, ἡ δὲ μηχανὴ τὸ φαινόμενον.

7. Περὶ τῆς θεωρίας, ἣν ὁ Γοργίας εἶχε περὶ ῥητορικῆς, ὅρα Εἰσαγωγ. σελ. 93. Ἡ φράσις αὕτη τοῦ Σωκράτους ἔχει πολλὴν τὴν εἰρωνείαν.

8. Λοιπὸν τὸ νὰ μὴ ἦναι κατώτερος ἀπὸ τοὺς δημιουργοὺς εἶναι μεγάλη ἐπιδεξιότης; Ὁ σοφιστὴς πάντοτε ἀποβλέπει πρὸς τὸν ἔπαινον ἢ τὸν ψόγον τοῦ ῥήτορος, ἐν ᾧ περὶ τούτου δὲν πρόκειται. Τὴν ἐρώτησιν ταύτην προεκάλεσεν ἡ τελευταία φράσις τοῦ Σωκράτους.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ μαθόντα τὰς ἄλλας τέχνας, ἀλλὰ μίαν[1] ταύτην, μηδὲν ἐλαττοῦσθαι τῶν δημιουργῶν[2];

ΣΩ. Εἰ[3] μὲν ἐλαττοῦται ἢ[4] μὴ ἐλαττοῦται ὁ ῥήτωρ τῶν ἄλλων διὰ τὸ οὕτως ἔχειν[5], αὐτίκα[6] ἐπισκεψόμεθα, ἐάν τι ἡμῖν πρὸς λόγον· ἢ· νῦν δὲ τόδε πρότερον σκεψώμεθα, ἆρα τυγχάνει
D περὶ τὸ δίκαιον καὶ τὸ ἄδικον καὶ τὸ αἰσχρὸν καὶ τὸ καλὸν καὶ ἀγαθὸν[8] καὶ κακὸν οὕτως ἔχων[9] ὁ ῥητορικὸς ὡς περὶ τὸ ὑγιεινὸν καὶ περὶ τὰ ἄλλα ὧν αἱ ἄλλαι τέχναι, αὐτὰ μὲν οὐκ εἰ-

1. Τὰ εἷς, μία, ἕν ἐν τῇ ἑλληνικῇ γλώσσῃ τίθενται ἐπὶ ἐμφάσεως καὶ ἀντιδιαστολῆς· ἐνταῦθα εἶναι ἀντιδιαστολὴ τῆς ῥητορικῆς πρὸς τὰς ἄλλας τέχνας. Παράβαλλ. Πρωταγόρ. 318, Ε.

2. Δημιουργοὶ ἐνταῦθα εἶναι οἱ εἰδότες, οἱ εἰδικοὶ περί τι.

3. Εἶναι ἀντικείμενον τοῦ ἐπισκεψόμεθα.

4. Ἐνταῦθα λείπει τὸ ὑποθετικὸν εἰ, ὅπερ παρέλειψεν, ἵνα μὴ προέλθῃ χασμῳδία. Ἐπὶ τῶν διαζευκτικῶν τὸ εἰ παραλείπεται ἀπειράκις, κατ' ἐξοχὴν δὲ παρὰ τῷ Ὁμήρῳ.

5. Ἡ φράσις αὕτη ἀντιπροσωπεύει τὴν προηγουμένην, διὰ τὸ μίαν ταύτην τέχνην μαθεῖν.

6. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Αὐτίκα· εὐθέως καὶ παραχρῆμα· νῦν δὲ μικρὸν ὕστερον.»

7. Τὸ ὑπὸ τοῦ σοφιστοῦ λεχθὲν ἦτο ὅλως ἀλλότριον τοῦ ζητουμένου. Ὁ Ὀλυμπιόδωρος λέγει· «Ἀντὶ τοῦ, ἐὰν ἡμῖν χρήσιμον ᾖ τὸ ὑπὲρ λόγου ζητεῖν.» Ἀνάλογον χωρίον παρὰ Πρωταγόρᾳ, 357, Β. «Ἐὰν μὲν πρὸς λόγον δοκῇ εἶναι τὸ σκέμμα». Τὰ χειρόγραφα ἔχουσι πρὸς λόγου, ἀνθ' οὗ ὁ Hermann ἔγραψε πρὸς λόγον, ὅπερ εἶναι σύνηθες ταῖς ἀρχαίοις. Τῇ διορθωσει ἠκολούθησαν οἱ ἐκδόται πλὴν τοῦ Hermann καὶ Hirschig.

8. Πᾶσαι αἱ ἰδέαι ὑπάγονται εἰς τὸ ἀληθές, τὸ καλὸν καὶ τὸ ἀγαθόν. Ἐνταῦθα ἀντὶ τοῦ ἀληθοῦς κεῖται τὸ δίκαιον.

9. Εἶναι μὲν γενικὴ φράσις, ἀλλ' ἐξηγεῖται διὰ τῶν ἑπομένων. Ὁ Γοργίας εἶπεν ἐν 456Β, ὅτι ὁ ῥήτωρ (καίπερ μὴ γινώσκων ἰατρικά) θέλει νικήσει τὸν ἰατρόν. Τὰ ἰατρικὰ ὅμως δὲν εἶναι τὸ ἀντικείμενον, περὶ ὃ ἀσχολεῖται ἡ ῥητορική. Ὡμολόγησε δ' ὁ σοφιστὴς ἐν 454 Β, ὅτι ἀντικείμενον τῆς ῥητορικῆς εἶναι τὰ δίκαια καὶ ἄδικα. Ἐνταῦθα λοιπὸν προτείνονται τρία ἐρωτήματα· α) ἂν ὁ ῥήτωρ δὲν ἔχῃ ἀνάγκην τῆς γνώσεως τῶν δικαίων καὶ ἀδίκων· β) ἂν ἔχῃ ἀνάγκην ταύτης πρὸ τῆς μαθήσεως τῆς ῥητορικῆς καὶ γ') ἂν ἡ διδασκαλία τῆς ῥητορικῆς ἀποβαίνῃ ἀδύνατος ἄνευ τῆς γνώσεως τῶν δικαίων καὶ ἀδίκων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δώς[1], τί ἀγαθὸν ἢ τί κακόν ἐστιν ἢ τί καλὸν ἢ τί αἰσχρὸν ἢ δίκαιον ἢ ἄδικον, πειθὼ δὲ περὶ αὐτῶν μεμηχανημένος[2], ὥστε δοκεῖν εἰδέναι οὐκ εἰδὼς ἐν οὐκ εἰδόσι[3] μᾶλλον τοῦ εἰδότος; ἢ ἀνάγκη εἰδέναι, καὶ δεῖ προεπιστάμενον[4] ταῦτα ἀφικέσθαι παρὰ σὲ τὸν μέλλοντα[5] μαθήσεσθαι τὴν ῥητορικήν; εἰ δὲ μή, σὺ ὁ τῆς ῥητορικῆς διδάσκαλος τούτων μὲν οὐδὲν διδάξεις τὸν ἀφικνούμενον—οὐ γὰρ σὸν ἔργον—ποιήσεις[6] δ' ἐν τοῖς πολλοῖς[7] δοκεῖν εἰδέναι αὐτὸν τὰ τοιαῦτα οὐκ εἰδότα καὶ δοκεῖν ἀγαθὸν εἶναι οὐκ ὄντα; ἢ τὸ παράπαν οὐχ οἷός τε ἔσει διδάξαι αὐτὸν τὴν ῥητορικήν, ἐὰν μὴ προειδῇ περὶ τούτων τὴν ἀλήθειαν; ἢ πῶς τὰ τοιαῦτα ἔχει, ὦ Γοργία; καὶ πρὸς Διός, ὥσπερ ἄρτι εἶπες, ἀποκαλύψας[8] τῆς ῥητορικῆς εἰπὲ τίς ποθ' ἡ δύναμίς ἐστιν; 460

1. Ἡ μετοχὴ αὕτη δὲν συνδέεται, διότι εἶναι ἐπεξήγησις τοῦ οὕτως ἔχων.

2. Τὸ ῥῆμα τοῦτο συνηθέστερον εὑρίσκεται ἐν τῷ μέσῳ τύπῳ, ὡς ἐνταῦθα. Ὁ παθητικὸς ὅμως παρακείμενος ἔχει καὶ παθητικὴν σημασίαν, Ἡρόδοτ. V, 90. «Τὰ ἐκ τῶν Ἀλκμαιωνιδέων ἐς τὴν Πυθίην μεμηχανημένα.» Ὀρθῶς μετεχειρίσθη τὸν παρακείμενον, διότι ὁ ῥήτωρ ὑποτίθεται, ὅτι ἐξεῦρε τὴν πειθὼ πρὶν νὰ ἔλθῃ εἰς τὴν πρᾶξιν.

3. Ἡ φράσις αὕτη διαφέρει τῆς ἁπλῆς δοτικῆς, ἣν ἠδύνατο νὰ συντάξῃ μετὰ τοῦ δοκεῖν· διότι διὰ ταύτης θέλει νὰ δείξῃ, ὅτι ἡ ἐνέργεια τοῦ ῥητορικοῦ θὰ περιορίζηται ἐν τῷ κύκλῳ τῶν μὴ εἰδότων.

4. Τὸ πρότερον, ὅπερ ἐκφράζει ἡ ἐν τῷ ῥήματι πρόθεσις, ἐλέχθη ἐν ἀναφορᾷ πρὸς τὸν χρόνον, καθ' ὃν θὰ ἔλθῃ ὁ μαθητὴς πρὸς τὸν διδάσκαλον.

5. Ἡ μετοχὴ ἀναλυομένη γίνεται, ὃς ἂν μέλλῃ. Ὁ περιφραστικὸς μέλλων διαφέρει τοῦ ἁπλοῦ μέλλοντος (ὁ μαθησόμενος τοῦ μέλλοντος μαθήσεσθαι), καθ' ὅσον ἡ διὰ τοῦ μέλλω περίφρασις σημαίνει τι ἀναμφιβόλως γεννησόμενον ἄνευ ἀναφορᾶς πρὸς τὸν χρόνον, ἐν ᾧ ὁ μέλλων χρόνος τίθεται ἐν ἀντιθέσει πρὸς τὸ παρελθὸν καὶ τὸ παρόν.

6. Τὸ ποιεῖν συντασσόμενον ἀπαρεμφάτῳ σημαίνει κατορθόνω, ἵνα γείνῃ τι, ὡς τὸ λατινικὸν facio ut. Ὀδυσσ. Ψ. 258. Ἡρόδοτ. I 209.

7. Ἰσοδυναμεῖ πρὸς τὰ ἐν δήμῳ, ἐν πλήθει, ἐν ὄχλῳ.

8. Ἡ σύνταξις ἔχει οὑτωσί· ἀποκαλύψας τὴν τῆς ῥητορικῆς δύναμιν εἰπέ τίς ποτ' ἐστιν. Ὁ Σωκράτης ποιεῖ ὑπαινιγμόν τινα πρὸς τὴν κομπορρημοσύνην τοῦ σοφιστοῦ. Ὅρα 455, Ε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΓΟΡ. Ἀλλ' ἐγὼ μὲν οἶμαι, ὦ Σώκρατες, ἐὰν τύχῃ μὴ εἰδώς, καὶ ταῦτα παρ' ἐμοῦ μαθήσεται[1].

ΣΩ. Ἔχε[2] δή· καλῶς γὰρ λέγεις. ἐάνπερ ῥητορικόν σύ τινα ποιήσῃς, ἀνάγκη αὐτὸν εἰδέναι τὰ δίκαια καὶ τὰ ἄδικα ἤτοι πρότερόν γε ἢ ὕστερον μαθόντα παρὰ σοῦ[3].

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Τί οὖν; ὁ τὰ τεκτονικὰ μεμαθηκὼς τεκτονικός[4], ἢ οὔ;

Β ΓΟΡ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ ὁ τὰ μουσικὰ μουσικός;

ΓΟΡ. Ναί.

ΣΩ. Καὶ ὁ τὰ ἰατρικὰ ἰατρικός, καὶ τἆλλα οὕτω κατὰ τὸν αὐτὸν λόγον[5]· ὁ μεμαθηκὼς[6] ἕκαστα τοιοῦτός ἐστιν οἷον ἡ ἐπιστήμη ἕκαστον ἀπεργάζεται;

1. Τὰ πλεῖστα καὶ ἄριστα τῶν χειρογράφων ἔχουσι μαθήσεται, ὅπερ οἱ ἀρχαιότεροι ἐκδόται ἔτρεψαν εἰς μαθήσεσθαι. Δὲν εἶναι ἀνάγκη· διότι ἀνάλογα χωρία ὑπάρχουσι πλεῖστα, Πολιτ. V, 405, Α καὶ ἐν Σοφιστ. 231, D. Ἡ ὁμολογία αὕτη ἄγει τὸν σοφιστὴν εἰς ἀντίφασιν. Διὰ τοῦτο καὶ ὁ Πῶλος 461 Β ἐλέγχει τὸν διδάσκαλον, ὅτι δὲν ἔπρεπε τοῦτο νὰ ὁμολογήσῃ.

2. Ὁ Σουΐδας λέγει περὶ τῆς φράσεως οὐχὶ ὀρθῶς· «Ἔχε δή, ἀντὶ τοῦ ἄγε δή, ἢ ὅρα δὴ ἢ πρόσεχε ἤ τι τοιοῦτο.» διότι σημαίνει στάσου, μὴ προχωρῇς, τὸ γερμανικὸν Halt. Ἐννοεῖται ἡ ἀντωνυμία σαυτόν. Αἱ πληρέστεραι φράσεις εἶναι, ἔχε σιγῇ, ἠρέμα, ἀτρέμας. Μεταχειρίζεται δὲ τὴν φράσιν ὁ Πλάτων, ὅταν θέλῃ νὰ κωλύσῃ τὸν λέγοντα, ὅπως μὴ προβῇ εἰς τὸν λόγον, καθ' ὅσον θέλει νὰ εἴπῃ σπουδαῖόν τι. Παράβαλλ. Πρωταγόρ. 349, Ε.

3. Τὸ παρὰ σοῦ προσδιορίζει μόνον τὸ ὕστερον μαθόντα. διότι πρότερον ἤθελε μάθει παρ' ἄλλου.

4. Μεταχειρίζεται τὰ παραδείγματα ταῦτα πρὸς δήλωσιν, ὅτι ἑκάστη τέχνη δίδωσι τῷ μανθάνοντι τὴν προκήκουσαν ποιότητα. Ἄρα καὶ ὁ τὰ δίκαια μανθάνων γίνεται δίκαιος.

5. Λόγος ἐνταῦθα εἶναι ἡ ἀναλογία, ὁ τρόπος τοῦ σκέπτεσθαι.

6. Ἡ ἐνέργεια τοῦ ῥήματος ἐπαναλαμβάνεται μὲν πολλάκις, ἀλλ' ὁ συγγραφεὺς δὲν ἠδύνατο νὰ θέσῃ ἐνεστῶτα, διότι θέλει νὰ δηλώσῃ, ὅτι ἔμαθε καὶ τὰ ἀποτελέσματα σώζονται. Τούτου ὅμως ὑπάρχουσι καὶ ἐξαιρέσεις, Πλάτ. ἐν Θεαιτ. 144. «Ἀκήκοα μὲν τοὔνομα, μνημονεύω δ' οὔ.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΓΟΡ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν κατὰ τοῦτον τὸν λόγον καὶ ὁ τὰ δίκαια μεμαθηκὼς δίκαιος[1];

ΓΟΡ. Πάντως δήπου.

ΣΩ. Ὁ δὲ δίκαιος δίκαιά που πράττει;

ΓΟΡ. Ναί.

ΣΩ. Οὐκοῦν ἀνάγκη τὸν ῥητορικὸν δίκαιον εἶναι, τὸν δὲ δί- C
καιον βούλεσθαι[2] δίκαια πράττειν;

1. Ἡ ἀναλογία αὕτη προϋποτίθησιν, ὅτι ἡ ἀρετὴ εἶναι ἐπιστήμη, ὅπερ ἐν ἄλλοις διαλόγοις ἀποδεικνύει ὁ φιλόσοφος. Καὶ ὄντως τοῦτο εἶναι τὸ θεωρητικῶς ἀληθές, ἀλλ' ἡ πεῖρα πολλάκις μαρτυρεῖ, ὅτι ἡ ἀρετὴ δὲν ταὐτίζεται μετὰ τῆς ἐπιστήμης καὶ ὅτι οἱ γνῶσται τοῦ δικαίου εἶναι ἄδικοι, ὡς ὁ τὴν πεῖραν γινώσκων Ἀριστοτέλης λέγει ἐν Ἠθικ. μεγ. Α, 1 «ἐπὶ τῶν ἐπιστημῶν ἀλλ' οὐκ ἐπὶ τῶν ἀρετῶν τοῦτο (δηλ. ἅμα εἰδέναι ἐπιστήμην τινὰ καὶ ταύτης ἐπιστήμονα εἶναι οἷον τὸν ἰατρικὴν εἰδότα εὐθέως εἶναι ἰατρὸν) συμβαίνει· οὐ γὰρ εἴ τις οἶδε τὴν δικαιοσύνην τί ἐστιν, εὐθέως δίκαιός ἐστιν.»

2. Ὁ Schleiermacher καὶ ὁ Bekker ἐξαλείφουσι τὸ βούλεσθαι, ὅπερ δὲν ἐπιδοκιμάζομεν· διότι ὁ Γοργίας εἶπεν ἐν 457 B, ὅτι ὁ ῥήτωρ δύναται μέν, ἀλλὰ δὲν πρέπει νὰ θέλῃ νὰ ἀδικήσῃ. Ἄλλως τὸ ῥῆμα τοῦτο ὑπάρχει παρὰ τῷ Κοϊντιλιανῷ II, 15, 15. «Itaque disputatio illa contra Gorgiam ita clauditur: Οὐκοῦν ἀνάγκη τὸν ῥητορικὸν δικαιον εἶναι, τὸν δὲ δίκαιον βούλεσθαι δίκαια πράττειν. «Ad quod ille quidem conticescit, sed sermonem suscipit Polus.» Ἐπὶ τοῦ χωρίου τούτου στηριζόμενος ὁ Wohlrab νομίζει, ὅτι ὁ ἑπόμενος διάλογος (πλὴν τῆς ὁμολογίας τοῦ Γοργίου, Φαίνεταί γε) μέχρι τέλους τοῦδε τοῦ κεφαλαίου εἶνα προσθήκη μεταγενεστέρας χειρός. Ὀρθῶς ὅμως παρατηρεῖ ὁ Cron, ὅτι οὕτως ἔπρεπε νὰ ἐξαλείψωμεν καὶ τὸ ἑπόμενον κεφάλαιον, ἀφ' οὗ κατὰ τὸν Κοϊντιλιανὸν ἐτελείωσεν ὁ διάλογος πρὸς τὸν Γοργίαν. Εἰς τοσαύτην τόλμην δὲν χωρεῖ ὁ Wohlrab λέγων, ὅτι τὸ ἑπόμενον κεφάλαιον περιέχει τὸ ἀποτέλεσμα τοῦ προηγουμένου ἐλέγχου καὶ ὅτι τὸ σιωπᾷ (conticescit) τοῦ Κοϊντιλιανοῦ σημαίνει, ὅτι ὁ Γοργίας δὲν ἀντιλέγει πλέον. Ἀλλ' ὁ Cron λέγει, ὅτι τὸ τοιοῦτον ἄρχεται οὐχὶ ἐντεῦθεν, ἀλλ' ἐκ τοῦ ἔχε δὴ 460 A. Νομίζομεν, ὅτι ἡ φράσις τοῦ Κοϊντιλιανοῦ δὲν πρέπει νὰ ληφθῇ κατὰ γράμμα. Ὄντως ἐνταῦθα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΓΟΡ. Φαίνεταί γε.

ΣΩ. Οὐδέποτε ἄρα βουλήσεται ὅ γε δίκαιος ἀδικεῖν.

ΓΟΡ. Ἀνάγκη.

ΣΩ. Τὸν δὲ ῥητορικὸν ἀνάγκη ἐκ τοῦ λόγου δίκαιον εἶναι.[1]

ΓΟΡ. Ναί.

ΣΩ. Οὐδέποτε ἄρα βουλήσεται ὁ ῥητορικὸς ἀδικεῖν.

ΓΟΡ. Οὐ φαίνεταί γε.

D XV. ΣΩ. Μέμνησαι οὖν λέγων[2] ὀλίγῳ πρότερον[3] ὅτι οὐ δεῖ τοῖς παιδοτρίβαις ἐγκαλεῖν οὐδ' ἐκβάλλειν[4] ἐκ τῶν πόλεων, ἐὰν ὁ πύκτης τῇ πυκτικῇ χρῆταί[5] τε καὶ ἀδικῇ; ὡσαύτως[6] δὲ οὕτω

λήγει ὁ ἔλεγχος τοῦ Γοργίου, ἀλλ' ἐπειδὴ πρόκειται περὶ καταδείξεως ἀντιφάσεως, ὁ Σωκράτης ἐνόμισε δέον νὰ κυρώσῃ τὸν συλλογισμὸν καὶ ὑπὸ ἀρνητικὴν ὄψιν, δηλ. εἶναι ἀνάγκη ὁ ῥήτωρ νὰ πράττῃ τὰ δίκαια καὶ νὰ μὴ θέλῃ νὰ πράττῃ τὰ ἄδικα. Ἦτο δὲ ἀναγκαία ἡ κύρωσις τοῦ ἀρνητικοῦ μέρους, διότι τοῦτο μεταχειρίζεται ἐν τῷ ἑπομένῳ κεφαλαίῳ πρὸς κατάδειξιν τῆς ἀντιφάσεως. Συγκεφαλαίωσις. Ὁ τὰ δίκαια μεμαθηκὼς δίκαιος· ὁ ῥητορικὸς τὰ δίκαια μεμάθηκε· ἄρα δίκαιος ὁ ῥητορικός. Ὁ δίκαιος δίκαια βουλήσεται πράττειν· δίκαιος δὲ ὁ ῥητορικός· οὐδέποτε ἄρα βουλήσεται ἀδικεῖν.

1. Ἡ ὑπόμνησις αὕτη τοῦ Σωκράτους καὶ ἡ ἀπόκρισις τοῦ Γοργίου ἴσως ἠδύνατο νὰ παραλειφθῇ, ἀλλ' ὁ φιλόσοφος ἐθήρευσεν, ἵνα καταστήσῃ τὸν συλλογισμὸν ὅσον οἷόν τε ἄρτιον.

2. Ἡ μετοχὴ ἰσοδυναμεῖ πρὸς τὸ ὅτε καὶ παρατατικὸν τῆς ὁριστικῆς· Παράβαλλ. Πλάτ. ἐν Χαρμίδ. 156, Α. «Μέμνημαι δὲ ἔγωγε καὶ παῖς ὢν Κριτίᾳ τῷδε ξυνόντα σέ.»

3. Ὅρα 456—457, C.

4. Ὅταν δύο ῥήματα συντάσσωνται μετὰ διαφόρων πτώσεων, εἶναι ἀνάγκη τὸ ἀντικείμενον νὰ ἐπαναλαμβάνηται κατὰ τὴν ἁρμόζουσαν εἰς τὸ ῥῆμα πτῶσιν, ἢ τοὐλάχιστον νὰ ἀντιπροσωπεύηται τοῦτο δι' ἀντωνυμίας, ὅπερ ἐνταῦθα δὲν γίνεται· ἀλλ' ὑπάρχουσιν ὅμοια παραδείγματα, Ἡσίοδ. Ἔργ. 166 καὶ Ἀντιγόν 901.

5. Ὁ Heindorf κατά τινα χειρόγραφα προσθέτει τὴν φράσιν, μὴ καλῶς, ἥτις εἶναι περιττή· καὶ ἄνευ ταύτης δύναται τὸ χωρίον νὰ ἐξηγηθῇ, διότι τὸ ῥῆμα τοῦτο ἠδύνατο νὰ ἐκφρασθῇ καὶ διὰ μετοχῆς, τῇ πυκτικῇ χρώμενος ἀδικῇ. Ποία εἶναι ἡ χρῆσις τῆς ῥητορικῆς, δηλοῖ ἡ ἑπομένη φράσις.

6. Ὀρθῶς ὁ Κοραῆς παρετήρησεν· «Οὐ πλεονάζει θάτερον τῶν δύο ταὐτοσήμων ἐπιρρημάτων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἐὰν ὁ ῥήτωρ τῇ ῥητορικῇ ἀδίκως χρῆται, μὴ τῷ διδάξαντι ἐγκαλεῖν[1] μηδὲ ἐξελαύνειν ἐκ τῆς πόλεως, ἀλλὰ τῷ ἀδικοῦντι καὶ οὐκ ὀρθῶς χρωμένῳ τῇ ῥητορικῇ ; ἐρρήθη ταῦτα ἢ οὔ;

ΓΟΡ. Ἐρρήθη.

ΣΩ. Νῦν δέ γε ὁ αὐτὸς οὗτος φαίνεται, ὁ ῥητορικός[2], οὐκ ἄν Ε ποτε ἀδικήσας[2]· ἢ οὔ;

ΓΟΡ. Φαίνεται.

ΣΩ. Καὶ ἐν τοῖς πρώτοις γε, ὦ Γοργία, λόγοις ἐλέγετο[3], ὅτι ἡ ῥητορικὴ περὶ λόγους εἴη οὐ τοὺς τοῦ ἀρτίου καὶ περιττοῦ, ἀλλὰ τοὺς τοῦ δικαίου καὶ ἀδίκου·[4] ἦ γάρ;

ΓΟΡ. Ναί.

ΣΩ. Ἐγὼ τοίνυν σοῦ τότε ταῦτα λέγοντος ὑπέλαβον, ὡς οὐδέποτ' ἂν εἴη ἡ ῥητορικὴ ἄδικον πρᾶγμα, ὅ[5] γ' ἀεὶ περὶ δικαιοσύνης τοὺς λόγους ποιεῖται· ἐπειδὴ δὲ ὀλίγον ὕστερον ἔλεγες,

ὥσπερ γὰρ λέγεται ὁ αὐτὸς οὗτος καὶ ταὐτὸ τοῦτο, οὕτω καὶ τὰ ἐξ αὐτῶν ἐπιρρήματα διπλοῦται, εἰς πλείονα ἔμφασιν.»

1. Τὰ ἀπαρέμφατα ταῦτα ἐξαρτῶνται ἐκ τοῦ προηγουμένου δεῖ.

2. Κατὰ τὸν Stallbaum ἰσοδυναμεῖ πρὸς τό, τοιοῦτος, οἷος οὐκ ἄν ποτε ἀδικήσειεν.

3. Ὁ Γοργίας εἶπεν, ὅτι ἡ ῥητορικὴ ἀσχολεῖται περὶ τὰ δίκαια καὶ ἄδικα ἐν 454 Β.

4. Ἐν τοῖς ὀνόμασι τοῖς συνδεομένοις διὰ τοῦ καὶ συχνάκις λείπει τὸ ἄρθρον, ὅταν ταῦτα ἦναι τοῦ αὐτοῦ γένους. Ἡ παράλειψις ἐπὶ ἑτερογενῶν συμβαίνει σπανιώτατα, Πλάτ. ἐν Κρατ. 405, D. «Τὸν ἀκόλουθόν τε καὶ τὴν ἀκοιτιν. Ἐνίοτε λείπει τὸ ἄρθρον εἰς τὸ πρῶτον τῶν ὀνομάτων, Πλάτ. ἐν Νόμ. X. 903, D. «Μετατιθέναι τὸ μὲν ἄμεινον γιγνόμενον ἦθος εἰς βελτίω τόπον, χεῖρον δὲ εἰς τὸν χείρονα.»

5. Ἐπειδὴ ἡ ἀναφορικὴ ἀντωνυμία προσδιορίζει τὴν ῥητορικὴν καὶ οὐχὶ τὸ πρᾶγμα, παρέσχε πράγματα τοῖς κριτικοῖς, ἐξ ὧν ὁ Stephanus διώρθωσε τὴν ἀναφορικὴν ἀντωνυμίαν εἰς ὑποθετικὸν μόριον καὶ ἄλλοι εἰς ἤγε. Πᾶσα διόρθωσις εἶναι περιττή, διότι ἐγένετο καθ' ἕλξιν, ἥτις καὶ ἀλλαχοῦ ὑπάρχει, Πλάτ. ἐν Νόμ. XI 937. «Καὶ δὴ καὶ δίκη ἐν ἀνθρώποις πῶς οὐ καλον, ὃ τὰ πάντα ἠμέρωκε τὰ ἀνθρώπινα ;» καὶ Γορ. 463, Β. Κατὰ τὴν θεωρίαν τοῦ Σωκράτους ὁ περὶ τὰ δίκαια ἀσχολούμενος πρέπει νὰ ἦναι δίκαιος, ὡς ὁ περὶ τὰ τεκτονικὰ πρέπει νὰ ἦναι τεκτονικός. Ἐν τῷ πραγματικῷ ὅμως κόσμῳ δὲν συμβαίνει πάντοτε τοῦτο.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι ὁ ῥήτωρ τῇ ῥητορικῇ κἂν ἀδίκως χρῷτο, οὕτω θαυμάσας
461 καὶ ἡγησάμενος οὐ συνᾴδειν[1] τὰ λεγόμενα ἐκείνους εἶπον τοὺς λόγους, ὅτι εἰ μὲν κέρδος ἡγοῖο εἶναι τὸ ἐλέγχεσθαι ὥσπερ ἐγώ[2], ἄξιον εἴη διαλέγεσθαι, εἰ δὲ μή, ἐᾶν χαίρειν· ὕστερον δὲ ἡμῶν ἐπισκοπουμένων ὁρᾷς[3] δὴ καὶ αὐτὸς ὅτι αὖ ὁμολογεῖται τὸν ῥητορικὸν ἀδύνατον εἶναι ἀδίκως χρῆσθαι τῇ ῥητορικῇ καὶ ἐθέλειν ἀδικεῖν. ταῦτα[4] οὖν ὅπῃ ποτὲ ἔχει, μὰ τὸν κύνα, ὦ Γορ-
B γία, οὐκ ὀλίγης[5] συνουσίας ἐστὶν ὥστε ἱκανῶς διασκέψασθαι.

XVI. ΠΩΛ. Τί δαί[6], ὦ Σώκρατες; οὕτω καὶ σὺ[7] περὶ τῆς

1. Καὶ ἐνταῦθα ἡ μεταφορὰ ἐκ τῆς μουσικῆς. Ὁ Γοργίας περιπίπτει εἰς προφανῆ ἀντίφασιν· διότι ἐνταῦθα ὁμολογεῖ, ὅτι ὁ ῥήτωρ πρέπει νὰ ἦναι δίκαιος, ἐν ᾧ ὁ αὐτὸς ἔλεγεν ἐν 457 C, ὅτι ὁ τὴν ῥητορικὴν μαθὼν δύναται νὰ προβῇ εἰς ἔγκλημα, δι' ὃ πρέπει νὰ μισῆται, ἐκβάλληται ἐκ τῶν πόλεων καὶ φονεύηται.

2. Συμπληρωτέον διὰ τῆς φράσεως, ἡγοῦμαι κέρδος εἶναι τὸ ἐλέγχεσθαι.

3. Ἀπόδοσις τῆς χρονικῆς μετοχῆς ἐπισκοπουμένων ἔπρεπε νὰ ἦναι τὸ ὁμολογεῖται, ὅπερ εἶναι ἡ κυρία ἰδέα τῆς προτάσεως καὶ οὐχὶ τὸ ὁρᾷς, ὅπερ ἔπρεπε νὰ ἦναι παρενθετικόν, δηλ. ἤρμοζε νὰ εἴπῃ ὁμολογεῖται, ὡς ὁρᾷς.

4. Ταῦτα εἶναι αἱ ἀντιφάσεις ἢ τὰ διεγερθέντα ζητήματα περὶ ῥήτορος καὶ ῥητορικῆς. Κατὰ τὴν γνώμην τῶν γραμματικῶν τὸ ὅπῃ εἶναι ἀρχαϊά δοτικὴ ἀπηρχαιωμένης τινὸς ἀντωνυμίας ὅπος. Ὁ Σωκράτης μετά τινος παιδιᾶς ὁρκίζεται εἰς τὸν κύνα, ὡς ἡμεῖς λέγομεν, μὰ τὰ κάρδαμα.

5. Τὸ οὐκ ὀλίγης εἶναι μετριωτέρα ἔκφρασις τοῦ μεγάλης ἢ πολλῆς. Συχνάκις τὸ εἶναι εὑρίσκεται συντεταγμένον μετὰ γενικῆς, Θουκυδ. I, 83. «Ἔστιν ὁ πόλεμος οὐχ ὅπλων τὸ πλέον, ἀλλὰ δαπάνης.» Πλάτ. ἐν Ἀπολογ 28, A. «Ὡς μὲν ἐγὼ οὐκ ἀδικῶ, οὐ πολλῆς μοι δοκεῖ εἶναι ἀπολογίας.» Διὰ τῆς φράσεως ταύτης δηλοῖ ὁ Πλάτων, ὅτι ὁ πρὸς τὸν Γοργίαν διάλογος ἔληξεν. Ἡ ἀντίφασις τῆς θεωρίας πρὸς τὴν πρᾶξιν ἄγει εἰς πολλὰ ἀνήθικα, ὅπερ ἐξετάζει ὁ φιλόσοφος ἐν τοῖς ἑπομένοις. Οὕτως ὁ μέγας ῥήτωρ δὲν ἠδυνήθη νὰ ὁρίσῃ τὴν τέχνην αὐτοῦ καὶ ἀναλαμβάνει τοῦτο μετ' ὀλίγον ὁ Σωκράτης.

6. Προτιμητέον τὸ δαὶ τοῦ δέ· διότι ὁ νεανίας σοφιστὴς εἰκονίζεται ἐκπλησσόμενος διὰ τὴν ἧτταν τοῦ διδασκάλου. Προϋποθέτει δέ, ὅτι ὁ Σωκράτης συζητεῖ οὐχὶ χάριν τῆς ἀληθείας, ἀλλ' ὅπως νικήσῃ τὸν Γοργίαν.

7. Ὁ Kratz καὶ ὁ Cron νομίζουσιν, ὅτι παρελείφθη ἡ ἀντίθεσις, ὥσπερ οἱ πολλοί, οἱ ἀπαίδευ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρητορικῆς δοξάζεις ὥσπερ νῦν λέγεις[1]; ἢ οἴει, ὅτι Γοργίας[2] ἠσχύνθη σοι μὴ προσομολογῆσαι[3] τὸν ῥητορικὸν ἄνδρα μὴ οὐχὶ[4] καὶ τὰ δίκαια εἰδέναι καὶ τὰ καλὰ καὶ τὰ ἀγαθά, καὶ ἐὰν μὴ[5] ἔλθῃ ταῦτα εἰδὼς παρ' αὐτόν, αὐτὸς διδάξειν[6], ἔπειτα[7] ἐκ ταύ-

τοι ἄνθρωποι. Νομίζομεν, ὅτι τοιοῦτόν τι ἐνταῦθα δὲν ἐννοεῖται· διότι πόθεν ἐξάγεται; Τοὐναντίον οἱ πολλοὶ ἔχουσιν ὑψηλὴν γνώμην περὶ ῥητορικῆς, ἐν ᾧ οἱ φιλοσοφοῦντες καταφρονοῦσι ταύτης. Καθ' ἡμᾶς ὁ καὶ εἶναι ἐπιδοτικός· δι' ἄλλων λέξεων, καὶ σὺ ὁ ἴδιος δὲν ἔχεις τὴν γνώμην, τὴν ὁποίαν λέγεις. Ὁ Πῶλος ὑπονοεῖ ἀντίφασιν τῆς γνώμης πρὸς τοὺς λόγους, ὅπερ συμβαίνει παρὰ τοῖς ῥήτορσι καὶ οὐχὶ παρὰ φιλοσόφοις, οἷος ὁ Σωκράτης.

1. Περὶ ῥητορικῆς οὐδὲν ὁ Σωκράτης εἶπεν, ἀλλὰ μόνον ἤλεγχε τὰ ὑπὸ τοῦ Γοργίου λεγόμενα. Καὶ τοῦτο ὑποδηλοῖ τὸ πάθος τοῦ σοφιστοῦ.

2. Κατὰ τὸν Keck πρέπει νὰ τεθῇ ἐρωτηματικὸν μετὰ τὴν λέξιν Γοργίας καὶ νὰ νοηθῇ ἐκ τοῦ δοξάζεις τὸ δοξάζει. Ἡ διόρθωσις δὲν ἐγένετο δεκτὴ ὑπὸ τῶν ἐκδοτῶν, ἐξ ὧν ὁ Cron ψέγει ταύτην. Βεβαίως δὲν πρέπει νὰ μεταβάλωμεν τὸ κείμενον, ἀλλ' ὁμολογητέον, ὅτι ἡ διόρθωσις δὲν εἶναι ἀτυχής. Δὲν ἐπαινοῦμεν ταύτην, διότι αἴρει τὸ ἀνακόλουθον, ἀλλὰ διότι τὸ ἠσχύνθη λαμβάνει ἔμφασιν ἁρμόζουσαν ἐνταῦθα.

3. Ἀσθενεστέρα ἔκφρασις τοῦ ἀρνήσασθαι. Ἡ πρόθεσις σημαίνει προσθήκην.

4. Τὸ μὴ οὐχὶ κεῖται ἀντὶ ἑνὸς μόνου ἀρνητικοῦ μορίου, ὅπερ γίνεται, ὅταν προηγῶνται ῥήματα περιέχοντα ὁπωσδήποτε ἀρνητικὴν σημασίαν, Ξενοφ. ἐν Κύρ. Παιδ. I, 4, 2. «Οὐδὲν ἐδύνατο ἀντέχειν μὴ οὐ χαρίζεσθαι», Ἡρόδοτ. IX, 12. «Οὐ δυνατοὶ αὐτὴν ἴσχειν εἰσὶ Ἀργεῖοι μὴ οὐκ ἐξιέναι.» Σοφοκλ. ἐν Ἀντιγόν. 96. «Πείσομαι γὰρ οὐ τοσοῦτον οὐδέν, ὥστε μὴ οὐ καλῶς θανεῖν.» Καὶ μετ' ὀλίγον αὐτὸς ὁ Πλάτων λέγει· «Τίνα οἴει ἀπαρνήσασθαι μὴ οὐχὶ καὶ αὐτὸν ἐπίστασθαι τὰ δίκαια;» Ἡ φράσις σημαίνει, ὁ Γοργίας ἐξ ἐντροπῆς προσετέθη εἰς τὴν γνώμην τοῦ Σωκράτους, ὅτι ὁ ῥήτωρ γινώσκει τὰ δίκαια κτλ.

5. Δὲν ἀνήκει εἰς τὸ ἔλθῃ, ἀλλ' εἰς τὸ εἰδώς.

6. Τοῦτο δὲν ἐξαρτᾶται ἐκ τοῦ οἴει, ἀλλ' ἐκ τοῦ προσομολογῆσαι πρέπει νὰ ἐξαγάγωμεν λεκτικόν τι ῥῆμα ἔφη, εἶπεν.

7. Τὸ ἔπειτα σημαίνει ὑπὸ ποίας περιστάσεις ἐγεινέ τι, ὡς καὶ 456, D. «ἐάν τις εἰς παλαίστραν φοιτήσας, εὖ ἔχων τὸ σῶμα καὶ πυκτικὸς γενόμενος ἔπειτα τὸν πατέρα τύπτῃ.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

της ἴσως τῆς ὁμολογίας[1] ἐναντίον τι συνέβη[2] ἐν τοῖς λόγοις; τοῦθ' ὃ δὴ[3] ἀγαπᾷς, αὐτὸς ἀγαγὼν[4] ἐπὶ τοιαῦτα ἐρωτήματα.[5] C ἐπεὶ[6] τίνα οἴει ἀπαρνήσασθαι μὴ οὐχὶ καὶ αὐτὸν ἐπίστασθαι τὰ δίκαια καὶ ἄλλους διδάξειν; ἀλλ' εἰς τὰ τοιαῦτα ἄγειν[7] πολλὴ ἀγροικία ἐστὶ τοὺς λόγους.

ΣΩ. Ὦ κάλλιστε[8] Πῶλε, ἀλλά[9] τοι ἐξεπίτηδες κτώμεθα ἑ-

1. Ὁ Πῶλος θέλων νὰ δικαιολογήσῃ τὴν ἀντίφασιν λέγει, ὅτι ὁ Γοργίας δὲν ἤθελε νὰ ὁμολογήσῃ ἐκεῖνο, ἐξ οὗ προῆλθεν ἡ ἀντίφασις, ἀλλ' εἶπε τοῦτο ὁ Σωκράτης καὶ ἐξ αἰδοῦς προσωμολόγησε τοῦτο ὁ διδάσκαλος.

2. Εἶναι ἀνακόλουθον· διότι ἀντὶ ὀρθῆς ἐγκλίσεως περιεμένομεν ἀπαρέμφατον ἐξαρτώμενον ἐκ τοῦ οἶει. Ἀλλὰ τοιαῦται ἀνωμαλίαι ἀπαντῶσι καὶ ἀλλαχοῦ. Ἐνταῦθα δ' ἥρμοζε τὸ ἀνακόλουθον διὰ τὴν σύγχυσιν τοῦ Πώλου. Ὁπωσδήποτε τὸ ὅλον χωρίον τοῦ Πώλου εἶναι ἐκ τῶν δυσχερεστάτων τοῦ διαλόγου.

3. Κατὰ παραπλήσιον τρόπον ὁ Καλλικλῆς ἐλέγχει τὸν Σωκράτη ἐν 482 Ε «εἰς τοιαῦτα ἄγεις φορτικὰ καὶ δημηγορικὰ φάσκων τὴν ἀλήθειαν διώκειν, ἃ φύσει μὲν οὐκ ἔστι καλά, νόμῳ δέ».

4. Τὴν μετοχὴν συντάσσουσι μετὰ τοῦ ἀγαπᾷς, ἀλλ' ἡ σύνταξις αὕτη παρέχει τὴν δυσκολίαν, ὅτι δὲν εἶναι κατ' ἐνεστῶτα, ὅστις ἥρμοζεν εἰς τὸ ἀγαπᾷς. Ἴσως ἠδύνατο νὰ συνταχθῇ μετὰ τοῦ οἴει. Σημειωτέον, ὅτι ἡ κοινὴ γραφὴ ἦτο ἄγειν, ἣν ὑποστηρίζει ὁ Heindorf.

5. Τὰ τοιαῦτα ἐρωτήματα λέγει μετὰ περιφρονήσεως. Δὲν ὀνομάζει μὲν ταῦτα, ἀλλὰ εἶναι γενικά, ὡς ἐξηγεῖται διὰ τῆς ἑπομένης φράσεως.

6. Πῶς αἰτιολογοῦσι ταῦτα τὰ προηγούμενα; Κατὰ τὸν Πῶλον κακῶς ὁ Γοργίας εἶπεν, ὅτι ὁ ῥήτωρ γινώσκει τὰ δίκαια καί, ἂν ἀγνοῇ, αὐτὸς θέλει διδάξει τὸν μέλλοντα νὰ μάθῃ ῥητορικήν· διότι ἡ γνῶσις τῶν δικαίων δὲν ἀνήκει εἰς τὸν ῥήτορα, ἀλλ' εἰς τὸν ἄνθρωπον. Ὁ ῥήτωρ δὲν ἀσχολεῖται περὶ τὰ δίκαια.

7. Τὸ μὲν ἄγειν εἶναι τὸ ὑποκείμενον, τὸ δὲ πολλὴ ἀγροικία τὸ κατηγορούμενον. Ἡ δὲ ἀγροικία ἀντιτίθεται πρὸς τὴν παιδείαν κατὰ τὸν Deuschle. Ἡ ἐξέτασις τῶν γενικῶν ἰδεῶν ἀνήκει μὲν καὶ εἰς τοὺς μὴ ἔχοντας εἰδικὰς γνώσεις (ἀγροίκους), ἀλλὰ καὶ εἰς τοὺς φιλοσόφους. Ἡ φράσις εἶναι σπουδαῖον τεκμήριον, ὅτι ὁ Πῶλος στερεῖται ἀνατροφῆς. Ὅρα Εἰσαγωγ. σελ. 97.

8. Τὸ ἐπίθετον ἔχει προσφυῶς, καθ' ὅσον λέγεται πρὸς κομπορρημονοῦντα ῥήτορα. Ἡ λεπτότης αὕτη ποιεῖ ἀντίθεσιν πρὸς τὴν ἀγροικίαν, ἣν ὁ Πῶλος ἀπέδωκεν εἰς τὸν φιλόσοφον.

9. Ὁ σύνδεσμος ἥρμοζε νὰ τεθῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταίρους[1] καὶ ὑιεῖς, ἵνα, ἐπειδὰν αὐτοὶ πρεσβύτεροι γιγνόμενοι σφαλλώμεθα[2], παρόντες ὑμεῖς οἱ νεώτεροι ἐπανορθοῖτε[3] ἡμῶν τὸν βίον καὶ ἐν ἔργοις καὶ ἐν λόγοις. καὶ[4] νῦν εἴ τι ἐγὼ καὶ Γορ- D
γίας ἐν τοῖς λόγοις σφαλλόμεθα, σὺ παρὼν ἐπανόρθου[5]· δίκαιος[6] δ' εἶ· καὶ ἐγὼ ἐθέλω τῶν ὡμολογημένων[7] εἴ τί σοι δοκεῖ μὴ καλῶς ὡμολογῆσθαι, ἀναθέσθαι[8] ὅ τι ἂν σὺ βούλῃ, ἐάν μοι ἓν μόνον φυλάττῃς[9].

εἰς τὴν ἀρχὴν τοῦ λόγου, ἀλλὰ δὲν ἔπραξε τοῦτο, ὁ φιλόσοφος, ἵνα μὴ φανῇ εὐθὺς ἐν ἀρχῇ ἀντιλέγων.

1. Ἐν ᾧ τὸ θηλυκὸν ἔχει κακὴν σημασίαν, τὸ ἀρσενικὸν δὲν ἔχει τοιαύτην. Ἐπὶ κακῆς σημασίας λέγουσιν οἱ ἀρχαῖοι ἡταιρηκώς.

2. Ἡ πρώτη σημασία τοῦ ῥήματος εἶναι, δὲν ἵσταμαι στερεῶς, κλίνω νὰ πέσω· ἐν τῇ γερμανικῇ τὸ αὐτὸ ῥῆμα σημαίνει, ὅτι ὄντως πίπτω, fallen. Ἐν δὲ τῇ λατινικῇ δὲν ἔχει τὴν ὑλικὴν σημασίαν, ἀλλὰ σημαίνει ψεύδομαι, fallo. Φαίνεται λοιπόν, ὅτι τὸ σ προσετέθη βραδύτερον, ὡς δεικνύει ἡ λατινικὴ καὶ ἡ γερμανικὴ λέξις καὶ τὰ ἑλληνικά, φηλόω=ἀπατῶ, φηλὸς ἢ φῆλος=ἀπατεών, φιλητὴς=ἀπατεών, φήληξ=ἀπατηλὸν ἀγριόσυκον, Ἀριστοφάν. ἐν Εἰρήν. 1165.

3. Κατὰ τὴν εἰρημένην σημασίαν τοῦ σφάλλεσθαι μετεχειρίσθη τὸ ἐπανορθοῦν. Τὴν εὐκτικὴν πολλοὶ κριτικοί, ὡς ὁ Heindorf, ὁ Bekker, ὁ Ast, ὁ Gron καὶ ὁ Kratz, διορθοῦσιν εἰς ὑποτακτικήν, διότι ἐξαρτᾶται ἀπὸ ἀρχικοῦ χρόνου. Ἀλλ' ὀρθῶς ποιῶν ὁ Stallbaum, ὑποστηρίζει τὴν γραφὴν τῶν χειρογράφων. Ἀλλ' ἐξαιρέσεις τοῦ κανόνος τούτου πάντοτε ὑπάρχουσιν· Ἐνταῦθα ἁρμόζει εὐκτική, διότι ὁ Σωκράτης τὴν ἐπανόρθωσιν θεωρεῖ ὡς εὐχήν. Ἡ ἐν ἔργοις ἐπανόρθωσις ὄντως εἶναι δίκαιον νὰ συμβαίνῃ, οὐχὶ δὲ καὶ ἡ ἐν λόγοις, εἰ μὴ ὁ πρεσβύτερος διὰ τὸ βαθὺ γῆρας ἀπέβαλε τὰς φρένας.

4. Ὁλόκληρος ἡ πρότασις εἶναι ἐφαρμογὴ τῆς ἄνω εἰρημένης γενικῆς ἐννοίας.

5. Πλαγίως ἐλέγχει τὴν νεανικὴν θρασύτητα τοῦ Πώλου.

6. Ἐγένετο ἔλξις, διότι κυρίως ἔπρεπε νὰ εἴπῃ, δίκαιον δ' ἐστὶ τὸ ἐπανορθοῦσθαι, ἀλλ' ἐπὶ τοῦ ἐπιθέτου τούτου συχνάκις γίνεται ἡ ἕλξις. Ὅρα Πρωταγόρ. 319, B.

7. Ἡ γενικὴ συντακτικῶς ἔπρεπε νὰ ἦναι ἐντὸς τῆς ὑποθετικῆς προτάσεως.

8. Ἡ μεταφορὰ ἐλήφθη ἐκ τῶν πεσσῶν, οὓς ἐνίοτε λαμβάνουσι πάλιν, ὅταν γείνῃ ἁμάρτημά τι, Πλάτ. ἐν Ἱππάρχ. 229F «Ἀλλὰ μὴν καὶ ὥσπερ πεττεύων ἐθέλω σοι ἐν τοῖς λόγοις ἀναθέσθαι ὅ τι βούλει τῶν εἰρημένων, ἵνα μὴ οἴῃ ἐξαπατᾶσθαι.» Ἐπειδὴ ὁ Πῶλος νομίζει, ὅτι αἱ ἀντιφάσεις προῆλθον ἐκ τῶν κακῶς ὡμολογημένων, ὁ Σωκράτης

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Τί τοῦτο λέγεις;

ΣΩ. Τὴν μακρολογίαν[1], ὦ Πῶλε, ἣν καθέρξῃς[2], ἢ τὸ πρῶτον ἐπεχείρησας χρῆσθαι[3].

ΠΩΛ. Τί δαί; οὐκ ἐξέσται[4] μοι λέγειν ὁπόσα ἂν βούλωμαι;

Ε ΣΩ. Δεινὰ μεντ' ἂν πάθοις[5], ὦ βέλτιστε, εἰ Ἀθήναζε ἀφικόμενος οὗ τῆς Ἑλλάδος πλείστη ἐστὶν ἐξουσία τοῦ λέγειν[6], ἔ-

θέλει νὰ ἀφαιρέσῃ τὴν ἀφορμὴν τῆς αἰτιάσεως. Ὁ Ficinus ἑρμηνεύων τὸ χωρίον οὕτω, atque lubens tibi permitto, ut, si quid eorum, quæ concessa sunt, non recte concessa putes, id tuo arbitrio permutes», θεωρεῖ τὸ ἀπαρέμφατον εὑρισκόμενον εἰς ἑτεροπροσωπίαν πρὸς τὸ ἐθέλω. Ὁ δὲ Heindorf νομίζει, ὅτι ἐκ τοῦ κειμένου ἐξέπεσε τὸ ἀπαρέμφατον δοῦναι. Καὶ ἄνευ ταύτης τῆς εἰκασίας τὸ ἀπαρέμφατον εἶναι ἑτεροπρόσωπον, ὡς γίνεται δῆλον ἐκ τοῦ 462Α· «Ἀλλ' εἴ τι κήδει τοῦ λόγου τοῦ εἰρημένου καὶ ἐπανορθώσασθαι αὐτὸν βούλει, ὥσπερ νῦν δή, ἀναθέμενος ὅ τι σοι δοκεῖ.»

9. Ὁ Findeisen ἔτρεψεν εἰς φυλάττῃ, ὅπερ δὲν εἶναι ἀτυχές.

1. Ἐπειδὴ ἡ αἰτιατικὴ αὕτη δηλοῖ τὴν σπουδαιοτέραν ἔννοιαν τῆς προτάσεως, ἐξήγαγε ταύτην ἐκ τοῦ ὑποθετικοῦ λόγου, ἵνα θέσῃ αὐτὴν ἐν ἀρχῇ πρὸς ἔμφασιν.

2. Ἡ κοινὴ γραφὴ εἶναι ἣν καθέξῃς καὶ ἔν τισι χειρογράφοις καθείρξῃς, ὅπερ προτιμᾷ ὁ Hirschig, ἀλλ' οἱ πλεῖστοι τῶν κριτικῶν δέχονται τὸ καθέρξῃς, ὅπερ καὶ ἀλλαχοῦ εὕρηται, ὡς ἐν Πολιτικ. 285 Β.

3. Κατὰ τὸν Cron μεταχειρίζεται τὸ ῥῆμα χρῆσθαι, ἵνα δείξῃ, ὅτι ὁ Πῶλος μετὰ συνειδήσεως πράττει τοῦτο.

4. Τὸ μὲν ἔνεστι σημαίνει τὸ δυνατὸν γενέσθαι ἐν ἀναφορᾷ πρὸς τὰ κωλύματα τοῦ ὑποκειμένου, τὸ δὲ ἔξεστιν ἐν ἀναφορᾷ πρὸς τὰ τοῦ ἐξωτερικοῦ κόσμου.

5. Προτάσσει τὴν ἀπόδοσιν τῆς ὑποθέσεως, ἵνα ἐν ἀρχῇ ἐκφράσῃ εἰρωνείαν.

6. Ὁ Δημοσθένης περὶ τῆς ἐν Ἀθήναις ἐλευθερίας τοῦ λόγου λέγει· «Ὑμεῖς τὴν παρρησίαν ἐπὶ μὲν τῶν ἄλλων οὕτω κοινὴν οἴεσθε δεῖν εἶναι πᾶσι τοῖς ἐν τῇ πόλει, ὥστε καὶ τοῖς ξένοις καὶ τοῖς δούλοις αὐτῆς μεταδεδώκατε καὶ πολλοὺς ἄν τις οἰκέτας ἴδοι παρ' ἡμῖν μετὰ πλείονος ἐξουσίας, ὅ τι βούλονται, λέγοντας ἢ πολίτας ἐν ἐνίαις τῶν ἄλλων πόλεων» Δημοσθ. Φιλιππ. ΙΙΙ, σελ. 3 καὶ ὁ Περικλῆς παρὰ Θουκυδίδ. ΙΙ,40 «Οὐ τοῖς λόγοις τοῖς ἔργοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον ἢ ἐπὶ ἃ δεῖ ἔργῳ ἐλθεῖν.» Καθ' ὅλου οἱ Ἀθηναῖοι ἦσαν φιλολόγοι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πειτα σὺ ἐνταῦθα τούτου μόνος ἀτυχήσαις. ἀλλὰ ἀντίθες τοι[1]· σοῦ[2] μακρὰ λέγοντος καὶ μὴ ἐθέλοντος τὸ ἐρωτώμενον ἀποκρίνεσθαι, οὐ δεινὰ ἂν αὖ ἐγὼ πάθοιμι[3], εἰ μὴ ἐξέσται μοι ἀπιέναι[4] καὶ μὴ ἀκούειν σου; ἀλλ' εἴ τι κήδει τοῦ λόγου[5] τοῦ εἰρημένου 462
καὶ ἐπανορθώσασθαι αὐτὸν βούλει, ὥσπερ νῦν δὴ ἔλεγον, ἀναθέμενος ὅ τι σοι δοκεῖ, ἐν τῷ μέρει ἐρωτῶν τε καὶ ἐρωτώμενος[6], ὥσπερ ἐγώ τε καὶ Γοργίας, ἔλεγχέ[7] τε καὶ ἐλέγχου. φὴς γὰρ δήπου καὶ σὺ ἐπίστασθαι ἅπερ Γοργίας[8]· ἢ οὔ;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν καὶ σὺ κελεύεις σαυτὸν ἐρωτᾶν[9] ἑκάστοτε ὅ τι ἄν τις βούληται, ὡς[10] ἐπιστάμενος ἀποκρίνεσθαι;

ΠΩΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Καὶ νῦν δὴ τούτων ὁπότερον βούλει ποίει, ἐρώτα ἢ ἀπο- Β
κρίνου.

XVII. ΠΩΛ. Ἀλλὰ ποιήσω ταῦτα[11]. καί μοι ἀπόκριναι,[12]

1. Ὁ Stephanus καὶ ὁ Heindorf διορθοῦσιν εἰς τό, ἡ δὲ διόρθωσις δὲν εἶναι ἀτυχής· διότι ἐνταῦθα ἁρμόζει τὸ ἄρθρον ὡς προαγγέλλον τὰ ἑπόμενα, ὡς πολλαχοῦ, Πλάτ. ἐν Νόμ. VI, 778, D. ἐν Φαίδωνι. 62, B καὶ Θουκυδ. I, 37.

2. Τὸ σοῦ ποιεῖ ζωηρὰν ἀντίθεσιν πρὸς τὸ ἑπόμενον ἐγώ.

3. Εὐφυέστατα ἀποκρίνεται ὁ Σωκράτης· ἔχεις μὲν τὸ δικαίωμα νὰ φλυαρῇς ὁσαδήποτε καὶ ἂν θέλῃς, ἀλλὰ καὶ ἐγὼ ἔχω τὸ δικαίωμα νὰ ἀποχωρήσω, ἀφ' οὗ δὲν θέλεις νὰ ἀποκρίνησαι πρὸς τὸ ἐρωτώμενον.

4. Τὸ ἀπαρέμφατον τοῦτο ἠδύνατο νὰ τρέψῃ εἰς μετοχήν.

5. Τὸ κήδεσθαι συντάσσεται μετὰ γενικῆς, ὡς ἐνταῦθα, συντάσσεται ὅμως καὶ μετὰ τῆς περὶ καὶ γενικῆς, Σοφοκλ. ἐν Φιλοκτ. 621.

6. Καὶ εἰς τὴν μετοχὴν ταύτην πρέπει νὰ ἐπαναληφθῇ τὸ ἐν τῷ μέρει.

7. Ἐκ προθέσεως προτάσσει τὸ ἐλέγχειν τοῦ ἐλέγχεσθαι.

8. Εὐθὺς ἐν ἀρχῇ δεικνύει κουφότητα ὁ μαθητὴς λέγων, ὅτι γινώσκει, ὅσα καὶ ὁ διδάσκαλος. Ἂν ἦτο ἀληθές, πρὸς τί ἠκολούθει αὐτῷ;

9. Τὸ ὑποκείμενον τοῦ ἀπαρεμφάτου εἶναι ἀόριστον, ἐξάγεται δὲ ἐκ τῆς ἑπομένης ἀναφορικῆς προτάσεως.

10. Ὁ Πῶλος ὁμολογεῖ, ὅτι γινώσκει τὴν διαλεκτικήν, ἐν ᾧ εἶναι ἀδαέστατος ταύτης.

11. Ἀναφέρεται καὶ εἰς τὸ ἐρωτᾶν καὶ εἰς τὸ ἐρωτᾶσθαι.

12. Ἡ φράσις αὕτη εἶναι συνηθεστάτη τοῖς ἀρχαίοις ῥήτορσιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὦ Σώκρατες. Ἐπειδὴ Γοργίας ἀπορεῖν σοι δοκεῖ περὶ τῆς ῥητορικῆς, σὺ αὐτὴν τίνα φῂς[1] εἶναι;

ΣΩ. Ἆρα ἐρωτᾷς ἥντινα τέχνην φημὶ εἶναι;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐδεμία ἔμοιγε δοκεῖ, ὦ Πῶλε, ὡς[2] γε πρὸς σὲ τἀληθῆ εἰρῆσθαι.

ΠΩΛ. Ἀλλὰ τί σοὶ δοκεῖ ἡ ῥητορικὴ εἶναι;

ΣΩ. Πρᾶγμα[3] ὃ φῂς σὺ ποιῆσαι ἐν τῷ συγγράμματι ὃ ἐγὼ
C ἔναγχος[4] ἀνέγνων.

ΠΩΛ. Τί τοῦτο λέγεις;

ΣΩ. Ἐμπειρίαν ἔγωγέ τινα.

ΠΩΛ. Ἐμπειρία ἄρα[5] σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι;

1. Ἐπειδὴ εἶναι βραχυλογία, δὲν καταφαίνεται ἡ σχέσις μεταξὺ αἰτίου καὶ αἰτιατοῦ. Ἐπειδὴ νομίζεις, ὅτι ὁ Γοργίας ἀγνοεῖ τὸν ὁρισμὸν τῆς ῥητορικῆς, ἄρα σὺ γνωρίζεις, (ἄλλως δὲν ἤλεγχες αὐτὸν) καὶ διὰ τοῦτο δύναμαι νὰ σὲ ἐρωτήσω. Ὁ Πῶλος δὲν γνωρίζει νὰ ἐρωτήσῃ· διότι ἐρωτᾷ διὰ τοῦ τίνα, ἐν ᾧ ἔπρεπε διὰ τοῦ τί. Τὸ τίνα προϋποτίθησι τὴν τέχνην, ἐν ᾧ κατὰ τὸν Σωκράτη δὲν εἶναι τοιαύτη. Διὰ τοῦτο καὶ ὁ ἀρχαῖος Σχολιαστὴς παρατηρεῖ· «Ἀσαφὴς ἡ τοῦ Πώλου ἐρώτησις, πότερον τὸν ὁρισμὸν τῆς ῥητορικῆς ἐπιζητεῖ ἢ τὸ γένος· κατὰ γὰρ τῶν δύο σημαινομένων φέρεται τὸ τίνα φῂς εἶναι. Ὅθεν ὁ ἐπιστήμων ἐπανορθοῖ αὐτόν.» Καὶ ἐνταῦθα ἐξακολουθεῖ ἡ ἐξέτασις τοῦ ὁρισμοῦ τῆς ῥητορικῆς· ἀλλ' ἐν μὲν τῷ πρώτῳ μέρει ὁ Σωκράτης ἦτο ἀρνητικός, ἐν δὲ τῷ δευτέρῳ θετικὸς γενόμενος ὁρίζει ταύτην. Ὁ Πῶλος προτιμᾷ τὸ ἐρωτᾶν τοῦ ἐρωτᾶσθαι ὡς εὐκολώτερον, ἔχει ὅμως καὶ τοῦτο πολλὰς τὰς δυσκολίας.

2. Τὸ ὡς συντάσσεται ἀπαρεμφάτῳ ἐπὶ τελικῆς σημασίας, Εὐριπίδ. εἰς Ἄλκ. 358. «Εἰ δ' Ὀρφέως μοι γλῶττα καὶ μέλος παρῆν, ὡς τὴν κόρην Δήμητρος.... κηλήσαντά σε ἐξ ᾅδου λαβεῖν.» καὶ Ἡρόδοτ. II, 25 καὶ Θουκυδ. IV, 36.

3. Ὁ Σχολιαστὴς λέγει· «Ἐκ τούτου δῆλον, ὅτι οὐχ ὁ ἐξ ἀρχῆς τοῦ Πώλου λόγος αὐτοσχέδιος ἦν, ἀλλὰ σύγγραμμα».

4. Ἐκ τοῦ ἄγχι· οἱ ἀττικοὶ πεζογράφοι μεταχειρίζονται συχνάκις τὴν λέξιν, ἐν ᾧ οἱ ἀττικοὶ ποιηταὶ ἀντὶ ταύτης ἔχουσι τὰς νεωστί, ἀρτίως, προσφάτως.

5. Εἶναι κωμικόν, ὅτι ὁ Πῶλος ἐκπλήσσεται διὰ τὸν ὁρισμὸν τοῦ Σωκράτους, ἐν ᾧ αὐτὸς οὗτος εἶχεν ὁρίσει τὴν ῥητορικὴν ὡς ἐμπειρίαν. Ὅρα 448C. Τὴν ἐμπειρίαν δὲν πρέπει νὰ συγχέωμεν τῇ ἐμπειρικῇ ἐπιστήμῃ· διότι ἐμπειρία σημαίνει ψιλὴν μόνον ἄσκησιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Ἔμοι γε, εἰ μή τι σὺ ἄλλο λέγεις.

ΠΩΛ. Τίνος ἐμπειρία;

ΣΩ. Χάριτός[1] τινος καὶ ἡδονῆς ἀπεργασίας[2].

ΠΩΛ. Οὐκοῦν[3] καλόν σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι, χαρίζεσθαι[4] οἷόν τ' εἶναι ἀνθρώποις;

ΣΩ. Τί δή, ὦ Πῶλε; ἥδη πέπυσαι[5] παρ' ἐμοῦ, ὅ τι φημὶ αὐτὴν εἶναι, ὥστε τὸ μετὰ τοῦτο ἐρωτᾷς, εἰ οὐ καλή μοι δοκεῖ εἶναι; D

ΠΩΛ. Οὐ γὰρ πέπυσμαι ὅτι ἐμπειρίαν τινὰ αὐτὴν φῂς εἶναι;

ΣΩ. Βούλει οὖν, ἐπειδὴ τιμᾷς[6] τὸ χαρίζεσθαι, σμικρόν τί μοι χαρίσασθαι;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Ἐροῦ[7] νῦν με, ὁποποιία ἥτις μοι δοκεῖ τέχνη εἶναι.

1. Ἡ ῥητορικὴ ἀπεργάζεται ἥ προξενεῖ χάριν καὶ ἡδονήν. Χάρις μὲν εἶναι ἡ εὐχαρίστησις, ἥτις εἰς τὸ πρόσωπον τοῦ ῥήτορος ἀνανακλᾶται, ἡδονὴ δὲ ἡ εὐχαρίστησις, ἣν αἰσθάνονται αὐτοὶ οἱ ἀκροαταὶ ἐκ τοῦ λόγου τοῦ ῥήτορος.

2. Κατὰ τὴν ἐμπειρίαν μετεχειρίσθη καὶ τὴν ἀπεργασίαν. Τοῦτο οἱ Ῥωμαῖοι λέγουσι, peritia gratiæ ac voluptatis. Παράβαλλ. καὶ Πλ. ἐν Εὐθύφρ. 13, Δ.

3. Ἔχομεν τὴν γνώμην, ὅτι τὸ οὐκοῦν πρέπει νὰ διορθωθῇ εἰς ο ὔ κ ο υ ν, ὅπερ ἐξάγομεν ἐκ τοῦ πνεύματος τοῦ λόγου καὶ ἐκ τῆς ἑπομένης ἀποκρίσεως τοῦ Σωκράτους, εἰ οὐ καλή μοι δοκεῖ εἶναι; Ἂν ἐνταῦθα ἦτο οὐκοῦν, ἔπρεπε ἡ ἑπομένη φράσις νὰ ἔχῃ, εἰ κ α λ ή μ ο ι δ ο κ ε ῖ ε ἶ ν α ι; Πάλιν ἐπαίνους ὑπὲρ τῆς ῥητορικῆς λέγει ὁ Πῶλος, ὡς καὶ 448, C.

4. Εἶναι παράθεσις εἰς τὴν ὀνομαστικήν, ῥητορική.

5. Ἐν ἄλλαις λέξεσιν' ἔμαθες πλέον περὶ τῆς οὐσίας, ὥστε ἐρωτᾷς περὶ τῆς ποιότητος; Ὁ φιλόσοφος εἰρωνεύεται τὸν Πῶλον διὰ τὴν ἄγνοιαν τῆς διαλεκτικῆς.

6. Τὸ τιμῶ ἐνταῦθα σημαίνει ἔχω ὑπόληψιν εἴς τι, ἐκτιμῶ, Ξενοφ. ἐν Κύρ. Ἀναβάσ. VII, 3, 19. Ἐπειδὴ ὁ Σωκράτης εἶπεν, ὅτι ἡ ῥητορικὴ ἀπεργάζεται χάριν, ὁ δὲ Πῶλος ἐδέξατο τοῦτο, ἐντεῦθεν ὁ φιλόσοφος ἐξήγαγε τὸ συμπέρασμα, ὅτι τιμᾷ τὸ χαρίζεσθαι.

7. Οὐχὶ ὀρθῶς καθ' ἡμᾶς ὁ Hirschig μετέβαλε τὸ ἑπόμενον χωρίον οὑτωσί. Σ. Ἐροῦ νῦν με, ὁποποιΐα ἥτις μοι δοκεῖ τέχνη εἶναι. Π. Ἐρωτῶ δή, τίς τέχνη ὁποποιΐα; Σ. Οὐδεμία, ὦ Πῶλε. Ἀλλά τί, φάθι. Π. Φημὶ δή. Σ. Ἐμπειρία τις. Τίνος φάθι. Π. Φημί δή. Σ. Χάριτος καὶ ἡδονῆς ἀπεργασίας, ὦ Πῶλε. Π. Ταὐτὸν ἄρ' ἐστὶν ὁποποιία καὶ ῥητορική. Κατὰ τὴν μεταβολὴν ταύτην ὁ Σωκράτης ὑπο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Ἐρωτῶ δή, τίς τέχνη ὀψοποιία;

ΣΩ. Οὐδεμία, ὦ Πῶλε.

ΠΩΛ. Ἀλλὰ τί; φάθι[1].

ΣΩ. Φημὶ δή, ἐμπειρία τις.

ΠΩΛ. Τίνος; φάθι.

ΣΩ. Φημὶ δή, χάριτος καὶ ἡδονῆς ἀπεργασίας, ὦ Πῶλε.

Ε ΠΩΛ. Ταὐτὸν δή ἐστιν ὀψοποιία καὶ ῥητορική[2];

ΣΩ, Οὐδαμῶς γε, ἀλλὰ τῆς αὐτῆς μὲν ἐπιτηδεύσεως[3] μόριον.

βάλλει τῷ Πώλῳ ἐρωτήματα, ἅπερ οὗτος παιδαριωδῶς ἐπαναλαμβάνει. Ὑποστηρίζει δὲ τὴν διόρθωσιν ὁ κριτικὸς λέγων, ὅτι οὕτως ὁ Πῶλος καλῶς χαρίζεται τῷ Σωκράτει καὶ δὲν δύναται τὰς παγίδας τούτου νὰ διαφύγῃ, ἀλλὰ περιπλεχθεὶς ἀφῆνις αἰσθάνεται ἑαυτὸν ἠναγκασμένον νὰ ἐξαγάγῃ τὸ συμπέρασμα ἐκ τῶν ἀποκρίσεων, ὅτι ὀψοποιία καὶ ῥητορικὴ εἶναι τὸ αὐτό. Διὰ τῆς μεταβολῆς τὸ χαριέστατον τοῦτο χωρίον ἤθελε γείνει σχολαστικώτατον. Ὁ Σωκράτης ᾔτησε μὲν μικρὰν χάριν παρὰ τοῦ Πώλου, ἀλλὰ τοῦτο δὲν σημαίνει, ὅτι ᾔτησεν, ὅπως ὑποβάλῃ αὐτῷ ὁλόκληρον σειρὰν ἀηδεςάτων ἐρωτημάτων. Ἡ φράσις, Ἀλλὰ τί; φάθι κειμένη ἐν τῷ στόματι τοῦ Πώλου καὶ ψυχολογικῶς ἔχει ἄριστα (Ἀφ᾽ οὗ ἡ ὀψοποιία οὐδεμία τέχνη εἶναι, ἦτο φυσικὸν νὰ ἐρωτήσῃ ὁ Πῶλος, τί πρᾶγμα εἶναι) καὶ ὑπὸ τοῦ Πλάτωνος ὑποστηρίζεται διότι τοῦτ᾽ αὐτὸ συνέβη πρὸ ὀλίγου 462Β, ὅπου ὁ Πῶλος μαθών, ὅτι ἡ ῥητορικὴ δὲν εἶναι τέχνη, ἐρωτᾷ, Ἀλλὰ τί σοι δοκεῖ ἡ ῥητορικὴ εἶναι; Κακῶς δὲ καὶ τὴν ἐρωτηματικὴν πρότασιν, Ταὐτὸν δή ἐστιν ὀψοποιία καὶ ῥητορική; ἔτρεψεν ὁ Hirschig εἰς συμπερασματικήν, διότι ἦτο ψυχολογικῶς ἀναγκαῖον νὰ ἐκπλαγῇ ὁ Πῶλος, ὅτι ἡ ὀψοποιία ταὐτίζεται μετὰ τῆς ῥητορικῆς.

1. Ἐν τῷ ῥήματι τούτῳ ἀπεικονίζεται εἶδός τι ἀγανακτήσεως τοῦ νεανίου, ἣν ὁ Σωκράτης πειρᾶται νὰ πραΰνῃ διὰ τῆς φράσεως, φημὶ δή.

2. Ὁ Πῶλος μεταχειρίζεται τὸν γνωστὸν κανόνα, ὅτι τὰ ἑνὶ τρίτῳ ἴσα καὶ ἀλλήλοις ἴσα. Ἐπειδὴ ἡ ῥητορικὴ ἔχει ὡς κατηγορούμενον τὴν ἀπεργασίαν χάριτος καὶ ἡδονῆς καὶ ἐπειδὴ ἡ ὀψοποιία ἔχει τὸ αὐτὸ κατηγορούμενον, δὲν εὗρε δυσκολίαν ὁ Πῶλος νὰ ἐξαγάγῃ τὸ συμπέρασμα, ὅτι ῥητορικὴ καὶ ὀψοποιία εἶναι τὸ αὐτό. Λησμονεῖ ὅμως, ὅτι τὰ εἴδη τὰ ἀνήκοντα εἰς τὸ αὐτὸ γένος ἔχουσι κοινὰ κατηγορούμενα.

3. Ὁ Σχολιαστὴς πάρατηρεῖ· «Διαφέρει ἐπιτήδευμα καὶ ἐπιτήδευσις· αὕτη μὲν γὰρ ἐνέργειαν δηλοῖ, ἐκεῖνο δὲ οἷον οὐσίαν, ὡς φησι Πλούταρχος. Οὕτως οὖν καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Τίνος λέγεις ταύτης[1];

ΣΩ. Μὴ[2] ἀγροικότερον[3] ἢ τὸ ἀληθὲς εἰπεῖν· ὀκνῶ γὰρ Γοργίου[4] ἕνεκα λέγειν, μὴ οἴηταί με διακωμῳδεῖν τὸ ἑαυτοῦ ἐπιτήδευμα· ἐγὼ δέ, εἰ μὲν τοῦτό ἐστιν ἡ ῥητορική, ἣν Γοργίας ἐπιτηδεύει, οὐκ οἶδα· καὶ γὰρ ἄρτι ἐκ τοῦ λόγου οὐδὲν ἡμῖν καταφανὲς ἐγένετο, τί ποτε οὗτος ἡγεῖται· ὃ δ' ἐγὼ καλῶ τὴν[5] ῥητορικήν, πράγματός τινός ἐστι μόριον οὐδενὸς τῶν καλῶν. 463

ΓΟΡ. Τίνος, ὦ Σώκρατες, εἰπέ, μηδὲν ἐμὲ αἰσχυνθείς.

XVIII. ΣΩ. Δοκεῖ[6] τοίνυν μοι, ὦ Γοργία, εἶναί τι ἐπιτήδευμα τεχνικὸν μὲν οὔ[7], ψυχῆς δὲ στοχαστικῆς[8] καὶ ἀνδρείας[9]

ἀκοὴ καὶ ἄκουσις, καὶ ψόφος καὶ ψόφησις, τὰ μὲν οἷον οὐσίαν, οἷον τὰ πρῶτα, τὰ δὲ οἷον ἐνέργειαν.»

1. Βραχυλογικῶς ἀντί, τίς ἐστιν αὕτη, ἣν λέγεις.

2. Ὑποτίθεται, ὅτι αἱ τοιαῦται φράσεις προῆλθον ἐκ παραλείψεως φόβου σημαντικοῦ ῥήματος. Ὅρα καὶ Φαίδ. 67, Β.

3. Λείπει ὁ δεύτερος ὅρος τῆς συγκρίσεως ὡς ἐν τῷ νῷ τοῦ λέγοντος ὑπάρχων. Γίνεται δὲ τοῦτο, ὅταν σημαίνηται, ὅτι εἶναί τι ἀνώτερον τοῦ συνήθους, τοῦ πρέποντος ἢ ἐκείνου, ὅπερ περιέμενέ τις ἐκ τῆς σειρᾶς τοῦ λόγου. Ἐπειδὴ λοιπὸν τὸ συγκριτικὸν ἀποδίδει εἰς τὸ οὐσιαστικὸν περιωρισμένην ἰδιότητα ἢ ποιότητα καὶ ἐπειδὴ τὸ θετικὸν ἐκφράζει ποιότητα ἢ ἰδιότητα ἄνευ περιορισμοῦ τινος, τὰ τοιαῦτα συγκριτικὰ ἐλαττοῦσι τὴν ἔννοιαν τοῦ πρωτοτύπου καὶ δηλοῦσί τι κατώτερον τοῦ θετικοῦ. Ἡρόδοτ. ΙΙΙ, 145. «Μαιανδρίῳ δὲ τῷ τυράννῳ ἦν ἀδελφεὸς ὑπομαργότερος.» Θουκυδ. VIII, 14. «Ὁ ἐδ αὐθαδέστερόν τε τι ἀπεκρίνατο.» Διὰ τῆς φράσεως ταύτης ὁ Σωκράτης προδήλως ποιεῖ ὑπαινιγμὸν εἰς τὴν φράσιν τοῦ Πώλου. «Ἀλλ' εἰς τὰ τοιαῦτα ἄγειν πολλὴ ἀγροικία» 461, C.

4. Ὁ Σωκράτης πάντοτε φείδεται τοῦ Γοργίου, ὡς εἴρηται ἐν τῇ εἰσαγωγῇ σελ. 95.

5. Ἔθηκε τὸ ἄρθρον πρὸς διαστολὴν τῆς ῥητορικῆς, ἣν γνωρίζει ὁ Σωκράτης, ἀπὸ τῆς ἄλλης, ἥτις ἔμεινεν ἀόριστος.

6. Ἀφ' οὗ οὔτε ὁ Γοργίας, οὔτε ὁ Πῶλος ἠδυνήθη νὰ ὁρίσῃ τὴν ῥητορικήν, ἀναλαμβάνει νὰ πράξῃ τοῦτο ὁ Σωκράτης.

7. Γενικὸς κανὼν ἐπικρατεῖ, ὅτι τὰ ἀρνητικὰ μόρια τίθενται πρὸ τῶν λέξεων, ἃς προσδιορίζουσι, γίνεται ὅμως παράβασις τοῦ κανόνος ἐν τοῖς διὰ τοῦ μὲν καὶ δὲ ἐκφραζομένοις, ὡς ἐνταῦθα, ὅπως ἀναδειχθῶσιν ἀμφότερα, ἥ τε ἄρνησις καὶ τὸ ὄνομα, ἐφ' οὗ πίπτει ἡ ἄρνησις, Ξενοφ. ἐν Κύρ. Ἀναβάσ. VI, 32. «Ἦν ὁ ποταμὸς δασὺς δένδρεσι παχέσι μὲν οὔ, πυκνοῖς δέ.» καὶ Θουκυδ. VI, 68. «Ὑπερ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ φύσει δεινῆς προσομιλεῖν τοῖς ἀνθρώποις· καλῶ δὲ αὐτοῦ ἐγὼ
B τὸ κεφάλαιον κολακείαν[1]. ταύτης μοι δοκεῖ τῆς ἐπιτηδεύσεως πολλὰ μὲν καὶ ἄλλα μόρια εἶναι, ἓν δὲ καὶ ἡ ὀψοποική·[2] ὃ[3] δοκεῖ μὲν εἶναι τέχνη, ὡς δὲ ὁ ἐμὸς λόγος[4], οὐκ ἔστι τέχνη, ἀλλ' ἐμπειρία καὶ τριβή[5]. ταύτης μόριον καὶ τὴν ῥητορικὴν ἐγὼ καλῶ καὶ τήν γε κομμωτικὴν[6] καὶ τὴν σοφιστικήν, τέτταρα ταῦτα μό-

φρονοῦσι μὲν ἡμᾶς, ὑπομενοῦσι δὲ οὔ.»

8. Στοχαστικὸς λέγεται ὁ ἔμπειρος πρὸς τὸ στοχάζεσθαι ἢ πρὸς τὸ τυγχάνειν τοῦ σκοποῦ· τὸ δὲ στοχάζεσθαι παράγεται ἐκ τοῦ στόχος, ὅπερ εἶναι συγγενὲς πρὸς τὸ στοῖχος ἢ στίχος, δηλ. τὸ σημεῖον, εἰς ὃ ῥίπτουσιν οἱ ἀγωνιζόμενοι. Εὐφυῶς δὲ παραβάλλει ὁ Σωκράτης τοὺς ῥήτορας πρὸς τοὺς οὕτω στοχαζομένους.

9. Οἱ ἔπαινοι οἱ ἀποδιδόμενοι εἰς τὴν ῥητορικὴν δὲν ἀνήκουσιν εἰς τὴν ἐσωτερικὴν οὐσίαν, ἀλλ' εἰς τὴν ἐξωτερικὴν αὐτῆς μορφήν. Παράβαλλ. Ἰσοκρ. κατὰ τῶν Σοφιστ. 9.

1. Ἐν τῇ ἑλληνικῇ γλώσσῃ ἡ λέξις κολακεία ἔχει γενικωτάτην σημασίαν σημαίνουσα πᾶσαν ἐνέργειαν ἡδονὴν παρέχουσαν, Πλάτ. ἐν Σοφιστ. 222, Ε. «Τοῦ δέ γε μισθαρνητικοῦ τὸ μὲν προσομιλοῦν διὰ χάριτος καὶ παντάπασι δι' ἡδονῆς τὸ δέλεαρ πεποιημένον καὶ τὸν μισθὸν πραττόμενον τροφὴν ἑαυτῷ μόνον κολακικήν, ὡς ἐγῷμαι, πάντες φαῖμεν ἂν ἡδυντικήν τινα τέχνην.»

2. Τὸ ἐπίθετον περιέπεσεν εἰς τὴν σημασίαν οὐσιαστικοῦ κατὰ παράλειψιν τοῦ ἐμπειρία.

3. Κυρίως ἔπρεπε νὰ εἴπῃ ἥ. ἐπειδὴ ὅμως εἶναι ἀόριστον καὶ ἄψυχον, ἐτέθη κατ' οὐδέτερον γένος.

4. Ἐννοεῖται ἔξωθεν τὸ ἔχει.

5. Τριβὴ εἶναι ἡ ἄλογος ἄσκησις, Ξενοφ. ἐν Κύρ. Ἀναβάσ. V, 6, 15. «Ἱππεῖς διὰ τὴν τριβὴν ἱκανοί.» Διόδωρ. Σικελ. XVI, 15. «Τριβὴν καὶ μελέτην ἔχων τῶν κατὰ πόλεμον ἔργων.» καὶ Πολύβ. IX, 14, 1. «Τὰ μὲν ἐκ τριβῆς, τὰ δ' ἐξ ἱστορίας, τὰ δὲ κατ' ἐμπειρίαν μεθοδικὴν θεωρεῖται.»

6. Οὕτως ὀνομάζεται ἡ ἐμπειρία ἡ σκοποῦσα τὰ παντοειδῆ καλλωπίσματα τοῦ ἀνθρωπίνου σώματος. Ἡ κομμωτικὴ παρὰ τοῖς ἀρχαίοις εἶχε προχωρήσει εἰς ἀπίστευτον βαθμόν. Ὁ Ἀθήναιος εἶναι μεστὸς τοιούτων παραδειγμάτων, XII, 553.

. . . . λοῦται δ' ἀληθῶς· ἀλλὰ τί;
ἐκ χρυσοκολλήτου δὲ κάλπιδος μύρῳ
αἰγυπτίῳ μὲν τοὺς πόδας καὶ τὰ σκέλη,
φοινικίνῳ δὲ τὰς γνάθους καὶ τιτθία,
σισυμβρίνῳ δὲ τὸν ἕτερον βραχίονα
. . . . . .
ἀμαρακίνῳ δὲ τὰς ὀφρῦς καὶ τὴν κόμην,
ἐρπυλλίνῳ δὲ τὸ γόνυ καὶ τὸν αὐχένα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρια ἐπὶ τέτταρσι πράγμασιν[1]. εἰ οὖν βούλεται Πῶλος πυνθάνεσθαι, πυνθανέσθω· οὐ γάρ πω πέπυσται, ὁποῖόν φημι ἐγὼ τῆς κολακείας μόριον εἶναι τὴν ῥητορικήν, ἀλλ' αὐτὸν λέληθα οὔπω ἀποκεκριμένος[2], ὁ δὲ ἐπανερωτᾷ, εἰ οὐ καλὸν ἡγοῦμαι εἶναι· ἐγὼ δ' αὐτῷ οὐκ ἀποκρινοῦμαι πρότερον, εἴτε καλὸν εἴτε αἰσχρὸν ἡγοῦμαι εἶναι τὴν ῥητορικήν, πρὶν ἂν πρῶτον ἀποκρίνωμαι ὅ τι[3] ἐστίν· οὐ γὰρ δίκαιον[4], ὦ Πῶλε· ἀλλ' εἴπερ βούλει πυθέσθαι ἐρώτα, ὁποῖόν μόριον τῆς κολακείας φημὶ εἶναι τὴν ῥητορικήν.

ΠΩΛ. Ἐρωτῶ δή, καὶ ἀπόκριναι ὁποῖόν μόριον.

ΣΩ. Ἆρ' οὖν ἂν μάθοις ἀποκριναμένου;[5] ἔστι γὰρ ἡ ῥητορικὴ D κατὰ τὸν ἐμὸν λόγον πολιτικῆς μορίου εἴδωλον[6].

ΠΩΛ. Τί οὖν; καλὸν ἢ αἰσχρὸν[7] λέγεις αὐτὴν εἶναι;

1. Κατὰ τὸν Kratz πράγματα εἶναι τὰ ἀντικείμενα τῶν τεσσάρων ἐμπειριῶν, π. χ. οἱ λόγοι εἶναι ἀντικείμενον τῆς ῥητορικῆς.

2. Ἄλλοι γράφουσιν οὕτω ἀποκεκριμένος, ὅπερ ἀντιφάσκει πρὸς τὴν ἔννοιαν τοῦ λόγου τοῦ Σωκράτους. Ὁ παρακείμενος ἐνταῦθα ἔχει ἐνεργητικὴν σημασίαν. Δὲν ἐνόησεν, ὅτι ἀκόμη δὲν ἀπεκρίθην.

3. Ὀρθῶς ποιεῖ ὁ Σωκράτης, ὅτι πρῶτον περὶ τῆς οὐσίας καὶ εἶτα περὶ τῆς ποιότητος θέλει ὁμιλήσει· διότι ἐκ τοῦ πρώτου ἐξαρτᾶται τὸ δεύτερον.

4. Ἐννοεῖται τὸ ἀπαρέμφατον ἀποκρίνεσθαι.

5. Ὁ Stallbaum θεωρεῖ τὴν γενικὴν ταύτην ὡς συντακτικὴν τοῦ ῥήματος, διότι τὰ ῥήματα τῆς νοήσεως, μαθήσεως καὶ ἀκροάσεως συντάσσονται γενικῇ. Ἡμεῖς ἠθέλομεν προτιμήσει νὰ θεωρήσωμεν αὐτὴν ὡς γενικὴν ἀπόλυτον καὶ τὴν μετοχὴν ὡς ὑποθετικήν, ἧς ἀπόδοσις εἶναι τὸ μάθοις ἄν. Ὁ Σωκράτης ἀμφιβάλλει, ἂν ὁ Πῶλος ἐννοήσῃ τὴν ἀπόκρισιν αὐτοῦ, ὡς γινώσκων ἐκ προηγουμένης πείρας.

6. Ὁ Πλάτων ἑρμηνεύει ἑαυτὸν λέγων, τί ἐννοεῖ ἐν Θεαιτ. 150, Ε. «Ψευδῆ καὶ εἴδωλα περὶ πλείονος ποιησάμενοι τοῦ ἀληθοῦς.» καὶ ἐν Σοφιστ. 234, C. Καὶ ὄντως, ὡς ἔσται δῆλον μετ' ὀλίγον, ἡ ῥητορικὴ δὲν εἶναι πολιτική, ἀλλ' εἴδωλον μορίου τῆς πολιτικῆς, διότι τὸ πραγματικὸν εἶναι ἡ δικαιοσύνη. Παρὰ τοῖς στωϊκοῖς ὅμως ἡ λέξις εἴδωλον ἐσήμαινε τὴν ἐν τῇ ψυχῇ ὑπάρχουσαν εἰκόνα.

7. Πάλιν ὁ Πῶλος σπεύδει νὰ μάθῃ περὶ τῆς ποιότητος. Ἀφ' οὗ ὁ ἄνθρωπος ὡς ῥήτωρ ἀπέδιδε μεγάλην σπουδαιότητα εἰς τὴν ἐξωτερικὴν μορφήν, οὐδὲν τὸ παράδοξον, ὅτι ὅλως ὑπὸ ταύτης τῆς ἰδέας κατέχεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Αἰσχρὸν ἔγωγε· τὰ γὰρ κακὰ αἰσχρὰ καλῶ[1]· ἐπειδὴ δεῖ σοι ἀποκρίνασθαι ὡς[2] ἤδη εἰδότι ἃ ἐγὼ λέγω.

ΓΟΡ. Μὰ τὸν Δία, ὦ Σώκρατες, ἀλλ'[3] ἐγὼ οὐδὲ[4] αὐτὸς συνίημι ὅ τι λέγεις.

ΣΩ. Εἰκότως γε, ὦ Γοργία· οὐδὲν γάρ πω σαφὲς λέγω, Πῶλος δὲ ὅδε νέος ἐστὶ καὶ ὀξύς[5].

Ε ΓΟΡ. Ἀλλὰ τοῦτον μὲν ἔα[6], ἐμοὶ δ' εἰπέ, πῶς λέγεις πολιτικῆς μορίου εἴδωλον εἶναι τὴν ῥητορικήν.

1. Ὁ Σωκράτης ἐνόμιζεν, ὅτι τὸ ἀγαθὸν πρὶν ἀποκαλυφθῇ ἐν τῇ οὐσίᾳ αὐτοῦ ἐκδηλοῦται ἐν τῇ μορφῇ τοῦ καλοῦ. Ἀλλὰ πάντοτε τὸ καλὸν δὲν ἔχει ἐν ἑαυτῷ τὸ ἀγαθόν. Διὰ τοῦτο ἡ ἀληθὴς τέχνη, ἥτις μονον τὸ ἀγαθὸν ὡς σκοπὸν ὀφείλει νὰ ἔχῃ, μετὰ τῆς ἐπιστήμης ἐν ἐσωτερικῇ συναφείᾳ καὶ ἁρμονίᾳ πρέπει νὰ ὑπάρχῃ. Διὰ τοῦτο ἡ ῥητορικὴ δὲν δύναται νὰ θεωρηθῇ ὡς τέχνη, διότι τοῦ χαρακτῆρος τούτου στερεῖται.

2. Τὸ ὡς ἐτέθη πρὸς δήλωσιν, ὅτι ἡ γνῶσις εἶναι μόνον κατὰ τὸ φαινόμενον· ἰσοδυναμεῖ πρὸς τὴν λατινικὴν φράσιν, quasi jam scias Ἐπειδὴ ὁ Πῶλος δὲν εἶχε τὴν ὑπομονὴν νὰ μάθῃ ἀκριβῶς τὴν θεωρίαν τοῦ Σωκράτους, ὁ φιλόσοφος ἀναγκάζεται νὰ ἀποκρίνηται πρὸς αὐτὸν ὡσεὶ ταύτην ἐγνώριζεν. Ἀλλ' ἐπειδὴ οὕτω δὲν ἠδύνατο νὰ προχωρήσῃ ὁ διάλογος, ἦτο ἀνάγκη νὰ ζητήσῃ ἐξηγήσεις ὁ Γοργίας. Βεβαίως ὁ κοῦφος Πῶλος δὲν κατεδέχετο νὰ εἴπῃ, ὅτι δὲν ἐννοεῖ τὰ λεγόμενα. Τὸ χωρίον εἶναι τεχνικώτατον.

3. Ὁ ἀλλὰ τίθεται συνήθως ἐν ἀρχῇ, ἐνίοτε δὲ καὶ μετά τινας λέξεις, ὡς Ξενοφ. ἐν Κύρ. Παιδ. I, 18. «Νὴ τὸν Δία, ἔφη, ὦ πάππε, ἀλλ' οὖν πόνηροί γε φαινόμενοι .... ἄγουσιν ἡμῶν τὰ χρήματα.» Ἀριστοφάν. ἐν Νεφέλ. 652.

4. Τὸ οὐδὲ λέγεται ἐν ἀναφορᾷ πρὸς τὸν Πῶλον, ὅστις διὰ τῆς φράσεως τοῦ Σωκράτους, ὡς ἤδη εἰδότι, εἰκονίζεται ὡς οὐκ εἰδώς.

5. Εὐφυῶς ὁ Schleirmacher εἶπεν, ὅτι ὁ Σωκράτης διὰ τοῦ ἐπιθέτου τούτου ποιεῖ ὑπαινιγμὸν εἰς τὸ ὄνομα Πῶλος. Ὄντως ὁ Ξενοφῶν μεταχειρίζεται τοῦτο ἐπὶ ταχέος ἵππου, ἐν Ἱππ. I, 3. Ὡς οἱ νέοι ἵπποι τρέχουσι ταχέως, οὕτω καὶ ὁ Πῶλος σπεύδει. Τὸ ἐπίθετον ὀξὺς δηλοῦν γενικὴν ἰδέαν δέχεται συνήθως προσδιορισμόν. Πλάτ. ἐν Πολιτ. VII, 526, B. «Ὀξὺς εἰς πάντα τὰ μαθήματα.» Θουκυδ. I, 70. Διὰ τοῦτο ἐννοητέον τὸ ναῦν ἢ νοῆσαι.

6. Ὁ δυστυχὴς Πῶλος ὑπὸ πάντων τῶν προσώπων τοῦ διαλόγου καταφρονεῖται καὶ ὑπ' αὐτοῦ τοῦ διδασκάλου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Ἀλλ' ἐγὼ πειράσομαι φράσαι, ὅ γέ μοι φαίνεται εἶναι ἡ ῥητορική· εἰ δὲ μὴ τυγχάνει ὂν[1] τοῦτο, Πῶλος ὅδε ἐλέγξει. σῶμά που καλεῖς τι καὶ ψυχήν;

ΓΟΡ. Πῶς γὰρ γὰρ οὔ;

ΣΩ. Οὐκοῦν καὶ τούτων οἴει τινὰ εἶναι ἑκατέρου εὐεξίαν; 464

ΓΟΡ. Ἔγωγε.

ΣΩ. Τί δαί; δοκοῦσαν μὲν εὐεξίαν, οὖσαν[2] δ' οὔ; οἷον τοιόνδε[3] λέγω· πολλοὶ δοκοῦσιν εὖ ἔχειν τὰ σώματα, οὓς οὐκ ἂν ῥᾳδίως αἴσθοιτό τις, ὅτι οὐκ εὖ ἔχουσιν, ἄλλος[4] τις ἢ ἰατρός τε καὶ τῶν γυμναστικῶν τις.

ΓΟΡ. Ἀληθῆ λέγεις.

ΣΩ. Τὸ τοιοῦτον λέγω καὶ ἐν σώματι εἶναι καὶ ἐν ψυχῇ, ὅ τι ποιεῖ μὲν δοκεῖν εὖ ἔχειν τὸ σῶμα καὶ τὴν ψυχήν, ἔχει δὲ[5] οὐδὲν μᾶλλον.

ΓΟΡ. Ἔστι ταῦτα.

XIX. ΣΩ. Φέρε δή σοι, ἐὰν δύνωμαι, σαφέστερον ἐπιδείξω[6] B

1. Κανονικῶς ἤρμοζε νὰ εἴπῃ οὖσα, διότι ἡ μετοχὴ ἔπρεπε νὰ συμφωνήσῃ πρὸς τὴν ῥητορικήν, ἥτις εἶναι τὸ ὑποκείμενον, καὶ οὐχὶ πρὸς τὸ κατηγορούμενον τοῦτο. Θουκυδ. I, 2. «Φαίνεται γὰρ ἡ νῦν Ἑλλὰς καλουμένη οὐ πάλαι βεβαίως οἰκουμένη.»

2. Αἱ μετοχαὶ αὗται ἐξαρτῶνται ἐκ τοῦ ἐννοουμένου οἷει, ὅπερ συνήθως συντάσσεται ἀπαρεμφάτῳ. Ἐνταῦθα ἐτέθησαν μετοχαὶ χάριν πλείονος βεβαιότητος. Τὸ μὲν δοκεῖν δηλοῖ τὸ φαινόμενον καὶ ὑποκειμενικόν, τὸ δὲ εἶναι πραγματικὸν καὶ ἀντικειμενικόν. Ἐπὶ τῆς διαφορᾶς ταύτης στηρίζεται ὁ ὁρισμὸς τοῦ Σωκράτους.

3. Ὁ Πλάτων συνήθως μεταχειρίζεται τὴν φράσιν ταύτην ἐπὶ παραδειγμάτων, ἐν Εὐθύφρονι 13, B.

4. Κυρίως τὸ ἄλλος ἔπρεπε νὰ συνάψῃ μετὰ τοῦ τίς, ἀλλ' ἔθηκε τοῦτο μετὰ τὴν παρενθετικὴν πρότασιν, ἵνα ὑπάρχῃ ἐγγύτερον τοῦ διαφορικοῦ ἤ.

5. Ἡ φράσις αὕτη ποιεῖ ἀντίθεσιν πρὸς τὸ ποιεῖ μὲν δοκεῖν. Τὸ ὑποκείμενον τοῦ ῥήματος τούτου λαμβάνεται ἐκ τοῦ ἀντικειμένου τῆς προηγουμένης, ὡς καὶ ἐν Φαίδωνι 72, B. «Οἶσθ' ὅτι τελευτῶντα πάντα λῆρον τὸν Ἐνδυμίωνα ἀποδείξειε καὶ οὐδαμοῦ ἂν φαίνοιτο.» δηλ. ὁ Ἐνδυμίων.

6. Τὸ ἐπιδεικνύειν τοῦτο οὐδεμίαν ἔχει σχέσιν πρὸς τὸ ἐπιδείκνυσθαι τοῦ Γοργίου. Ἡ ἐπὶ πρόθεσις σημαίνει προσθήκην, ὡς καὶ παρὰ Θουκυδίδῃ I, 64.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δ λέγω· δυοῖν ὄντοιν τοῖν πραγμάτοιν δύο λέγω τέχνας·[1] τὴν[2] μὲν ἐπὶ τῇ ψυχῇ πολιτικὴν καλῶ, τὴν δὲ ἐπὶ σώματι μίαν[3] μὲν οὕτως[4] ὀνομάσαι οὐκ ἔχω σοι, μιᾶς δὲ οὔσης τῆς τοῦ σώματος θεραπείας δύο μόρια λέγω, τὴν μὲν γυμναστικήν, τὴν δὲ ἰατρικήν· τῆς δὲ πολιτικῆς ἀντὶ μὲν τῆς γυμναστικῆς τὴν νομοθετικήν,[5] ἀντίστροφον δὲ τῇ ἰατρικῇ τὴν δικαιοσύνην.[6] ἐπικοινωνοῦσι μὲν δὴ ἀλλή-

C

1. Ἑκάστη τῶν τεχνῶν τούτων ὑποδιαιρεῖται εἰς δύο ἄλλας ὡς γίνεται δῆλον ἐν τοῖς ἑξῆς. Πρὸς κατανόησιν τῶν ἐνταῦθα λεγομένων ἀπαιτεῖται πίναξ καὶ τοιοῦτον ἐν τῇ πρώτῃ ἐκδόσει παρελάβομεν ἐκ τῆς λογικῆς ἀναλύσεως τοῦ Deuschle. Ἐπειδὴ ὅμως ὁ Θόμψων κατέταξεν ἄλλον ἔτι μᾶλλον διευκολύνοντα τὴν κατάληψιν, προτιμῶμεν τοῦτον ἀνομολογοῦντες χάριτας τῷ κ. Διβαδᾷ, ὅστις κατέστησε τοῦτον ἡμῖν γνωστόν.

Πολιτική

Νομοθετική	Δικαιοσύνη
(Σοφιστική)	(Ῥητορική)

Ἡ τοῦ σώματος θεραπεία.

Γυμναστική	Ἰατρική
(Κομμωτική)	(Ὀψοποιική)

2. Πρότερον πρὸ ταύτης τῆς λέξεως ὑπῆρχεν ὁ σύνδεσμος καὶ πρὸς σύνδεσιν τῆς προτάσεως ταύτης μετὰ τῆς προηγουμένης. Ἀλλ' ἐν πολλοῖς τῶν χειρογράφων λείπει καὶ ἐν ταῖς ἀντιθετικαῖς προτάσεσιν ὑπάρχει τὸ ἀσύνδετον Ἰλιάδ. Α. 304 «Ὣς τώγ' ἀντιβίοισι μαχεσαμένω ἐπέεσσιν ἀνστήτην, λῦσαν δ' ἀγορὴν παρὰ νηυσὶν Ἀχαιῶν. Πηλείδης μὲν ἐπὶ κλισίας .... Ἀτρείδης δ' ἄρα νῆα θοὴν ἅλαδε προέρυσσεν.» Παράβαλλ. Πλάτ. ἐν Νόμ. 957, Α καὶ 338, C.

3. Ἡ φράσις αὕτη ἰσοδυναμεῖ πρὸς τὸ ἑνὶ ὀνόματι ὀνομάσαι.

4. Τὸ ἀναφορικὸν ἐννοεῖται ἔξωθεν, δηλ. ὡς ἐν τῇ θεραπείᾳ τῆς ψυχῆς.

5. Δηλαδὴ ὅτι εἶναι ἡ γυμναστικὴ ἐν τῷ σώματι τὸ αὐτὸ εἶναι ἡ νομοθετικὴ ἐν τῇ ψυχῇ· διότι ὡς ἐκείνη ἐπιμελεῖται, ὅπως τὸ σῶμα ἦναι ὑγιές, οὕτως ἡ νομοθετικὴ φροντίζει, ὅπως ἡ ψυχὴ ἦναι δικαία. Καὶ πάλιν ὅτι εἶναι ἡ ἰατρικὴ ἐν τῷ σώματι, τὸ αὐτὸ εἶναι ἡ δικαιοσύνη ἐν τῇ ψυχῇ· διότι ὡς ἡ ἰατρικὴ θεραπεύει ἤτοι ἐπανορθοῖ τὴν διαταραχθεῖσαν εὐεξίαν τοῦ σώματος, οὕτως ἡ δικαιοσύνη θεραπεύει τὴν νόσον τῆς ψυχῆς, ἤτοι τὴν ἀδικίαν.

6. Εὕρηται καὶ ἡ γραφὴ δικαστικήν, ἀλλ' οἱ κριτικοὶ στηριζόμενοι ἐπὶ τοῦ κύρους τῶν χειρογράφων προτιμῶσι τὴν δικαιοσύνην. Ὁ Σχολιαστὴς λέγει· «Δι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λαις, ἅτε περὶ τὸ αὐτὸ οὖσαι, ἑκάτεραι τούτων, ἥ τε ἰατρικὴ τῇ γυμναστικῇ καὶ ἡ δικαιοσύνη τῇ νομοθετικῇ, ὅμως δὲ διαφέρουσί τι ἀλλήλων. τεττάρων δὴ τούτων οὐσῶν, καὶ ἀεὶ πρὸς τὸ βέλτιστον θεραπευουσῶν τῶν μὲν τὸ σῶμα, τῶν δὲ τὴν ψυχήν, ἡ κολακευτικὴ[1] αἰσθομένη, οὐ γνοῦσα λέγω,[2] ἀλλὰ στοχασαμένη, τέτραχα ἑαυτὴν διανείμασα, ὑποδῦσα[3] ὑπὸ ἕκαστον τῶν μορίων, προσποιεῖται εἶναι τοῦτο ὅπερ ὑπέδυ, καὶ τοῦ μὲν βελτίστου οὐδὲν φρον- D

καιοσύνην, ἀλλ' οὐ δικαστικὴν προσεῖπεν, ἵνα μὴ τὸ δικαστικὸν μόνον, ἀλλὰ καὶ τὸ διανεμητικόν, μᾶλλον δὲ καὶ αὐτὴν τῆς ψυχῆς εἰς ἑαυτὴν ἐνέργειαν περιλάβῃ τὸ ὄνομα.» Ἡ λέξις δικαιοσύνη δηλοῖ οὐ μόνον τὸ νὰ ἦναί τις δίκαιος, ἀλλὰ καὶ τὸ νὰ ἀποδίδῃ τὸ δίκαιον, ὡς γίνεται δῆλον ἐκ τοῦ Ἀριστοτέλους ἐν Ἠθικ. 5, 5 «Καὶ ἡ μὲν δικαιοσύνη ἐστὶ καθ' ἣν ὁ δίκαιος λέγεται πρακτικὸς κατὰ προαίρεσιν τοῦ δικαίου, καὶ διανεμητικὸς καὶ ἑαυτῷ πρὸς ἄλλον, καὶ ἑτέρῳ πρὸς ἕτερον», Πλάτ. ἐν Πολιτ. I, 332, C. D. «Ἡ οὖν δὴ τίσι τί ἀποδιδοῦσα τέχνη δικαιοσύνη ἂν καλοῖτο;»

1. Ἡ κολακευτικὴ περιλαμβάνει καὶ τὰς τέσσαρας ψευδοτεχνίας, εἰς ἃς εἰσέρχεται. Ἡ ἰατρικὴ ἔχει κοινὸν μετὰ τῆς γυμναστικῆς, διότι ἀμφότεραι ἀνήκουσιν εἰς τὴν ἐπιμέλειαν τοῦ σώματος, καὶ ἡ δικαιοσύνη μετὰ τῆς νομοθετικῆς, διότι καὶ αἱ δύο ἐπιμελοῦνται τῆς ψυχῆς. Ὅμως διαφέρουσι κατὰ τοῦτο, ὅτι ἡ μὲν γυμναστικὴ προλαμβάνει τὴν νόσον, ἡ δὲ ἰατρικὴ θεραπεύει τὸ νοσῆσαν σῶμα. Τὸ αἰσθάνεσθαι διαφέρει τοῦ γιγνώσκειν, καθ' ὅσον τοῦτο μὲν ἀναφέρεται εἰς τὴν ἐσωτερικὴν ἀλήθειαν τῶν ὄντων, τὸ δὲ αἰσθάνεσθαι εἰς τὴν ἐξωτερικὴν αὐτῶν μορφήν.

2. Μετεχειρίσθη τὸ λέγω, ἵνα ἐπιστήσῃ τὴν προσοχὴν ἐπὶ τῆς διαφορᾶς τοῦ γινώσκειν καὶ αἰσθάνεσθαι.

3. Ὁ ἀόριστος β' ἔχει μέσην σημασίαν. Συνήθως εὑρίσκεται ὁ μέσος τύπος, ὁ δὲ ἐνεργητικὸς ὑπάρχει ἅπαξ παρὰ Ξενοφῶντι ἐν Ἱππικ. VIII, 7. «Ἧττον γὰρ ἂν καὶ ὑποδύοι ὁ ἵππος καὶ ἀναβάλλοι τὸν ἀναβάτην.» Ἐν ἄλλαις λέξεσιν ἕκαστον τῶν μορίων τῆς κολακείας ὑποδύεται ἢ εἰσέρχεται ὑπὸ τὸ προσωπεῖον τῆς θεραπείας τοῦ σώματος καὶ τῆς ψυχῆς, καὶ Ἀριστοτέλ. ἐν Ποιητ. I, 2. «Ὑποδύεται ὑπὸ τὸ σχῆμα τὸ τῆς πολιτικῆς ἡ ῥητορική. Τῶν λόγων οἱ μὲν καὶ φαίνονται ἀληθεῖς καὶ εἰσιν, τοῖς δὲ ὑποδέδυκε μὲν τὸ ψεῦδος· ὅμως δὲ ὑποκρίνονται καὶ ἀπατῶσιν.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τίζει, τῷ δὲ ἀεὶ[1] ἡδίστῳ θηρεύεται τὴν ἄνοιαν[2] καὶ ἐξαπατᾷ, ὥστε δοκεῖ πλείστου ἀξία εἶναι. ὑπὸ μὲν οὖν τὴν ἰατρικὴν ἡ ὀψοποιικὴ ὑποδέδυκε, καὶ προσποιεῖται τὰ βέλτιστα σιτία τῷ σώματι εἰδέναι, ὥστ' εἰ δέοι ἐν παισὶ διαγωνίζεσθαι[3] ὀψοποιόν τε καὶ ἰατρὸν ἢ ἐν ἀνδράσιν οὕτως ἀνοήτοις ὥσπερ οἱ παῖδες, πότερος ἐπαίει[4] περὶ τῶν χρηστῶν σιτίων καὶ πονηρῶν, ὁ ἰατρὸς
Ε ἢ ὀψοποιός, λιμῷ ἂν ἀποθανεῖν[5] τὸν ἰατρόν. κολακείαν μὲν οὖν αὐτὸ καλῶ, καὶ αἰσχρόν φημι εἶναι τὸ τοιοῦτον, ὦ Πῶλε— τοῦτο γὰρ πρὸς σὲ λέγω[6]—ὅτι τοῦ ἡδέος στοχάζεται ἄνευ τοῦ
465 βελτίστου· τέχνην δὲ αὐτὴν οὔ φημι εἶναι, ἀλλ' ἐμπειρίαν, ὅτι οὐκ ἔχει λόγον οὐδένα[7] ἃ[8] προσφέρει ὁποῖ' ἄττα τὴν φύσιν ἐστίν,

1. Τὸ αεὶ ἔχει ἐνταῦθα τὴν σημασίαν τοῦ ἑκάστοτε. Ὁ Πλάτων συχνάκις μεταχειρίζεται τὴν ἐκ τῆς θήρας μεταφορὰν ἐπὶ τεχνῶν, αἵτινες μόνον τὸ φαινόμενον ζητοῦσιν.

2. Τινὲς ἔγραψαν διάνοιαν κατά τι χειρόγραφον καὶ ὁ van Heusde προετίμησε τὸ εὔνοιαν, ὅπερ ἀποκρούει τὸ ἑπόμενον ἐξαπατᾷ. Τὸ ἀφηρημένον ἀντὶ τοῦ συγκεκριμένου κεῖται, ὡς καὶ παρὰ Δημοσθ. Ὀλυνθ. II, 7. «Τὴν γὰρ ἑκάστων ἄνοιαν ἀεὶ τῶν ἀγνοούντων αὐτὸν ἐξαπατῶν καὶ προσλαμβάνων οὕτως ηὐξήθη.»

3. Ταῦτα λέγονται ἀναφορικῶς πρὸς τὰ ὑπὸ τοῦ Γοργίου εἰρημένα 456, B, C. καὶ 459, A. Εὐφυῶς παραβάλλει τοὺς ἐκκλησιαστὰς καὶ τοὺς δικαστὰς πρὸς παιδία.

4. Ὁ Heindorf καὶ ὁ Κοραῆς διορθοῦσιν εἰς εὐκτικήν, διότι ἡ πρότασις αὕτη ἐξαρτᾶται ἐξ εὐκτικῆς, εἰ δέοι. Ἀλλ' ὑπάρχουσιν ὅμοια παραδείγματα, Πλάτ. ἐν Πρωταγ. 318, B. «Εἴ τίς σε διδάξειεν ὃ μὴ τυγχάνεις ἐπιστάμενος». Τὸ ῥῆμα τοῦτο συνήθως μεταχειρίζονται μὲν οἱ ποιηταί, ἀλλὰ καὶ ὁ Πλάτων οὐχὶ σπανίως, ὡς ἐν Ἀπολογ. 19C. ἐν Κρίτων. 47B.

5. Εἶναι ἀπόδοσις τοῦ εἰ δέοι. Ὁ Σχολιαστὴς ἐπεχείρησε νὰ ἀνεύρῃ καὶ τὴν αἰτίαν εἰπών· «Ἢ ὡς τῶν ἀνοήτων τοῦτο αὐτοῦ καταψηφισαμένων, ἢ ὡς ἀπελαθέντα ὑπ' αὐτῶν, καὶ τοῦ ἐκ τῆς ἰατρείας μισθοῦ στερούμενον, σπάνει τῆς τροφῆς ἀποθανεῖν.»

6. Ἔθηκε τὴν παρένθεσιν, ὅπως ἡ ἀπόκρισις γίνηται μόνον πρὸς τὸν Πῶλον, καὶ μὴ λυπηθῇ ὁ Γοργίας, ὡς λέγει ὁ Heindorf. Ὅρα 462E.

7. Ἡ ἄρνησις ἐπαναλαμβάνεται πρὸς μείζονα ἔμφασιν. Τὰ αὐτὰ ὑποστηρίζει καὶ ἐν Φαίδρῳ. 260, E. «Ὅτι ψεύδεται καὶ οὐκ ἔστι τέχνη, ἀλλ' ἄτεχνος τριβή.»

8. Τὰ μὲν χειρόγραφα ἔχουσιν ᾧ, ὁ δὲ Cornarius εἶκασεν ὧν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὥστε τὴν αἰτίαν[1] ἑκάστου μὴ ἔχειν εἰπεῖν. ἐγὼ δὲ τέχνην οὐ καλῶ, ὃ ἂν ᾖ ἄλογον πρᾶγμα· τούτων δὲ περὶ εἰ ἀμφισβητεῖς, ἐθέλω ὑποσχεῖν[2] λόγον.

XX Τῇ μὲν οὖν ἰατρικῇ, ὥσπερ λέγω, ἡ ὀψοποιικὴ κολα- B
κεία[3] ὑπόκειται· τῇ δὲ γυμναστικῇ κατὰ τὸν αὐτὸν τρόπον τοῦτον ἡ κομμωτική, κακοῦργός[4] τε οὖσα καὶ ἀπατηλὴ καὶ ἀγεννὴς[5] καὶ ἀνελεύθερος, σχήμασι καὶ χρώμασι καὶ λειότητι καὶ αἰσθήσει[6]

καὶ ὁ Stallbaum ἅ· διότι ἡ σύνταξις ἔχει οὑτωσί· οὐκ ἔχει λόγον οὐδένα, ὁποῖ' ἄττα τὴν φύσιν ἐστὶν ἃ προσφέρει. Ἡ ὀψοποιικὴ εἶναι ἐμπειρία, διότι δὲν δύναται νὰ δώσῃ τὸν λόγον ἐκείνων, τὰ ὁποῖα προσφέρει. Ἡ ἰατρικὴ ὅμως εἶναι τέχνη, διότι γινώσκειτὸν λόγον 501A «ἡ δ' ἰατρική, λέγων ὅτι ἡ μὲν τούτου οὐ θεραπεύει καὶ τὴν φύσιν ἔσκεπται καὶ τὴν αἰτίαν ὧν πράττει, καὶ λόγον ἔχει τούτων ἑκάστου δοῦναι»

1. Τὸ αὐτὸ ἐν Μένωνι λέγεται λογισμὸς αἰτίας. 98, A.

2. Ἡ πλήρης σύνταξις εἶναι ὑπέχειν λόγον τινί τινος· ἐνταῦθα ἡ δοτικὴ δύναται νὰ ἐξαχθῇ ἐκ τοῦ προσώπου τοῦ προηγουμένου ῥήματος, Ξενοφ. ἐν Ἀπομν. IV, 4,9. «Αὐτὸς οὐδενὶ θέλων ὑπέχειν λόγον, οὐδὲ γνώμην ἀποφαίνεσθαι περὶ οὐδενός.»

3. Κατὰ τὸν Hirschig ἡ λέξις ὑπὸ τῶν ἀντιγραφέων ἀμούσως εἰσήχθη· διότι οὐδαμοῦ λέγεται ὀψοποιικὴ κολακεία. Ἡ ὀψοποιικὴ κατὰ τὸν Σωκράτη εἶναι κολακεία τις ἢ μᾶλλον κολακείας μόριον. Τὸ ὑπόκειται ἰσοδυναμεῖ πρὸς τὸ ὑποτέθειται καὶ τὸ ὑπόδεδυκεν, ὅπερ εἶπεν ἐν τοῖς ἔμπροσθεν. Ὁ Stallbaum ἑρμηνεύει διὰ τοῦ clam et fraudulenter adjacet.

4. Τὰ τέσσαρα ἐπίθετα, ὡς λέγει ὁ Cron, διαιροῦνται εἰς δύο σειράς, ἐξ ὧν ἡ πρώτη δηλοῖ τὴν κομμωτικὴν καθ' ἑαυτήν, ἡ δὲ δευτέρα περιέχει τὸ αἰσχρόν, δηλ. εἶναι ἡ κρίσις περὶ τῆς ἐμπειρίας.

5 Ὁ μὲν Πλάτων παράγων τὴν λέξιν ἐκ τοῦ α καὶ γέννα γράφει διὰ δύο ν, οἱ δὲ νεώτεροι παραβάλλοντες πρὸς τὸ εὐγενὴς γράφουσι δι' ἑνὸς ν.

6. Τὰ χειρόγραφα ἔχουσιν αἰσθήσει, εἰς ὃ προσκρούουσιν οἱ κριτικοὶ καὶ ποικίλας διορθώσεις ἐπινοοῦσιν. Ὁ Daehne προὔτεινε νὰ γραφῇ τὰς αἰσθήσεις ἁπάτῳσα, ὅπερ δὲν εἶναι μὲν ἀτυχές, ἀλλ' ἀπέχει οὐχὶ ὀλίγον τῆς παραδόσεως. Ἔν τινι δὲ χειρογράφῳ ὑπάρχει ἡ γραφὴ ἐσθῆσιν, ὅπερ ὁ Bekker παρέλαβεν εἰς τὸ κείμενον. Κατὰ τῆς γραφῆς ταύτης ὁ Heindorf οὐχὶ ἀτόπως παρατηρεῖ, ὅτι ἡ ἔννοια τῆς ἐσθῆτος περιελήφθη ἤδη ἐν τῇ φράσει σχήμασι καὶ χρώμασι καὶ ὅτι μετὰ τὰ ἀνήκοντα εἰς τὴν ὅρασιν καὶ τὴν ἁφὴν διὰ τοῦ αἰσθήσει περιέλαβε τὰ ἀνήκοντα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπατῶσα, ὥστε ποιεῖν ἀλλότριον[1] κάλλος ἐφελκομένους τοῦ οἰκείου τοῦ διὰ τῆς γυμναστικῆς ἀμελεῖν. ἵν' οὖν μὴ μακρολογῶ, ἐθέλω σοι εἰπεῖν ὥσπερ οἱ γεωμέτραι[2]—ἤδη γὰρ ἂν ἴσως ἀκο-
C λουθήσαις—ὅτι ὁ κομμωτικὴ πρὸς γυμναστικήν, τοῦτο ὀψοποικὴ πρὸς ἰατρικήν· μᾶλλον δὲ ὧδε, ὅτι ὁ κομμωτικὴ πρὸς γυμναστικήν, τοῦτο σοφιστικὴ πρὸς νομοθετικήν, καὶ ὅτι ὁ ὀψοποικὴ πρὸς ἰατρικήν, τοῦτο ῥητορικὴ πρὸς δικαιοσύνην. ὅπερ[3] μέντοι

εἰς τὰς λοιπὰς αἰσθήσεις. Τὴν γνώμην ταύτην ὑποστηρίζει καὶ ὁ Kratz λέγων, ὅτι εἰς ταύτην τὴν ἔννοιαν ἁρμόζει καὶ ὁ καί, ὅστις εἰς τὰ μέρη προστίθησι καὶ ὅλον. Ὁ δὲ Schmidt ἐννοεῖ οὐχὶ ἀορίστους αἰσθήσεις, ἀλλὰ μόνον τὴν ὄσφρησιν. Οὕτως ἠδύνατο νὰ ἀναγνωσθῇ ὁ σ φ ρ ή σ ε ι. Ἐπειδὴ δὲ τὰ ἄλλα τρία ἀναφέρονται εἰς τὰ αἰσθητὰ καὶ οὐχὶ εἰς τὰς αἰσθήσεις, ὁ Schmidt λέγει, ὅτι ἡ ὄσφρησις ἔχει δύο σημασίας, ὡς γίνεται δῆλον παρὰ Θωμᾷ τῷ Μαγίστρῳ σελ. 250 «ὄσφρησις ἡ ὀσφραντικὴ δύναμις καὶ ἐπὶ τοῦ ὀσφρουμένου (ὀσφραντοῦ), οἷον ἡ τοῦ ῥόδου ὄσφρησις εὐώδης.» Ἀλλ' αἱ διορθώσεις αὗται καὶ ἑρμηνεῖαι, καίπερ μετ' εὐφυΐας γενόμεναι δὲν ἔτυχον τοσαύτης ὑποδοχῆς, ὅσης ἡ διόρθωσις τοῦ ἡμετέρου Κοραῆ διορθοῦντος εἰς ἐ σ θ ή σ ε ι=ἐνδυμασία, ὅπερ εὕρηται παρ' Ἀθηναίῳ I,18, Διοδώρῳ IV,4 καὶ παρ' ἄλλοις. Τὴν διόρθωσιν ταύτην ἐδέξαντο ἐπιφανέστατοι κριτικοί, οἷος ὁ Hermann, ὁ Stallbaum, ὁ Cron καὶ ὁ Hirschig. Ἡμεῖς καίπερ μετὰ χαρᾶς βλέποντες τὴν τιμὴν τὴν ἀποδιδομένην εἰς τὸν Ἕλληνα κριτικόν, ὅμως διατηροῦμεν τὴν γραφὴν τῶν χειρογράφων, διότι ὑπάρχουσιν ὑπὲρ αὐτῆς λόγοι, οὓς εἶπον ὁ Heindorf καὶ ὁ Kratz.

1. Τὰ ἐπίθετα οἰκεῖος καὶ ἀλλότριος συχνάκις παρὰ Πλάτωνι εὑρίσκονται εἰς ἀντίθεσιν. Οἰκεῖον μὲν κάλλος εἶναι τὸ ἐν τῇ φύσει τοῦ ὄντος ὑπάρχον, ἀλλότριον δὲ τὸ ἔξωθεν προσκτώμενον.

2. Ἐννοεῖται ἔξωθεν τὸ ῥῆμα λέγουσι. Ἡ λέξις γεωμέτρης καθ' ὅλου σημαίνει τὸν μαθηματικόν, ὡς ἐν τῷ Θεαιτήτῳ Θεόδωρος ὁ Κυρηναῖος ὀνομάζεται γεωμέτρης· ἡ ὑψηλοτέρα ἀριθμητικὴ περιελαμβάνετο ἐν τῇ γεωμετρίᾳ. Διότι οἱ Ἕλληνες τὴν γεωμετρικὴν μέθοδον μετεχειρίζοντο καὶ πρὸς αἰσθηταποίησιν ἀφῃρημένων σχέσεων τῶν ἀριθμῶν, ὡς λέγει ὁ Cron.

3. Ἐνταῦθα ὑπάρχει ὁλόκληρος σειρὰ δυσκολιῶν, ὧν ἡ ἀκριβὴς ἐπίλυσις μᾶλλον μονογραφίᾳ ἢ ἐκδόσει ἀνήκει. Κατὰ πρῶτον τὸ ὅπερ παρέχει δυσκολίαν τινά, δι' ἣν ὁ Κοραῆς καὶ ὁ Stallbaum εἶκασαν, ὅτι δύναται νὰ γραφῇ ἅ π ε ρ, ἀλλὰ τῇ εἰκασίᾳ ταύτῃ οὐδεὶς ἠκολούθησε. Ὁ δὲ Buttmann νομίζει, ὅτι ἡ φράσις ἀναφέρεται

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέγω, διέστηκε μὲν οὕτω φύσει· ἅτε δ'[1] ἐγγὺς ὄντων, φύρονται ἐν τῷ αὐτῷ[2] καὶ περὶ ταὐτὰ σοφισταὶ καὶ ῥήτορες[3], καὶ οὐκ

εἰς τὰ ἑπόμενα, δηλ. ὅπερ μέντοι λέγω, τοῦτό ἐστιν, ὅπερ ἀπίθανον. Κατὰ τὸν Heindorf ἀναφέρεται εἰς τὰ εἰρημένα ἐν 464 B. C, δηλ. εἰς τὰς τέχνας καὶ τὰς ἐμπειρίας. Τὴν γνώμην ταύτην δέχεται ὁ Schmidt καὶ ὁ Cron, ὅστις παρατηρεῖ, ὅτι ἡ ἔννοια αὕτη εἶναι σχεδὸν κατὰ λέξιν ἐπανάληψις τῆς ἄνω φράσεως (ἅτε περὶ τὸ αὐτὸ οὖσαι). Νομίζομεν, ὅτι πιθανώτερον ὁ Kratz ἀναφέρει εἰς τὸν προηγούμενον μαθηματικὸν τύπον περὶ τῶν ἀληθῶν καὶ ψευδῶν τεχνῶν· διότι ἡ γνώμη καίπερ μὴ διαφέρουσα τῆς ἄρτι εἰρημένης, ὅπως τὴν ἀντωνυμίαν εἰς τὰ ἐγγὺς ἀποδίδουσα εἶναι γραμματικῶς πιθανωτέρα. Ἂν δὲ ταῦτα ἀνεφέροντο εἰς ἐκεῖνα τὰ πόρρω κείμενα, ἔπρεπεν ὁ Πλάτων νὰ θέσῃ μᾶλλον τὸν οὖν. Ὁ μέντοι ἔχει ὀρθῶς, διότι γίνεται ἀντίθεσις τῆς θεωρίας πρὸς τὴν πρᾶξιν, ὡς γίνεται δῆλον ἐν τοῖς ἑξῆς. Ὑποκείμενον τοῦ διέστηκε εἶναι αἱ τέχναι καὶ ἐμπειρίαι, ἤτοι ταῦτα, ὅπερ κατὰ γενικὴν εἶναι καὶ ὑποκείμενον τῶν ὄντων. Αἱ εἰρημέναι τέχναι καὶ ἐμπειρίαι, ὡς εἶπον, κατὰ θεωρίαν ἔχουσι ταύτας τὰς διαφοράς, ὅμως διὰ τῶν ἀνθρώπων συμφύρονται.

1. Ἡ ἀντίθεσις γίνεται οὑτωσί· διέστηκε μὲν — φύρονται δέ. Λέγει, ὅτι αἱ τέχναι καὶ αἱ ἐμπειρίαι εἶναι ἐγγύς, διότι ἐπικοινωνοῦσιν ἀλλήλαις, ἅτε περὶ τὸ αὐτὸ οὖσαι 464 C. Τὸ ὑποκείμενον τῶν ἀπολύτων μετοχῶν συνήθως τίθεται, σπανίως δὲ παραλείπεται, ὡς ἐν Ἰλιάδ. Ο, 190. Τί λοιπὸν εἶναι τὸ ὑποκείμενον; Δὲν δυνάμεθα νὰ λάβωμεν τὴν σοφιστικὴν καὶ τὴν ῥητορικήν, διότι ἐκ τῶν ἡγουμένων κατέρχεται γενικῶς λέγων περὶ πασῶν τῶν τεχνῶν καὶ τῶν ἐμπειριῶν καὶ εἶτα στενοῖ τὴν ἔννοιαν. Ὁ Πλάτων δὲν προτίθεται νὰ εἴπῃ, ὅτι πᾶσαι αἱ τέχναι καὶ ἐμπειρίαι συμφύρονται, ἀλλὰ μόνον, ὅτι ἐν ταύταις συμβαίνουσι συγχύσεις.

2. Δηλαδὴ ἐν τῷ αὐτῷ προσώπῳ, ὅπερ δύναται νὰ εἶναι καὶ ῥήτωρ καὶ σοφιστὴς καὶ νὰ λέγῃ τὰ αὐτά. Ὁ Πλάτων ἠναγκάσθη νὰ ποιήσῃ ταύτην τὴν παρατήρησιν, διότι ὁ Γοργίας ἔλεγεν, ὅτι εἶναι ῥήτωρ καὶ οὐχὶ σοφιστής. Οὕτως οἱ σοφισταὶ καὶ οἱ ῥήτορες οὐ μόνον ἀσχολοῦνται περὶ εἴδωλα τεχνῶν, ἀλλὰ καὶ δὲν ἔχουσι τὴν ἐπιστήμην, ὅπως τὰ ὅρια τούτων διαστέλλωσιν.

3. Ὀρθῶς δὲν εἶπε σοφιστικὴ καὶ ῥητορική, διότι ἡ σύγχυσις γίνεται οὐχὶ ἐν τῇ θεωρίᾳ, ἀλλὰ διὰ τῶν ἀνθρώπων, ὡς ὀρθῶς παρατηρεῖ ὁ Kratz. Τὴν φράσιν σοφισταὶ καὶ ῥήτορες ὁ Bekker καὶ ὁ Schleiermacher ἐξαλείφουσιν, ἐξ ὧν ὁ τελευταῖος λέγει, ὅτι ἡ σύγχυσις δὲν γίνεται τῶν σοφι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ οὐκ ἔχουσιν ὅ τι χρήσονται[1] οὔτε αὐτοὶ ἑαυτοῖς οὔτε οἱ ἄλλοι ἄνθρωποι τούτοις. καὶ γάρ[2] ἄν, εἰ μὴ ἡ ψυχὴ τῷ σώματι ἐπεστάτει[3], ἀλλ' αὐτὸ αὑτῷ, καὶ μὴ ὑπὸ ταύτης κατεθεωρεῖτο
D καὶ διεκρίνετο ἥ τε ὀψοποιικὴ καὶ ἡ ἰατρική[4], ἀλλ' αὐτὸ τὸ

στῶν μετὰ τῶν ῥητόρων, ἀλλὰ τούτων μετὰ τῶν νομοθετῶν καὶ διδασκάλων τοῦ δικαίου. Ὅτι οὐχὶ ὀρθῶς ἐξηλείφθη ἡ φράσις, μαρτυρεῖ αὐτὸς ὁ Πλάτων λέγων ἐν 520 A «Ταὐτόν, ὦ μακάρι', ἐστὶ σοφιστὴς καὶ ῥήτωρ, ἢ ἐγγύς τι καὶ παραπλήσιον, ὥσπερ ἐγὼ ἔλεγον πρὸς Πῶλον».

1. Καὶ δὲν γινώσκουσι οὔτε οἱ ἴδιοι πῶς νὰ μεταχειρισθῶσι τὸν ἑαυτόν των (δηλ. νὰ ἐπαγγελθῶσιν, ὅτι δίδουσι μαθήματα τῆς σοφιστικῆς ἢ τῆς ῥητορικῆς), οὔτε οἱ ἄλλοι ἄνθρωποι γινώσκουσι ποῖα μαθήματα νὰ λάβωσι παρ' αὐτῶν.

2. Ὁ σύνδεσμος οὗτος μεγάλην δυσκολίαν παρέχει τοῖς ἑρμηνευταῖς, διότι δὲν αἰτιολογεῖ τὰ προηγούμενα, ἀλλ' ἐπάγει πρὸς ἐξήγησιν ἀνάλογον περίστασιν. Κατὰ τὸν Kratz δύναται νὰ ἐξηγηθῇ διὰ τῆς παραδοχῆς ἐλλείψεως, δηλ. οὐδὲν τὸ παράδοξον, διότι καὶ ἐν τῷ σώματι τὸ αὐτὸ ἤθελε συμβῆ. Νομίζομεν, ὅτι ὁ σύνδεσμος ἠδύνατο νὰ ἐξηγηθῇ κατὰ τὴν σύνθεσιν αὐτοῦ, γε ἄρα, ὡς καὶ ἀλλαχοῦ.

3. Τὸ ῥῆμα τοῦτο ὑπομιμνήσκει τοὺς ἐπιστάτας, οἵτινες ἦσαν πρόεδροι ἐν τῇ ἐκκλησίᾳ τοῦ δήμου καὶ ἐν τοῖς δικαστηρίοις.

4. Πρὸ ὀλίγου εἴρηται, ὅτι συγχέεται ἡ σοφιστικὴ μετὰ τῆς ῥητορικῆς, δηλ. δύο ψευδοχνίαι· ἐνταῦθα ὅμως λέγεται, ὅτι ὑπῆρχε κίνδυνος συγχύσεως τῆς ὀψοποιικῆς μετὰ τῆς ἰατρικῆς, δηλ. τέχνης μετὰ ψευδοτεχνίας. Πῶς συμβαίνει τοῦτο; Πρὸς ἄρσιν τῆς δυσκολίας τινὲς, ὡς ἀναγινώσκομεν παρὰ τῷ Ast, τὸ προηγούμενον σοφισταὶ καὶ ῥήτορες ἠθέλησαν νὰ μεταβάλωσιν εἰς δικασταὶ καὶ ῥήτορες (πρὸς κατανόησιν ἴδε προηγούμενον πίνακα). Ἀλλὰ τὴν διόρθωσιν ταύτην κωλύει τὸ 520 A, ἔνθα γίνεται μνεία τοῦδε τοῦ χωρίου. Ἀφ' οὗ τοιαύτη διόρθωσις ἀποτυγχάνει, ἴσως δύναται νὰ ἐπέλθῃ εἰς τὸν νοῦν τινος, ὅπως διορθώσῃ τήνδε τὴν φράσιν εἰς ἥ τε ὀψοποιικὴ καὶ ἡ κομμωτικὴ, ἀφ' οὗ οὕτως ἔχει ἐν τῷ ἑπομένῳ χωρίῳ τοῦ Ὀλυμπιοδώρου. Τοιαύτη διόρθωσις ἔχει τὴν ἀρετήν, ὅτι πάλιν δύο ψευδοτεχνίαι συγχέονται. Ἀλλὰ κατὰ τὸν Schmidt ταύτην κωλύει ἡ ἑπομένη φράσις ἀκρίτων ὄντων τῶν τε ἰατρικῶν καὶ ὑγιεινῶν καὶ ὀψοποιικῶν. Νομίζομεν, ὅτι καὶ ἄνευ τοῦ κωλύματος τούτου φύσει δὲν δύναται νὰ ὑπάρξῃ σύγχυσις τῆς κομμωτικῆς μετὰ τῆς ὀψοποιίας, διότι τὰ ἐκείνης μὲν ἀναφέροντα εἰς τὸν στολισμὸν τοῦ σώματος, τὰ ταύτης δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σῶμα ἔκρινε σταθμώμενον ταῖς χάρισι ταῖς πρὸς αὐτό[1], τὸ τοῦ Ἀναξαγόρου[2] ἂν πολὺ[3] ἦν, ὦ φίλε Πῶλε—σὺ γὰρ τούτων ἔμπειρος[4]—, ὁμοῦ ἂν πάντα χρήματα ἐφύρετο ἐν τῷ αὐτῷ[5], ἀκρί-

εἰς τὴν ἡδονὴν τῆς γεύσεως. Καθ' ἡμᾶς μάτην πειρῶνται, ὅπως ἀνεύρωσιν ἀκριβῆ διάταξιν τῆς συγχύσεως εἴτε μόνον ψευδοτεχνιῶνμετ' ἀλλήλων, εἴτε μόνον ψευδοτεχνιῶν πρὸς ἀληθεῖς τέχνας· διότι ὁ Πλάτων προτίθεται νὰ εἴπῃ μόνον, ὅτι ἐν τῇ ὑπ' αὐτοῦ γενομένῃ διατάξει γίνονται ἢ ἠδύναντο νὰ συμβῶσι συγχύσεις. Ἐξελέξατο δὲ ἐκεῖνα τὰ παραδείγματα, ἐν οἷς σαφέστερον ἡ σύγχυσις καθοράται· ἠδύνατο ὅμως νὰ μνημονεύσῃ καὶ ἄλλων συγχύσεων, π. χ. τῆς δικαιοσύνης καὶ τῆς ῥητορικῆς.

1. Ὁ Ὀλυμπιόδωρος ἀναπτύσσει τὴν αἰτίαν, δι' ἣν ἐκεῖ μὲν γίνεται σύγχυσις, οὐχὶ δὲ καὶ ἐνταῦθα· «Ἄξιον δὲ ζητῆσαι, διὰ τί σοφιστικὴ μὲν καὶ ῥητορικὴ συγχέονται, κομμωτικὴ δὲ καὶ ὀψοποιητικὴ οὔ; φαμέν, ὅτι ἡ ὀψοποιητικὴ καὶ ἡ κομμωτικὴ εἴδωλά ἐστι σώματος. Εἰ οὖν σῶμα αὐτὰς διεγίγνωσκε, σύγχυσις ἂν καὶ αὐτῶν ἐγίγνετο. Πῶς γὰρ τὸ σῶμα τὸ κρατούμενον τοῖς ἐξ αὐτῶν πάθεσιν εἶχε διακρῖναι; νυνὶ δέ, ἐπειδὴ σώματος μέν ἐστιν εἴδωλα, ἡ ψυχὴ δέ ἐστιν ἡ διακρίνουσα, διὰ τοῦτο οὐ συγχέονται, τῆς ψυχῆς διοριζούσης. Ῥητορικὴ δὲ καὶ σοφιστικὴ τῆς ψυχῆς εἴδωλα· εἰ οὖν ψυχὴ ἡ πάσχουσα, πῶς ἔχει διακρῖναι κατακρατηθεῖσα καὶ ἀνδραποδισθεῖσα; ὥστε διὰ τοῦτο ἡ σύγχυσις.»

2. Ὁ μέγας τῆς ἀρχαιότητος φιλόσοφος, ὁ διδάσκαλος τοῦ Περικλέους, ὅστις ἐδόξαζε, πάντα χρήματα ἦν ὁμοῦ· εἶτα νοῦς ἐλθὼν αὐτὰ διεκόσμησε. Ὁ Σωκράτης θέλων νὰ δηλώσῃ, ὅτι ἤθελεν ὑπάρχει ἡ μεγίστη σύγχυσις, μετεχειρίσθη τὸ ὁμοῦ πάντα χρήματα, ὅπερ κατέστη παροιμιῶδες καὶ παρὰ τοῖς μὴ φιλοσόφοις. Ὅρα Φαίδων 72C καὶ 101F.

3. Δηλαδὴ ἡ σύγχυσις ἤθελε γίνεσθαι ἐν εὐρυτάτῃ ἐκτάσει καὶ συχνότατα.

4. Ὁ Σωκράτης εἰρωνευόμενος τὸν Πῶλον ποιεῖται χρῆσιν τῆς Ἀναξαγορείου θεωρίας καὶ ὑπαινίσσεται τὰς πεφυρμένας ἰδέας τοῦ σοφιστοῦ, αἵτινες ὁμοιάζουσι πρὸς τὰ ἄτομα τοῦ Ἀναξαγόρου. Λείπει δὲ ἀπὸ αὐτῶν ὁ νοῦς. Νομίζομεν δ', ὅτι οὐδόλως πρόκειται περὶ γνώσεως τῆς φιλοσοφίας τοῦ Ἀναξαγόρου, ὡς ὑποδεικνύει τὸ ἔμπειρος. Τὴν πεῖραν ἔχει ἐν τῇ συγχύσει καὶ οὐχὶ ἐν τῇ φιλοσοφίᾳ.

5. Ὑπὸ τοῦ Hirschig ἡ φράσις αὕτη θεωρεῖται ὡς ὀβελιστέα· διότι τὸ ὁμοῦ=ἐν ταὐτῷ (τόπῳ), ὡς τὸ ὁμόσε=εἰς τὸν αὐτὸν τόπον καὶ τὸ ὁμόθεν=ἐκ τοῦ αὐτοῦ τόπου. Ἀφ' οὗ ὑπάρχει τὸ ὁμοῦ, ἡ φράσις αὕτη πλεονάζει. Οἱ πλεονασμοὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ὄντων τῶν τε ἰατρικῶν[1] καὶ ὑγιεινῶν καὶ ὀψοποικῶν. ὁ μὲν οὖν ἐγώ φημι τὴν ῥητορικὴν εἶναι, ἀκήκοας· ἀντίστροφον ὀψοποιίᾳ ἐν ψυχῇ, ὡς ἐκεῖνο[4] ἐν σώματι. ἴσως μὲν οὖν ἄτοπον πεΕ ποίηκα, ὅτι σὲ[5] οὐκ ἐῶν μακροὺς λόγους λέγειν αὐτὸς συχνὸν λόγον ἀποτέτακα. ἄξιον μὲν οὖν ἐμοὶ συγγνώμην[7] ἔχειν· λέγοντός γάρ μου βραχέα οὐκ ἐμάνθανες, οὐδὲ χρῆσθαι τῇ ἀποκρίσει, ἣν σοι ἀπεκρινάμην, οὐδὲν οἷός τ' ἦσθα, ἀλλ' ἐδέου διηγήσεως. ἐὰν
466 μὲν οὖν καὶ ἐγὼ σοῦ ἀποκρινομένου μὴ ἔχω ὅ τι χρήσωμαι, ἀπάτεινε καὶ σὺ λόγον, ἐὰν δὲ ἔχω, ἔα με χρῆσθαι· δίκαιον γάρ. καὶ νῦν ταύτῃ τῇ ἀποκρίσει εἴ τι ἔχεις χρῆσθαι, χρῶ.

XXI. ΠΩΛ. Τί οὖν φής; κολακείᾳ[7] δοκεῖ σοι εἶναι ἡ ῥητορική;

ὅμως δὲν ἐλλείπουσι παρὰ Πλάτωνι.

1. Ἰατρικὰ εἶναι τὰ ὑπὸ τοῦ ἰατροῦ προσφερόμενα καὶ ὡς τοιαῦτα εἶναι ὑγιεινά. Ἂν λοιπὸν ἡ ψυχὴ δὲν ἐπεστάτει τῷ σώματι, τοῦτο δὲν ἠδύνατο νὰ διακρίνῃ τὰ ὑγιεινὰ ἀπὸ τῶν ὀψοποικῶν, ἅπερ εἶναι βλαβερά.

2. Ὁ μὲν κεῖται ἄνευ ἀποδόσεως, ὁ δὲ Σχολιαστὴς παρατηρεῖ· «Ὁ Πλάτων ἐνταῦθα κατακέχρηται τῷ ἀττικῷ σχηματισμῷ κατακόρως, τῷ καλουμένῳ ἀμερίστῳ. Τοῦτο δὲ ἔστι, τὸ ἔχον πολλοὺς τοὺς μὲν λεγομένους συνδέσμους, μηδαμῶς δὲ τὸν δέ. Ὅρα γὰρ πῶς· Ὁ μὲν οὖν ἐγώ. Ἴσως μὲν οὖν. Ἄξιον μέν. Ἐὰν μὲν οὖν καὶ ἐγώ.» Ὁ φιλόσοφος ἐπανέρχεται εἰς τὴν θεωρίαν αὐτοῦ, ἣν διέκοψε διὰ παρεμπεσούσης παρατηρήσεως ἀρχομένης διὰ τοῦ ὅπερ μέντοι.

3. Τὸ ὑποκείμενον ἐξάγεται ἐκ τῆς προηγουμένης προτάσεως, δηλ. ἡ ῥητορική.

4. Τὸ ἐκεῖνο ἀναφέρεται εἰς τὴν ὀψοποιίαν, ὅπερ εἶναι κατ' οὐδέτερον γένος, ἄλλως τε καὶ διότι ποιεῖ ἀντίθεσιν πρὸς τὸ ὅ.

5. Ἡ ἀντωνυμία αὕτη ποιεῖ ζωηρὰν ἀντίθεσιν πρὸς τὸ αὐτός.

6. Τὸ ὄνομα τοῦτο συνήθως ἀπαιτεῖ καὶ γενικὴν πρὸς δήλωσιν τοῦ αἰτίου, δι' ὃ ἡ συγγνώμη, Ἡρόδοτ. VI, 86 καὶ Σοφοκλ. ἐν Ἠλέκτρ. 400. Ἐνίοτε ἡ γενικὴ αὕτη ἀναλύεται εἰς εἰδικὸν λόγον, Πλάτ. ἐν Πολιτ. V, 472, Α. Ἐνταῦθα ἡ γενικὴ παρελείφθη ὡς εὐκόλως ἐννοουμένη, δηλ. τοῦ ἀποτετακέναι μακρὸν λόγον.

7. Ἂν ὁ Πῶλος ἐγίνωσκε διαλεκτικήν, ὤφειλε νὰ ἐλέγξῃ τὸν ὁρισμὸν τοῦ Σωκράτους, ὡς οὗτος ἤλεγξε τοὺς ὑπὸ τοῦ Γοργίου διδομένους. Ἀντὶ ὅμως τούτου ὁ ῥήτωρ καταπολεμεῖ τὰς συνεπείας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Κολακείας μὲν οὖν ἔγωγε εἶπον μόριον. ἀλλ' οὐ μνημονεύεις[1] τηλικοῦτος[2] ὤν, ὦ Πῶλε; τί τάχα[3] δράσεις [πρεσβύτης γενόμενος];[4]

ΠΩΛ. Ἆρ' οὖν δοκοῦσί σοι ὡς κόλακες[5] ἐν ταῖς πόλεσι φαῦλοι νομίζεσθαι οἱ ἀγαθοὶ ῥήτορες;

ΣΩ. Ἐρώτημα τοῦτ' ἐρωτᾷς ἢ λόγου τινὸς ἀρχὴν λέγεις; B

τοῦ ὁρισμοῦ καὶ πειρᾶται νὰ δείξῃ, ὅτι οἱ ῥήτορες εἶναι ἐπιφανεῖς καὶ ἔχουσι δύναμιν ἐν ταῖς πόλεσιν. Ἀλλ' εὐθὺς ἐν ἀρχῇ ἐλέγχεται ὡς μὴ ἀκριβῶς ἐννοήσας τὰ εἰρημένα.

1. Τὸ μνημονεύειν ἔχει ἀμετάβατον σημασίαν, ὡς ἐνταῦθα, καὶ μεταβατικὴν καὶ ἐντεῦθεν σχηματίζεται καὶ παθητικὸς τύπος τοῦ ῥήματος, Εὐριπίδ. ἐν Ἡρακλ. 334.

2. Οἱ ἀρχαῖοι μεταχειρίζονται τὴν ἀντωνυμίαν καὶ ἐπὶ μικροῦ κατὰ τὴν ἡλικίαν, ὡς ἐνταῦθα, καὶ ἐπὶ μεγάλου, ὡς μετ' ὀλίγον λέγεται περὶ τοῦ Σωκράτους. 489, Β. «Εἰπέ μοι, ὦ Σώκρατες, οὐκ αἰσχύνει, τηλικοῦτος ὤν, ὀνόματα θηρεύων» καὶ Πρωταγόρ. 318, Β καὶ Αἰσχύλ. Ἀγαμέμν. 1603.

3. Ἡ λέξις αὕτη εἶναι καὶ ἐπίρρημα χρόνου παρ' Ὁμήρῳ, Ἡσιόδῳ, τῷ Πινδάρῳ καὶ τοῖς τραγικοῖς Σοφοκλ. ἐν Οἰδ. τῷ Τυράννῳ, 84 καὶ 373 καὶ 421 καὶ ἰσοδυναμεῖ πρὸς τὸ ἴσως. Ποτέραν σημασίαν ἔχει ἡ λέξις; Ὁ μὲν Stallbaum καὶ ὁ Münscher ὑποστηρίζουσι τὴν χρονικὴν σημασίαν, ὁ δὲ Kratz τὴν εἰκαστικήν, ὅπερ εἶναι ὀρθότερον· διότι ὁ Σωκράτης δὲν περιμένει νὰ γείνῃ ταχέως ἀμνήμων, ἀλλὰ ἐκφράζει εἰκασίαν περὶ τοῦ προσοῦ τῆς ἀμνημοσύνης τοῦ Πώλου, ὅταν γείνῃ πρεσβύτης. Ὁ Münscher νομίζει, ὅτι αἴρει τὴν δυσκολίαν ταύτην λέγων, ὅτι τὸ τάχα κεῖται μᾶλλον ἐν τῇ σημασίᾳ τοῦ πρεσβύτερος ἢ ἐν τῇ τοῦ πρεσβύτης γενόμενος καὶ ὅτι ἡ ἐλάττωσις τῆς μνήμης δὲν συμβαίνει ἐν τῇ πρεσβυτικῇ ἡλικίᾳ, ἀλλὰ προχωρούσης τῆς ἡλικίας. Ἀλλὰ παρὰ νέῳ, οἷος ὁ Πῶλος, δὲν δύναται νὰ νοηθῇ ταχεῖα τῆς μνήμης ἐλάττωσις.

4. Ἡ φράσις αὕτη δὲν ὑπάρχει ἐν τοῖς ἀρίστοις τῶν χειρογράφων καὶ ἐξηλείφθη ὑπὸ πάντων τῶν νεωτέρων ἐκδοτῶν.

5. Ἐπειδὴ ἡ ῥητορικὴ ὡρίσθη ὑπὸ τοῦ Σωκράτους ὡς μόριον κολακείας, τοῦτο ὁ Πῶλος ὤφειλε νὰ θεωρήσῃ ὡς ὑπόθεσιν τοῦ λόγου. Ἐκκρούων ὅμως διὰ τοῦ ὡς τὸ κύριον ζήτημα παρεισάγει τὸ ἀγαθοί, περὶ οὗ οὐδόλως πρόκειται. Δὲν ἐξετάζει τὴν φύσιν τῆς ῥητορικῆς, ἀλλ' ἐγείρει τὸ ζήτημα, πῶς θεωροῦνται οἱ ἀγαθοὶ ῥήτορες ὑπὸ τοῦ ὄχλου. Ἆρα λοιπὸν οἱ ἀγαθοὶ ῥήτορες ὡς κόλακες νομιζόμενοι εἰς τὰς πόλεις θεωροῦνται φαῦλοι;

6. Φαίνεται παράδοξον, ὅτι ὁ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Ἐρωτῶ ἔγωγε.

ΣΩ. Οὐδὲ νομίζεσθαι[1] ἔμοιγε δοκοῦσιν.

ΠΩΛ. Πῶς οὐ νομίζεσθαι; οὐ μέγιστον δύνανται[2] ἐν ταῖς πόλεσιν;

ΣΩ. Οὔκ, εἰ τὸ δύνασθαί γε λέγεις ἀγαθόν τι εἶναι τῷ δυναμένῳ.

ΠΩΛ. Ἀλλὰ μὲν δὴ λέγω γε[3].

ΣΩ. Ἐλάχιστον[4] τοίνυν μοι δοκοῦσι τῶν ἐν τῇ πόλει δύνασθαι οἱ ῥήτορες.

C ΠΩΛ. Τί δαί; οὐχ', ὥσπερ οἱ τύραννοι, ἀποκτιννύασί τε[5] ὃν ἂν βούλωνται καὶ ἀφαιροῦνται χρήματα[6] καὶ ἐκβάλλουσιν ἐκ τῶν πόλεων ὃν ἂν δοκῇ αὐτοῖς;[7]

Σωκράτης ἀμφιβάλλει, ἂν τὸν λόγον τοῦ Πώλου πρέπῃ νὰ θεωρήσῃ ὡς ἐρώτησιν, ἢ ὡς ἰσχυρισμόν. Ὁ Jahn ἑρμηνεύει τοῦτο· ἐρωτᾷς ὡς ἐρώτημα (ἀληθές, ὅπερ περιμένει ἀπόκρισιν) ἢ τοῦτο εἶναι μόνον ἡ ἀρχὴ (ἐν τύπῳ ἐρωτήσεως) μακροτέρου λόγου; Ἡ ἑρμηνεία αὕτη δὲν φαίνεται πιθανή. Κατὰ δὲ τὸν Cron ὁ Σωκράτης θέλει μόνον νὰ ὑπαινιχθῇ, ὅτι τὸ ἐρώτημα διαλεκτικῶς εἶναι οὕτως ἄτοπον, ὥστε θύναται νὰ θεωρηθῇ μόνον ὡς ῥητορικόν, δι' οὗ ὁ Πῶλος μόνον τὴν ἑαυτοῦ γνώμην δηλοῖ. Καθ' ἡμᾶς ἐπειδὴ ὁ Πῶλος ἐξήγαγε τὸ κύριον ζήτημα καὶ ὑπεισήγαγεν ἄλλο, ὡς εἴρηται, ὁ Σωκράτης ἐρωτᾷ, ἂν τοῦτο ἦναι ἐρώτημα περὶ νέου πράγματος ἢ ἀρχὴ ἄλλης συζητήσεως, περὶ ἧς μέχρι τοῦδε δὲν προῦκειτο.

1. Ὄχι μόνον οὐδεμίαν σημασίαν ἔχουσιν, ἀλλ' εἰς ἐμὲ τοὐλάχιστον φαίνεται, ὅτι οὐδὲ λογαριάζονται.

2. Ἐνταῦθα λήγει ἡ συζήτησις περὶ τοῦ ὁρισμοῦ τῆς ῥητορικῆς καὶ ἄρχεται ἡ περὶ τῆς δυνάμεως αὐτῆς. Ὁ μὲν Πῶλος νομίζει, ὅτι οἱ ῥήτορες ἔχουσι μεγίστην δύναμιν, ὁ δὲ Σωκράτης ἐλαχίστην.

3. Ὁμολογήσας ὁ Πῶλος, ὅτι ἡ δύναμις εἶναι ἀγαθόν, περιέπεσεν εἰς τὸ διαλεκτικὸν δίκτυον τοῦ Σωκράτους.

4. Ἐλέχθη ἐν ἀντιθέσει πρὸς τὸ μέγιστον δύνασθαι.

5. Ὁ Πῶλος διὰ τῆς παραβολῆς τῆς δυνάμεως τῶν ῥητόρων πρὸς τὴν τῶν τυράννων ἠθέλησε νὰ ἐξυψώσῃ τὴν ἰδίαν τέχνην, ἀλλ' ὑπὸ ἠθικὴν ἔποψιν ἐταπείνωσεν αὐτήν.

6. Χρήματα παρὰ τοῖς ἀρχαίοις ὀνομάζεται πᾶν ὅτι δύναταί τις νὰ μεταχειρισθῇ, Ξενοφ. ἐν Οἰκον. I, 10. «Ταὐτὰ ἄρα ὄντα τῷ μὲν ἐπισταμένῳ χρῆσθαι αὐτῶν ἕκαστοι χρήματά ἐστιν, τῷ δὲ μὴ ἐπισταμένῳ οὐ χρήματα» Παράβαλλ. καὶ Ἰσοκράτους I, 28.

7. Ἐννοεῖται ἐκ τῆς προηγου-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Νὴ τὸν κύνα[1]· ἀμφιγνοῶ[2] μέντοι, ὦ Πῶλε, ἐφ' ἑκάστου ὧν λέγεις, πότερον αὐτὸς ταῦτα λέγεις καὶ γνώμην σαυτοῦ ἀποφαίνει, ἢ ἐμὲ ἐρωτᾷς.

ΠΩΛ. Ἀλλ' ἔγωγε σὲ ἐρωτῶ.

ΣΩ. Εἶεν, ὦ φίλε· ἔπειτα δύο[3] ἅμα με ἐρωτᾷς;

ΠΩΛ. Πῶς δύο;

ΣΩ. Οὐκ' ἄρτι οὕτω πως ἔλεγες, ὅτι[4] ἀποκτιννύασιν οἱ ῥήτορες οὓς ἂν βούλωνται, ὥσπερ οἱ τύραννοι, καὶ χρήματα ἀφαιροῦνται καὶ ἐξελαύνουσιν ἐκ τῶν πόλεων ὃν ἂν δοκῇ αὐτοῖς; D

ΠΩΛ. Ἔγωγε.

XXII ΣΩ. Λέγω τοίνυν σοι, ὅτι δύο ταῦτ' ἐστὶν ἐρωτήματα,[5] καὶ ἀποκρινοῦμαί γέ σοι πρὸς ἀμφότερα[6]. φημὶ γάρ, ὦ Πῶλε,

μένης προτάσεως τὸ ἀπαρέμφατον ἐκβάλλειν.

1. Ὁ Stallbaum ἔθηκε τὴν ἄνω στιγμήν, ἣν δεχόμεθα· διότι τὸ μέντοι δὲν δύναται νὰ ἔπηται μετὰ τήνδε τὴν φράσιν. Κατὰ τὴν σήξιν ταύτην τὸ ῥῆμα ἐννοεῖται ἐκ τῶν ἡγουμένων. Δὲν εἶναι τυχαῖον, ὅτι ὁ Σωκράτης μετὰ τὸν ἀναιδῆ λόγον τοῦ Πώλου ὁρκίζεται εἰς τὸν κύνα.

2. Κατὰ τὸν Buttmann τὸ ῥῆμα εἶναι σύνθετον ἐκ τῆς ἀμφὶ καὶ γνοέω, ὅπερ εἶναι αἰολικὸς τύπος ἀντὶ τοῦ νοέω. Κατὰ τὴν σύνθεσιν σημαίνει ἀμφιβάλλω.

3. Ταῦτα εἶναι τὰ ὃν ἂν βούλωνται καὶ τὸ ὃν ἂν δοκῇ αὐτοῖς. Ὁ Πῶλος ὅμως τὰς δύο ταύτας φράσεις θεωρεῖ ὡς ταὐτοσήμους καὶ ἐντεῦθεν ἡ ἑπομένη παρανόησις.

4. Ὁ Deuschle γράφει, εἰ οὐχὶ ἀποκτιννύασιν, ὅπερ ἀποδοκιμάζεται ὑπὸ τοῦ Stallbaum.

5. Τὰ πλεῖστα χειρόγραφα ἔχουσι τὰ ἐρωτήματα, δηλ. τὸ ὄνομα μετὰ ἄρθρου, ὅπερ διατηρεῖ ὁ Stallbaum συντάσσων οὕτωσί· ὅτι ταῦτα τὰ ἐρωτήματα δύο ἐστί. Ἀλλ' ὀρθῶς οἱ κριτικοὶ ἀπορρίπτουσι τὸ ἄρθρον· διότι ἡ σύνταξις ἔχει ἄλλως· ὅτι ταῦτα δύο ἐρωτήματά ἐστι. Ὁ Πῶλος ἐνόμιζεν, ὅτι ἓν καὶ οὐχὶ δύο ἐρωτήματα ἐποίησεν. Ἐνταῦθα δ' ὁ Σωκράτης πειρᾶται νὰ ἀποδείξῃ, ὅτι τὰ ὑπ' ἐκείνου λεγόμενα δὲν εἶναι ἕν, ἀλλὰ δύο ἐρωτήματα. Προέτεξε δὲ τὰ δύο χάριν ἀντιδιαστολῆς.

6. Ὁ Ἀμμώνιος διαστέλλει τὸ ἀμφότεροι τοῦ ἑκάτεροι οὕτως· «Ἀμφότεροι ἑκάτεροι διαφέρουσιν. Ἀμφότεροι μὲν γὰρ ἐροῦμεν, ὅταν ἐν τῷ αὐτῷ κατὰ τὸ αὐτὸ πράττωσιν. Ἀμφότεροι μὲν τὴν δοκὸν μίαν οὖσαν φέρουσιν. Ἑκάτεροι δέ, ἐπειδὰν χωρὶς ἑκάτερος τὸ ἑαυτοῦ πράττῃ· οἷον ἑκάτερος αὐτῶν μίαν φέρῃ κατ' ἰδίαν.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐγὼ καὶ τοὺς ῥήτορας καὶ τοὺς τυράννους δύνασθαι μὲν[1] ἐν ταῖς πόλεσι σμικρότατον, ὥσπερ νὺν δὴ ἔλεγον· οὐδὲν γὰρ ποιεῖν ὧν βούλονται, ὡς ἔπος εἰπεῖν[2]. ποιεῖν μέντοι ὅ τι ἂν αὐτοῖς δόξῃ
Ε βέλτιστον εἶναι.

ΠΩΛ. Οὔκουν[3] τοῦτό ἐστι τὸ μέγα δύνασθαι;

ΣΩ. Οὔχ, ὡς γέ φησι Πῶλος.

ΠΩΛ. Ἐγὼ οὔ φημι;[4] φημὶ μὲν οὖν ἔγωγε.

ΣΩ. Μὰ τὸν[5]—οὐ σύ γε, ἐπεὶ τὸ μέγα δύνασθαι φὴς ἀγαθὸν εἶναι τῷ δυναμένῳ.

ΠΩΛ. Φημὶ γὰρ οὖν.

ΣΩ. Ἀγαθὸν οὖν οἴει εἶναι, ἐάν τις[6] ποιῇ ταῦτα, ἃ ἂν δοκῇ αὐτῷ[7] βέλτιστα εἶναι, νοῦν μὴ ἔχων[8], καὶ τοῦτο καλεῖς μέγα δύνασθαι;

ΠΩΛ. Οὐκ ἔγωγε.

1. Ἡ ἀντίθεσις τοῦ μὲν κεῖται εἰς τὸ ποιεῖν μέντοι, διότι τὰ ἐν τῷ μεταξὺ εἶναι παρενθετικά.

2. Ἡ φράσις αὕτη προσδιορίζει τὸ οὐδέν, ὡς πάντοτε λέξεις ἐχούσας γενικὴν σημασίαν.

3. Οἱ πλεῖστοι τῶν ἐκδοτῶν προτιμῶσι τὸ οὐκοῦν, ὅπερ δὲν ἁρμόζει ἐνταῦθα. Ὁ Πῶλος μὴ ἐννοῶν τὸν Σωκράτη καὶ ἀπορῶν ἐρωτᾷ ἐντονώτερον τὸν φιλόσοφον.

4. Ὁ Σωκράτης ἔχει ὑπ' ὄψει τὰς συνεπείας τῆς ὁμολογίας τοῦ Πώλου καὶ οὐχὶ αὐτὴν τὴν ὁμολογίαν τοῦ σοφιστοῦ. Ἐντεῦθεν ἡ παρανόησις καὶ ὁ νεανίας φαίνεται πνιγόμενος ἐκ τῆς ἀγανακτήσεως, διότι ὁ φιλόσοφος ἐπιμένει ἀρνούμενος ἐκεῖνο, ὅπερ ὁ σοφιστὴς λέγει. Λίαν δραματικῶς πλέκεται ἐνταῦθα ὁ μῦθος τοῦ διαλόγου.

5. Ἐνταῦθα ὁ ἀρχαῖος σχολιαστὴς λέγει· «Ἐλλειπτικῶς ὄμνυσι πρός τε εὐλαβείας καὶ πραότητος ἔνδειξιν.» Κατὰ τὸν Κοραῆν ὅμως· «Οὔτ' εὐλαβείας οὔτε πραότητος φροντίσας, οὕτως ὤμοσεν ἐνταῦθά γε· τὸ γὰρ Νὴ Δία καὶ Μὰ Δία καὶ οἱ λοιποὶ ὅρκοι οὕτως ἦσαν παρὰ τοῖς Ἕλλησι τετριμμένοι, ὥστ' οὐκ ἀπεικὸς εἶναι καὶ ἐλλιπῶς ἔσθ' ὅτε προφέρειν αὐτούς, ποικιλίας ἐμφάσεως ἢ καὶ γοργότητος ἕνεκα τοῦ λόγου.»

6. Ἡ πρότασις αὕτη εἶναι τὸ ὑποκείμενον τοῦ εἶναι, ὅπερ προηγεῖται.

7. Ἀναφέρεται εἰς τὸ προηγούμενον τίς.

8. Ἡ ἐν τῇ φράσει ταύτῃ περιεχομένη ἔννοια προσετέθη ὑπὸ τοῦ Σωκράτους, δικαιολογεῖται ὅμως καθ' ὅσον οὗτος τὴν ῥητορικὴν ἀποκλείει τῶν τεχνῶν, αἵτινες στηρίζονται ἐπὶ τοῦ λόγου καὶ τοῦ νοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Οὐκοῦν ἀποδείξεις[1] τοὺς ῥήτορας νοῦν ἔχοντας καὶ τέχνην τὴν ῥητορικήν, ἀλλὰ μὴ κολακείαν[2], ἐμὲ ἐξελέγξας; εἰ δὲ μὴ ἐάσεις ἀνέλεγκτον, οἱ ῥήτορες οἱ ποιοῦντες ἐν ταῖς πόλεσιν ἃ δοκεῖ αὐτοῖς καὶ οἱ τύραννοι οὐδὲν ἀγαθὸν τοῦτο[3] κεκτήσονται. ἡ δὲ[4] δύναμις ἐστιν, ὡς σὺ φῂς, ἀγαθόν, τὸ δὲ ποιεῖν ἄνευ[5] νοῦ ἃ δοκεῖ καὶ σὺ ὁμολογεῖς κακὸν εἶναι. ἢ οὔ; 467

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Πῶς ἂν οὖν οἱ ῥήτορες μέγα δύναιντο ἢ οἱ τύραννοι ἐν ταῖς πόλεσιν, ἐὰν μὴ Σωκράτης ἐξελεγχθῇ ὑπὸ Πώλου ὅτι[6] ποιοῦσιν ἃ βούλονται;

1. Ὁ μέλλων τῆς ὁριστικῆς μετὰ ἐρωτήσεως τίθεται ἐπὶ παρακελεύσεως καὶ προτροπῆς, μάλιστα μετὰ τοῦ ἀρνητικοῦ μορίου, Εὐριπίδ. ἐν Ἀνδρομάχ. 1212. «Οὐ σπαράξομαι κόμαν; οὐκ ἐπιθήσομαι δ' ἐμῷ κάρᾳ κτύπημα χειρὸς ὁλοόν;» καὶ ἐν Μηδ. 883.

2. Αἱ αἰτιατικαὶ τέχνην καὶ κολακείαν εἶναι κατηγορούμενα εἰς τὴν ῥητορικήν. Ἐνταῦθα ὁ Heindorf ἤθελε νὰ προσθέσῃ τὴν μετοχὴν οὖσαν. Δὲν εἶναι ὅμως ἀναγκαία, διότι δύναται καὶ νὰ νοηθῇ.

3. Τοῦτο τὸ ἀγαθόν, δι' ὃ λέγεις, ὅτι οὗτοι χαίρουσιν. Ὁ καλούμενος μετ' ὀλίγον μέλλων ὑπὸ τῶν γραμματικῶν δὲν σημαίνει πάντοτε, ὅτι γενήσεταί τι μετ' ὀλίγον χρόνον, ἀλλὰ καὶ βεβαίως. Θουκυδ. II, 64. «Καὶ δύναμιν μεγίστην δὴ μέχρι τοῦδε κεκτημένην, ἧς ἐς ἀΐδιον τοῖς ἐπιγιγνομένοις .... μνήμη καταλελείψεται.» Οἱ τραγικοὶ ποιηταὶ μεταχειρίζονται συχνάκις τὸν μετ' ὀλίγον μέλλοντα, ἀλλ' εἶναι ἀμφίβολον, ἂν θέτωσι μόνον χάριν εὐρυθμίας ἢ καὶ πρὸς δήλωσιν τῆς εἰρημένης σημασίας.

4. Ἡ παραδοθεῖσα γραφὴ εἶναι ἡ δέ, ἀλλ' ὁ Heindorf κατὰ τὸν Στοβαῖον ἔτρεψεν εἰς εἰ δὴ καὶ ἐξαλείψας τὴν τελείαν στιγμὴν συνέδεσε μετὰ τῶν προηγουμένων. Ἡ διόρθωσις αὕτη ἤρεσε πολλοῖς, ὡς τῷ Stallbaum, τῷ Jahn, τῷ Hermann καὶ ἄλλοις. Τοὐναντίον ὁ Buttmann, ὁ Ὀλλανδὸς Sybrand ὁ Cron καὶ ἄλλοι ὑποστηρίζουσι τὴν παράδοσιν.

5. Τὸ ἄνευ προτάσσεται τῆς συντακτικῆς πτώσεως, παρὰ τοῖς ἀττικοῖς ὅμως ἐνίοτε καὶ ἐπιτάσσεται, Σοφοκλ. ἐν Οἰδίπ. ἐπὶ Κολων. 503 καὶ Ξενοφ. ἐν Κύρ. Ἀναβάσ. VI, 1. 14.

6. Ὁ εἰδικὸς οὗτος λόγος δὲν ἐξαρτᾶται ἐκ τοῦ ἐξελεγχθῇ, ἀλλ' ἔκ τινος ῥήματος ἐξαγομένου βραχυλογικῶς ἐκ τούτου, ἐξελεγχθεὶς διδαχθῇ. Τοιαῦται βραχυλογίαι εὑρίσκονται συχνάκις παρὰ τοῖς ἀρχαίοις, Θουκυδ. I, 44. «Οἱ Ἀ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Β ΠΩΛ. Οὗτος[1] ἀνήρ—

ΣΩ. Οὔ φημι[2] ποιεῖν αὐτοὺς ἃ βούλονται· ἀλλά μ' ἔλεγχε.

ΠΩΛ. Οὐκ ἄρτι ὁμολόγεις ποιεῖν ἃ δοκεῖ[3] αὐτοῖς βέλτιστα εἶναι τούτου πρόσθεν;[4]

ΣΩ. Καὶ γὰρ νῦν ὁμολογῶ.

ΠΩΛ. Οὐκοῦν ποιοῦσιν ἃ βούλονται;

ΣΩ. Οὔ φημι[5].

θηναῖοι μετέγνωσαν Κερκυραίοις ξυμμαχίαν μὲν μὴ ποιήσασθαι», ἀντὶ μεταγνόντες ἔγνωσαν. Παράβαλλ. καὶ Αἰσχύλ. ἐν Ἀγαμέμν. 230 καὶ Εὐριπίδ. εἰς Ὀρές. 608. Λίαν συχνάκις ὁ Σωκράτης μεταχειρίζεται τὸ ἐλέγχειν ἐπὶ τοῦ Πώλου εἰρωνευόμενος τοῦτον διὰ τὸν ἐλεγκτικὸν αὐτοῦ τόνον.

1. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ὁ Πῶλος, ὡς παρὰ πόδας τοῦ Σωκράτους ἐναντία λέγοντος πρὸς ἑαυτόν, καὶ ποιεῖν ἃ δοκεῖ αὐτῷ τὸν ῥήτορα, καὶ μὴ ποιεῖν ἃ βούλεται, ὥσπερ ἐκπεπληγμένος, ταύτην ἀφίησι τὴν φωνήν, Οὗτος ἀνήρ, ὡσανεὶ ἔλεγεν· ὁ ἄνθρωπος οὗτος τί πάσχει; οὕτω τῶν ἐαυτοῦ λόγων ἐπιλέλησται. Ἐφ' οἷς ὁ Σωκράτης ὑποτεμὼν τὸν τοῦ Πώλου λόγον, μεταξύ φησιν, ἐπιμένων τῷ παραδόξῳ τῶν λόγων. Οὔ φημι ποιεῖν αὐτοὺς ἃ βούλονται· ἀλλά μ' ἔλεγχε· Ἐμοὶ μὲν ταῦτα δοκεῖ, καὶ ἐγὼ ταῦτά φημι, τὸ τοὺς ποιοῦντας ἃ δοκεῖ αὐτοῖς δίχα νοῦ μὴ ποιεῖν ἃ βούλονται. Εἰ δέ σοι οὕτω μὴ δοκεῖ, μὴ ἀγανάκτει, ἀλλὰ τὸν λόγον ἔλεγχε.» Ἡ φράσις ἐτέθη πρὸς δήλωσιν ἐκπλήξεως μετὰ περιφρονήσεως, ὡς καὶ ἐν 505, C. «Οὗτος ἀνὴρ οὐχ ὑπομένει ὠφελούμενος» καὶ 489, B. Ἄριστα ὁ Πλάτων ἠθοποιεῖ ἐνταῦθα τὸν Πῶλον. Τὸ σχῆμα εἶναι ἀποσιώπησις. Ὁ Hirschig γράφει ἐνάρθρως ἀνήρ· ἀλλ' οἱ ἄλλοι ἐκδόται δὲν δέχονται τοῦτο, διότι τὸ ἄρθρον ἐν τῇ χρήσει ταύτῃ παραλείπεται, ὡς λέγει ὁ Jahn.

2. Ἡ ψυχρὰ ἠρεμία τοῦ Σωκράτους ποιεῖ ζωηρὰν ἀντίθεσιν πρὸς τὴν θερμότητα τοῦ Πώλου.

3. Ὁ Σωκράτης ὁμολογεῖ μέν, ὅτι ποιοῦσιν ἃ δοκεῖ τοῖς ῥήτορσιν, ἀλλ' οὐχὶ καὶ ἃ βούλονται. Ταῦτα, ὡς θέλει δειχθῇ, εἶναι διάφορα.

4. Τὴν φράσιν τούτου πρόσθεν ὁ Bekker, ὁ Schleiermacher, ὁ Hirschig καὶ ἄλλοι θεωροῦσιν ὡς γλώσσημα (δηλ. ὡς μεταγενεστέραν ἐπεξήγησιν)· διότι νομίζουσιν, ὅτι τὸ τούτου πρόσθεν, σημαίνει ὅ τι καὶ τὸ ἄρτι. Ἀλλ' ἡ φράσις αὕτη εἶναι ἀκριβέστερος προσδιορισμὸς τοῦ ἄρτι καὶ ἐπίτασις αὐτοῦ, δηλ. πρὸ μιᾶς στιγμῆς.

5. Δηλαδὴ λέγω, ὅτι δὲν κάμνουσιν, ὅσα θέλουσιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Ποιοῦντες[1] δὲ ἃ δοκεῖ αὐτοῖς;

ΣΩ. Φημί.

ΠΩΛ. Σχέτλια λέγεις καὶ ὑπερφυῆ,[2] ὦ Σώκρατες.

ΣΩ. Μὴ κατηγόρει, ὦ λῷστε Πῶλε,[3] ἵνα[4] προσείπω σε κατὰ σέ· ἀλλ' εἰ μὲν ἔχεις ἐμὲ ἐρωτᾶν, ἐπίδειξον ὅτι ψεύδομαι, εἰ δὲ C μή, αὐτὸς ἀποκρίνου.

ΠΩΛ. Ἀλλ' ἐθέλω ἀποκρίνεσθαι[6], ἵνα καὶ[7] εἰδῶ ὅτι λέγεις.

1. Παρὰ τῷ Στοβαίῳ ὑπάρχει ἡ γραφή, ποιοῦσι δέ, ἣν ἐπιδοκιμάζει ὁ Heindorf. Κατὰ τὸν Stallbaum ἐννοεῖται ἡ φράσις, ἆρ' οὐ ποιοῦσιν ἃ βούλονται; Ἂν μὴ ἀπατώμεθα, κατὰ τὴν συμπλήρωσιν ταύτην ὁ Σωκράτης ἔπρεπε νὰ ἀποκριθῇ οὐχὶ καταφατικῶς, ἀλλ' ἀποφατικῶς. Λοιπὸν δὲν κάμνουσιν ὅσα θέλουσιν, ἂν καὶ κάμνουσιν, ὅσα φαίνονται εὔλογα εἰς αὐτούς; Σω. Λέγω, ὅτι δὲν κάμνουσιν, ὅσα θέλουσιν. Διὰ τοῦτο νομίζομεν, ὅτι εἰς τὸ ἑπόμενον φημὶ πρέπει νὰ νοηθῇ ἡ φράσις, οὐ ποιεῖν ἃ βούλονται (ἂν καὶ κάμνουσιν, ὅσα φαίνονται εὔλογα εἰς αὐτούς).

2. Ὑπερφυὲς ὀνομάζεται πᾶν τὸ ὑπερβαῖνον τὸ σύνηθες, τὸ φυσικὸν μέτρον καὶ ἐντεῦθεν σημαίνει καὶ τὸ ἀλλόκοτον καὶ παράδοξον. Τῷ Πώλῳ φαίνεται αὔθαδες καὶ ἀλλόκοτον, ὅτι ὁ Σωκράτης τὰ αὐτὰ δέχεται καὶ ἀρνεῖται. Τὰ τοιαῦτα εἶναι μὲν δραματικά, μαρτυροῦσι δὲ τὴν διαλεκτικὴν ἀδεξιότητα τοῦ Πώλου.

3. Ὁ Σωκράτης εἰρωνευόμενος μεταχειρίζεται τὰ Γοργίεια σχήματα. Ὥρα Εἰσαγωγ. σελ. 91. Ὁ δὲ Κοραῆς παρατηρεῖ· «Ἡ δὲ παρίσωσις καὶ διὰ τὸ δισύλλαβον λῷστε καὶ Πῶλε, καὶ διὰ τὴν ἐν ἑκατέρῳ ταὐτότητα τῶν φωνηέντων.»

4 Ἡ πρότασις αὕτη ἐτέθη οὐχὶ χάριν τοῦ ῥήματος κατηγόρει, ἀλλὰ χάριν τῆς παρισώσεως.

5. Ἡ κατὰ μετὰ αἰτιατικῆς σημαίνει συμφωνίαν, ἀλλ' ἡ συμφωνία ἐνταῦθα δύναται νὰ ἦναι διπλῆ ἢ ἵνα ὀνομάσω σε συμφώνως πρὸς τὸ ὄνομά σου ἢ ἵνα σὲ ὀνομάσω κατὰ τὸ ἔθος σου· διότι ὁ Πῶλος μετεχειρίζετο τὰς παρισώσεις τοῦ διδασκάλου. Προτιμῶμεν τὴν δευτέραν σημασίαν.

6. Μέχρι τοῦδε ὁ Πῶλος νομίζων, ὅτι δύναται νὰ ἐλέγξῃ τὸν φιλόσοφον, εἶχε τὴν θέσιν τοῦ ἐρωτῶντος. Ἀλλὰ διὰ τὴν διαλεκτικὴν ἄγνοιαν αὐτοῦ ὁ διάλογος δὲν ἠδύνατο νὰ προχωρήσῃ. Τούτου ἕνεκεν ἀναγκάζεται νὰ λάβῃ τὴν θέσιν τοῦ ἀποκρινομένου.

7. Παρὰ τοῖς ἀρχαίοις εἶναι σύνηθες νὰ θέτωσι τὸν καὶ μετὰ τὸ ἵνα, Πλάτ. ἐν Λύσ. 204 καὶ ἐν Λάχητ. 194, Α.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

XXIII. ΣΩ. Πότερον[1] οὖν σοι δοκοῦσιν οἱ ἄνθρωποι τοῦτο βούλεσθαι, ὃ ἂν πράττωσιν ἑκάστοτε, ἢ ἐκεῖνο, οὗ ἕνεκα πράττουσι τοῦθ' ὃ πράττουσιν; οἷον οἱ τὰ φάρμακα πίνοντες παρὰ τῶν ἰατρῶν[2] πότερόν σοι δοκοῦσι τοῦτο βούλεσθαι, ὅπερ ποιοῦσι, πίνειν[3] τὸ φάρμακον καὶ[4] ἀλγεῖν, ἢ ἐκεῖνο, τὸ ὑγιαίνειν, οὗ ἕνεκα πίνουσιν;

D ΠΩΛ. Δῆλον ὅτι τὸ ὑγιαίνειν, οὗ ἕνεκα πίνουσιν.[5]

ΣΩ. Οὐκοῦν καὶ οἱ πλέοντές τε[6] καὶ τὸν ἄλλον[7] χρηματισμὸν χρηματιζόμενοι[8] οὐ τοῦτό ἐστιν ὃ βούλονται, ὃ ποιοῦσιν ἑκάστοτε· τίς γὰρ βούλεται πλεῖν τε καὶ κινδυνεύειν καὶ πράγματ' ἔχειν;[9] ἀλλ' ἐκεῖνο, οἶμαι, οὗ ἕνεκα πλέουσι, πλουτεῖν·[10] πλούτου γὰρ ἕνεκα πλέουσιν.

1. Ὁ Σωκράτης διαστέλλει τὴν ἐνέργειαν ἀπὸ τοῦ σκοποῦ, ὡς καὶ ἐν Μένωνι, 77, C. Ἡ θεωρία αὕτη τοῦ σκοποῦ ποιεῖ ἐποχὴν ἐν τῇ ἱστορίᾳ τῆς φιλοσοφίας. Ὁ Πῶλος δὲν ἠδύνατο νὰ ἐννοήσῃ τὴν διαφορὰν τοῦ δοκεῖν ἀπὸ τοῦ βούλεσθαι, διότι συνέχει τὰ μέσα μετὰ τοῦ σκοποῦ.

2. Εἶναι βραχυλογία ἀντὶ, λαμβάνοντες παρὰ τῶν ἰατρῶν καὶ πίνοντες. Παράβαλλ. Πολιτ. III, 406, A.

3. Τὸ πίνειν εἶναι ἐπεξήγησις τοῦ ὅπερ, οὐχὶ ὅμως καὶ τὸ ἀλγεῖν, διότι τοῦτο οὐ ποιοῦσιν.

4. Ὁ καὶ ἔχει συμπερασματικὴν σημασίαν, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν. 461, E. «Εἰ μὴ ἐξέσται με ἀπιέναι καὶ μὴ ἀκούειν σου.» Τὸ πίνειν εἶναι τὸ αἴτιον τοῦ ἀλγεῖν.

5. Τὴν φράσιν, οὗ ἕνεκα πίνουσιν, ὠθελίζει ὁ Hermann θεωρῶν ταύτην περιττήν. Ἀλλ' ὀρθῶς παρατηρεῖ ὁ Stallbaum, ὅτι προσηκόντως ἡ φράσις ἐπαναλαμβάνεται.

6. Πλέοντες εἶναι οἱ διὰ θαλάσσης ἐμπορευόμενοι, οἱ μεγαλέμποροι.

7. Ἐνταῦθα ἔθηκε τὴν ἐπιμεριστικὴν ἀντωνυμίαν ἄλλος, ἐν ᾧ δὲν προέταξεν ἄλλο ὄνομα, ἔχον συγγενῆ σημασίαν πρὸς τὸν χρηματισμόν. Τὸ τοιοῦτον ὅμως ὑπάρχει ἐν τῇ προηγηθείσῃ μετοχῇ πλέοντες=ἐμπορικοὺς πλόας ποιοῦντες.

8. Χρηματιζόμενοι εἶναι οἱ ζητοῦντες κέρδη. Ὁμαλῶς ὁ συγγραφεὺς ἔπρεπε νὰ εἴπῃ, οἱ πλέοντές τε καὶ τὸν ἄλλον χρηματισμὸν χρηματιζόμενοι οὐ βούλονται τοῦτο, ὃ ποιοῦσιν.

9. Τὸ ῥῆμα ἐνταῦθα ἔχει παθητικὴν σημασίαν, οὗ τὸ ἐνεργητικὸν εἶναι παρέχειν πράγματα.

10. Ἐνταῦθα περιέμενέ τις τὸ ἀπαρέμφατον μετὰ ἄρθρου, ὡς ἐν τοῖς ἔμπροσθεν τὸ ὑγιαίνειν. Ἀλλὰ τὸ ἄρθρον συχνάκις παραλείπεται, ὡς ἐν Φαίδωνι 64, C, 70, C.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Ἄλλο τι οὖν οὕτω καὶ περὶ πάντων;[1] ἐάν τίς τι πράττῃ ἕνεκά του, οὐ τοῦτο βούλεται, ὃ πράττει, ἀλλ' ἐκεῖνο, οὗ ἕνεκα πράττει;

ΠΩΛ. Ναί. E

ΣΩ. Ἆρ' οὖν ἔστι τι τῶν ὄντων, ὃ οὐχὶ ἤτοι ἀγαθὸν γ' ἐστὶν ἢ κακὸν ἢ μεταξὺ[2] τούτων οὔτε ἀγαθὸν οὔτε κακόν;

ΠΩΛ. Πολλὴ ἀνάγκη,[3] ὦ Σώκρατες.

ΣΩ. Οὐκοῦν λέγεις εἶναι ἀγαθὸν μὲν σοφίαν τε καὶ ὑγίειαν καὶ πλοῦτον[4] καὶ τἆλλα τὰ τοιαῦτα, κακὰ δὲ τἀναντία τούτων;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Τὰ δὲ μήτε[5] ἀγαθὰ μήτε κακὰ ἆρα τοιάδε λέγεις, ἃ ἐνίοτε μὲν μετέχει τοῦ ἀγαθοῦ, ἐνίοτε δὲ τοῦ κακοῦ, ἐνίοτε δὲ 468
οὐδετέρου, οἷον καθῆσθαι καὶ βαδίζειν καὶ τρέχειν καὶ πλεῖν, καὶ οἷον αὖ[6] λίθους καὶ ξύλα καὶ τἆλλα τὰ τοιαῦτα; οὐ ταῦτα λέγεις; ἢ ἄλλ' ἄττα καλεῖς τὰ μήτε ἀγαθὰ μήτε κακά;

ΠΩΛ. Οὔκ, ἀλλὰ ταῦτα.

1. Ἐννοεῖται τὸ ῥῆμα ἔχει. Ὁ Heindorf ἐξήλειψε τὸ ἐρωτηματικὸν καὶ μετὰ τῶν ἑπομένων ἐποίησε μίαν πρότασιν. Τοιαύτη μεταβολὴ δὲν εἶναι ἀναγκαία.

2. Ὁ Σωκράτης ἐνταῦθα διαιρεῖ τὰ ὄντα εἰς τρεῖς τάξεις, εἰς ἀγαθά, κακὰ καὶ ἀδιάφορα.

3. Ἐπειδὴ ὁ φιλόσοφος ἠρώτησεν, ἂν ὑπάρχῃ ὄν τι μὴ ὑπαγόμενον εἰς τὰς τρεῖς εἰρημένας τάξεις, καὶ ἐπειδὴ τοιοῦτόν τι ὄντως δὲν ὑπάρχει, περιεμένομεν ἀρνητικὴν ἀπόκρισιν. Ὄντως ὁ Heindorf εἶκασεν, Οὐδέν, πολὺ ἀνάγκη, Ἀλλ' ὀρθῶς παρατηρεῖ ὁ Buttmann, ὅτι τὴν ἀπόκρισιν τοῦ Πώλου ἤρμοσε μᾶλλον εἰς τὴν ἔννοιαν ἢ εἰς τὰς λέξεις τοῦ Σωκράτους. Ὥστε εἰς τὴν ἡγουμένην ἐννοεῖται ἡ φράσις, εἶναί τινα τῶν ὄντων ἀγαθά, ἕτερα δὲ κακὰ καὶ ἄλλα μεταξύ.

4. Τὰ τρία ταῦτα οὐσιαστικὰ ἀντιπροσωπεύουσι τρεῖς τάξεις τοῦ ἀγαθοῦ· ἡ μὲν σοφία ἀντιπροσωπεύει τὸ πνευματικὸν ἀγαθόν, ἡ δὲ ὑγίεια τὸ σωματικὸν καὶ ὁ πλοῦτος τὸ ἐξωτερικόν, ὡς λέγει ὁ Cron.

5. Τὰ μήτε—μήτε προσδιορίζουσι οὐχὶ τὸ ῥῆμα, ἀλλὰ τὰ οὐσιαστικὰ ἀγαθὰ καὶ κακά, ὡς Σοφοκλ. ἐν Αἴαντι, 1349. «Χαῖρ', Ἀτρείδη, κέρδεσι τοῖς μὴ καλοῖς.» Τὰ μεταξὺ ἢ τὰ οὐδέτερα ἐνταῦθα ὑποδιαιρεῖ εἰς τρία εἴδη.

6. Μετεχειρίσθη τὸ αὖ, διότι μεταβαίνει εἰς νέον εἶδος παραδειγμάτων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Πότερον οὖν τὰ μεταξὺ ταῦτα ἕνεκεν τῶν ἀγαθῶν πράττουσιν, ὅταν πράττωσιν,[1] ἢ τἀγαθὰ τῶν μεταξύ;

ΠΩΛ. Τὰ μεταξὺ δήπου τῶν ἀγαθῶν.

Β ΣΩ. Τὸ ἀγαθὸν ἄρα διώκοντες καὶ βαδίζομεν, ὅταν βαδίζωμεν, οἰόμενοι βέλτιον[2] εἶναι, καὶ τὸ ἐναντίον ἑσταμεν, ὅταν ἑστῶμεν, τοῦ αὐτοῦ ἕνεκα, τοῦ ἀγαθοῦ· ἢ οὔ;

ΠΩΛ. Ναί.

ΣΩ. Οὐκοῦν καὶ ἀποκτίννυμεν, εἴ τινα[3] ἀποκτίννυμεν, καὶ ἐκβάλλομεν καὶ ἀφαιρούμεθα χρήματα, οἰόμενοι ἄμεινον εἶναι ἡμῖν ταῦτα[4] ποιεῖν ἢ μή;[5]

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Ἕνεκ' ἄρα[6] τοῦ ἀγαθοῦ ἅπαντα ταῦτα ποιοῦσιν οἱ ποιοῦντες.

ΠΩΛ. Φημί.

1. Εἰς τὸν Heindorf ἐφάνη παράδοξον, ὅτι τὸ πληθυντικὸν τρίτον πρόσωπον ἐτέθη ἐπὶ ἀορίστου ὑποκειμένου καὶ προὔτεινε νὰ διορθωθῇ τὸ ὅταν εἰς οἷ ἄν· ἡ πρότασις ὅμως αὐτοῦ δὲν ἐγένετο δεκτή· διότι δὲν ἐλλείπουσιν ὅμοια παραδείγματα, ἐν οἷς ὑποκείμενον ἐννοεῖται οἱ ἄνθρωποι.

2. Τὸ βέλτιον ἐνταῦθα σημαίνει ὠφελιμώτερον, ὡς καὶ ἐν Φαίδωνι, 115, Α. Τὸ ὑποκείμενον τοῦ ἀπαρεμφάτου εἶναι τὸ βαδίζειν.

3. Ἔν τινι χειρογράφῳ εὑρηται ἡ γραφή, ὅταν τιν' ἀποκτίννυμεν, ὅπερ ὁ Matthiae καὶ ὁ Buttmann, τοῦ Stallbaum ἐπιδοκιμάζοντος, τρέπουσιν εἰς ἀποκτιννῦμεν. Νομίζομεν, ὅτι ἐνταῦθα δὲν ἀπαιτεῖται χρονική, ἀλλ' ὑποθετικὴ πρότασις· τὸ βαίδζειν καὶ τὸ ἵστασθαι συμβαίνουσιν ἐν τῷ βίῳ ἀναγκαίως, οὐχὶ δὲ καὶ τὸ φονεύειν καὶ ἐκβάλλειν καὶ ἀφαιρεῖσθαι χρήματα. Ταῦτα μόνον ὑποθετικὰ δύνανται νὰ ἦναι. Ὅτι οὕτως ἔχει, μαρτυρεῖ αὐτὸς ὁ Πλάτων μετ' ὀλίγον ἐν D, ἔνθα πάλιν ὑποθετικῶς λέγει. Ὁ Σωκράτης ἐξελέξατο τὰ παραδείγματα ταῦτα· διότι ὁ Πῶλος ἐν τούτοις ἔθετο τὴν δύναμιν τῶν ῥητόρων ἐν 466 Β.

4. Ἡ ἀντωνυμία ἀναφέρεται εἰς τὸ ἀποκτιννύναι ἐκβάλλειν καὶ ἀφαιρεῖσθαι.

5. Ἀντὶ τοῦ ἢ μή, φέρεται καὶ ἡ ἀνάγνωσις ἢ οὔ; ἣν ἐπιδοκιμάζει ὁ Heindorf. Κατὰ ταύτην πρέπει νὰ ἐννοήσωμεν τὸ ἀποκτίνυμεν καὶ τὰ ἑπόμενα ῥήματα. Ἂν διατηρήσωμεν τὸ μή, ὅπερ προτιμῶμεν, ἐννοεῖται τὸ ποιεῖν.

6. Ἐκ τῶν ἡγουμένων ὁ Σωκράτης ἐξάγει τὸ συμπέρασμα, ὅτι πᾶσα ἐνέργεια σκοπεῖ μόνον τὸ ἀγαθόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

XXIV ΣΩ. Οὐκοῦν ὡμολογήσαμεν, ἃ ἕνεκά του ποιοῦμεν, μὴ ἐκεῖνα βούλεσθαι, ἀλλ' ἐκεῖνο, οὗ ἕνεκα ταῦτα ποιοῦμεν; C

ΠΩΛ. Μάλιστα.

ΣΩ. Οὐκ ἄρα σφάττειν[1] βουλόμεθα οὐδ' ἐκβάλλειν ἐκ τῶν πόλεων οὐδὲ χρήματα ἀφαιρεῖσθαι ἁπλῶς οὕτως[2], ἀλλ' ἐὰν μὲν ὠφέλιμα[3] ᾖ ταῦτα, βουλόμεθα πράττειν αὐτά, βλαβερὰ δὲ ὄντα οὐ βουλόμεθα. τὰ γὰρ ἀγαθὰ βουλόμεθα, ὡς φῂς σύ, τὰ δὲ μήτε ἀγαθὰ μήτε κακὰ οὐ βουλόμεθα, οὐδὲ τὰ κακά· ἢ γάρ; ἀληθῆ σοι δοκῶ λέγειν, ὦ Πῶλε, ἢ οὔ; τί οὐκ ἀποκρίνει;[4] D

ΠΩΛ. Ἀληθῆ.

ΣΩ. Οὐκοῦν εἴπερ ταῦτα ὁμολογοῦμεν, εἴ τις ἀποκτείνει τινὰ ἢ ἐκβάλλει ἐκ πόλεως ἢ ἀφαιρεῖται χρήματα, εἴτε τύραννος ὢν εἴτε ῥήτωρ, οἰόμενος ἄμεινον εἶναι[5] αὐτῷ, τυγχάνει δὲ ὂν κάκιον[6], οὗτος δήπου ποιεῖ ἃ δοκεῖ αὐτῷ· ἢ γάρ;

ΠΩΛ. Ναί.

1. Ὅρα, ὅτι δὲν εἶπεν ἀποκτιννύναι, ἀλλὰ σφάττειν, ὅπως δηλώσῃ τὸ σκληροκάρδιον τοῦ ἄνευ σκοποῦ ἀνθρώπους φονεύοντος. Δὲν θέλομεν νὰ φονεύωμεν ἀνθρώπους μετὰ τῆς ἀδιαφορίας, μεθ' ἧς σφάζομεν ζῷα.

2. Ἡ φράσις αὕτη προσδιορίζει τὸ βουλόμεθα, ἔθηκε δὲ ταύτην εἰς τὸ τέλος τοῦ κώλου, ἵνα ποιήσῃ ἀντίθεσιν πρὸς τὰ ἑπόμενα. Σημαίνει δὲ ἄνευ σκοποῦ ἤ, ὡς λέγει ὁ Stallbaum, Sic simpliciciter, ita ut nihil aliud respiciamus. Παράβαλλ. καὶ Πρωταγόρ. 351, C.

3. Τὸ ὠφέλιμον ἀντιτίθεται μὲν πρὸς τὸ βλαβερόν, ὡς ἐνταῦθα, ἀλλὰ καὶ πρὸς τὸ ἁλγεινόν, Πλουτ. ἐν Ἠθικ. 46 καὶ πρὸς τὸ ἡδύ, Πλάτ. ἐν Πολιτ. X, 607, D.

4. Τινὲς τῶν κριτικῶν ἐνόμισαν, ὅτι ἡ φράσις αὕτη εἰσέρρευσεν ἐκ τῶν ἑπομένων, ἔνθα ὑπάρχει ὁμοία φράσις. Οἱ ὀβελίζοντες τὴν φράσιν νομίζουσιν, ὅτι ὁ Πῶλος μὴ ἔχων διαλεκτικὴν διάνοιαν δὲν ἠδύνατο νὰ ἐννοήσῃ τὸ συμπέρασμα καὶ τούτου ἕνεκεν δὲν ἠδύνατο νὰ βραδύνῃ εἰς ἀπόκρισιν. Ἀλλ' ὀρθῶς παρατηρεῖ ὁ Keck, ὅτι ὁ Πλάτων δὲν θέλει νὰ εἰκονίσῃ τὸν Πῶλον ὡς βλιτομάμμαν. Ἐπειδὴ λοιπὸν δὲν ἦτο τοιοῦτος, ἠδύνατο νὰ ἐννοήσῃ, ποῦ ἄγει ὁ συλλογισμὸς τοῦ Σωκράτους.

5. Τὸ ὑποκείμενον τοῦ ἀπαρεμφάτου εἶναι τὸ ἀποκτιννύναι, ἐκβάλλειν, ἀφαιρεῖσθαι.

6. Κατὰ τὸν Hirschig ἡ φράσις πρέπει νὰ ἐξαλειφθῇ Ὄντως ἐτέθη ἀνακολούθως· διότι ἤρμοζε τὸ τυγχάνει νὰ ἦναι μετοχή, τυγχάνον δὲ ὂν κάκιον. Ἀλλ' ἐπειδὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Ἆρ' οὖν[1] καὶ ἃ βούλεται, εἴπερ τυγχάνει ταῦτα κακὰ ὄντα; τί οὐκ ἀποκρίνει;

ΠΩΛ. Ἀλλ' οὔ μοι δοκεῖ ποιεῖν ἃ βούλεται[2].

Ε ΣΩ. Ἔστιν οὖν ὅπως ὁ τοιοῦτος μέγα δύναται ἐν τῇ πόλει ταύτῃ[3], εἴπερ ἐστὶ τὸ μέγα δύνασθαι ἀγαθόν τι κατὰ τὴν σὴν ὁμολογίαν;

ΠΩΛ. Οὐκ ἔστιν.

ΣΩ. Ἀληθῆ ἄρα ἐγὼ ἔλεγον, λέγων ὅτι ἔστιν ἄνθρωπον ποιοῦντα ἐν πόλει ἃ δοκεῖ αὐτῷ μὴ μέγα δύνασθαι μηδὲ ποιεῖν ἃ βούλεται[4].

ΠΩΛ. Ὡς[5] δὴ σύ, ὦ Σώκρατες, οὐκ ἂν δέξαιο ἐξεῖναί σοι ποι-

ἤθελον συμπέσει δύο μετοχαί, ὅπερ συχνάκις οἱ ἀρχαῖοι ἀποφεύγουσι, κατέστησε τὴν πρότασιν παρενθετικήν.

1. Ἐκ τῶν προηγουμένων ἐννοητέον τὸ ῥῆμα ποιεῖ, εἰς ὃ ἀναφέρεται ἡ ἑπομένη ὑποθετικὴ πρότασις. Ὁ Πῶλος δὲν δύναται νὰ διισχυρισθῇ, ὅτι ὁ τὰ εἰρημένα ἐγκλήματα ποιῶν ποιεῖ ἃ βούλεται· διότι ἐν 468 C ὡμολόγησεν, ὅτι μόνον τὰ ἀγαθὰ βούλεται.

2. Ὁ Πῶλος ἐξαναγκάζεται διὰ τῆς διαλεκτικῆς δεινότητος τοῦ Σωκράτους νὰ ὁμολογήσῃ τὰ ἐναντία ἐκείνων, ἃ πρότερον ἔλεγεν.

3. Ὁ Heindorf ἐνόμισεν, ὅτι ἡ ἀντωνυμία ἀναφέρεται εἰς τὴν πόλιν τῶν Ἀθηνῶν. Δὲν ἀναφέρεται εἰς τὰς Ἀθήνας, διότι τότε ἔπρεπε νὰ εἴπῃ, ἐν τῇδε τῇ πόλει, ὡς καὶ ἐν 469, Ε. «Οὕτω μέγα ἐγὼ δύναμαι ἐν τῇδε τῇ πόλει.» Λοιπὸν ὁ Σωκράτης δὲν ἐννοεῖ τὰς Ἀθήνας, ἀλλὰ τὴν πόλιν, περὶ ἧς ἐγένετο λόγος. Διὰ τοῦτο δὲν πρέπει νὰ λείπῃ ἡ ἀντωνυμία, ὡς ἤθελεν ὁ Findeisen καὶ ὁ Buttmann.

4. Μείζων πρότασις· ἀ) Ἡ βούλησις θηρεύει πάντοτε τὸ ἀγαθόν.

β'. Ἡ δύναμις εἶναι ἀγαθόν.

Ἐλάσσων· Αἱ πράξεις τοῦ ῥήτορος δὲν εἶναι ἀγαθαί.

Συμπέρασμα· ἀ.) Ὁ ῥήτωρ δὲν πράττει ὅ τι βούλεται.

β'.) Οὗτος ἕνεκα τούτων τῶν πράξεων δὲν ἔχει δύναμιν.

5. Τὸ μόριον τοῦτο πλὴν τῶν ποικίλων αὐτοῦ σημασιῶν ἔχει καὶ τὴν τοῦ θαυμασμοῦ, ὡς Ἰλιάδ. Φ, 441. «Ὡς ἄνουν κραδίην ἔχες.» Ἐνταῦθα ὁ θαυμασμὸς ἐγένετο πρὸς εἰρωνείαν, ὡς καὶ ὁ Καλλικλῆς λέγει πρὸς τὸν Σωκράτη, 499, B. «Ὡς δὴ οἴει ἐμὲ ἢ καὶ ἄλλον ὁντινοῦν ἀνθρώπων οὐχ ἡγεῖσθαι τὰς μὲν βελτίους ἡδονάς, τὰς δὲ χείρους.» Διὰ τοῦ εἰρωνικοῦ τούτου τρόπου ὁ νέος σοφιστὴς πειρᾶται νὰ διαφύγῃ τὴν ὁμολογίαν τῆς ἥττης. Τοῦτο λέγεται demon-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶν ὅ τι δοκεῖ σοι ἐν τῇ πόλει μᾶλλον[1] ἢ μή, οὐδὲ ζηλοῖς ὅταν[2] ἴδῃς τινὰ ἢ ἀποκτείναντα ὃν ἔδοξεν αὐτῷ ἢ ἀφελόμενον χρήματα ἢ δήσαντα[3].

ΣΩ. Δικαίως[4] λέγεις ἢ ἀδίκως;

ΠΩΛ. Ὁπότερ'[5] ἂν ποιῇ, οὐκ ἀμφοτέρως ζηλωτόν ἐστιν; 469

ΣΩ. Εὐφήμει[6], ὦ Πῶλε.

ΠΩΛ. Τί δή;

ΣΩ Ὅτι οὐ χρὴ οὔτε τοὺς ἀζηλώτους ζηλοῦν οὔτε τοὺς ἀθλίους[7], ἀλλ' ἐλεεῖν.

ΠΩΛ. Τί δή; οὕτω σοι δοκεῖ ἔχειν περὶ ὧν ἐγὼ λέγω τῶν ἀνθρώπων;[8]

ΣΩ. Πῶς γὰρ οὔ;

stratio ad hominem, ἀπόδειξις κατ' ἄνθρωπον, μηδεμίαν λογικὴν ἀξίαν ἔχουσα. Ἀφ' οὗ ἐδείχθη, ὅτι πάντες οἱ ἄνθρωποι βούλονται τὸ ἀγαθόν, ἕπεται, ὅτι καὶ ὁ Σωκράτης ἅτε ἄνθρωπος τοῦτο βούλεται.

1. Ἡ σύγκρισις γίνεται μεταξὺ τοῦ ἐξεῖναι καὶ τοῦ μὴ ἐξεῖναι.

2. Κατὰ τὸν Hirschig ὁ Πλάτων ἔγραψεν ὄντιν' ἂν ἴδῃς, διότι τὸ ῥῆμα τοῦτο πάντοτε συντάσσεται αἰτιατικῇ. Ἀλλὰ νομίζομεν, ὅτι ἡ χρονικὴ πρότασις δύναται νὰ προσδιορίσῃ πᾶσαν τάξιν ῥημάτων. Ἄλλως ὁ Πλάτων προτίθεται νὰ δηλώσῃ τὸν χρόνον.

3. Ἰσοδυναμεῖ πρὸς τὴν φράσιν, εἰς τὸ δεσμωτήριον ἀγαγόντα.

4. Εἶναι προσδιορισμὸς τῶν ἐννοουμένων μετοχῶν ἀποκτείναντα ἢ ἀφελόμενον ἢ δήσαντα.

5. Τὸ ὁπότερα δὲν κεῖται ἐπιρρηματικῶς, ὡς ἐπίστευεν ὁ Heindorf· διότι τὸ ποιεῖν ἀπαιτεῖ ἀντικείμενον. Τὸ ἀμφοτέρως σημαίνει καὶ κατὰ τοὺς δύο τρόπους, δικαίως καὶ ἀδίκως. Ὁ Hirschig νομίζων, ὅτι πλανῶνται καὶ ἀντιγραφεῖς καὶ ἐκδόται, προτείνει τὸ ζηλωτὸν νὰ τραπῇ εἰς ζηλωτός. Ἀλλὰ καὶ ἐνταῦθα, ὡς καὶ πρὸ ὀλίγου, ὁ Πλάτων ἔχει ὑπ' ὄψει τὴν περίστασιν καὶ οὐχὶ τὸ πρόσωπον

6. Ὁ Πλάτων μεταχειρίζεται τὸ ῥῆμα τοῦτο, ὅταν ὁ διαλεγόμενος προσβάλλῃ ἱερόν τι, ὡς ἐνταῦθα τὴν ἠθικήν. Παράβαλλ. Πρωταγόρ. 330, Δ. Εὐθυδήμ. 301 καὶ Πολιτ. I, 329, C. Ἐνταῦθα ἡ ἀπαισία λέξις τοῦ Πώλου ἦτο τὸ ἐπίθετον ζηλωτόν, δηλ. ἐζήλωσε τὸν φονεύοντα καὶ ἁρπάζοντα χρήματα.

7. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ἀζήλωτος γάρ ἐστιν, ὅστις ἔχει τι, ὃ μὴ εὐχόμεθα γενέσθαι ἡμῖν, ἄλλως δὲ ὁ πάθεσιν ἀνηκέστοις ἐνισχόμενος.»

8. Ὁμαλῶς ἔπρεπε νὰ εἴπῃ, οὕτω σοι δοκεῖ ἔχειν περὶ τῶν ἀνθρώπων, οὓς ἐγὼ λέγω;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Ὅστις οὖν ἀποκτίννυσιν ὃν ἂν δόξῃ αὐτῷ[1], δικαίως ἀποκτιννύς, ἄθλιος δοκεῖ σοι εἶναι καὶ ἐλεεινός;

ΣΩ. Οὐκ ἔμοιγε, οὐδὲ μέντοι ζηλωτός.

ΠΩΛ. Οὐκ ἄρτι ἄθλιον ἔφησθα εἶναι;

Β ΣΩ. Τὸν ἀδίκως γε, ὦ ἑταῖρε, ἀποκτείναντα[2] καὶ ἐλεεινὸν δὲ πρός[3]· τὸνδὲ δικαίως ἀζήλωτον.

ΠΩΛ. Ἦ[4] που ὅ γε ἀποθνήσκων ἀδίκως ἐλεεινός τε καὶ ἄθλιός ἐστιν;

ΣΩ. Ἧττον ἥ ὁ ἀποκτιννύς, ὦ Πῶλε, καὶ ἧττον ἥ ὁ δικαίως ἀποθνήσκων.

ΠΩΛ. Πῶς δῆτα, ὦ Σώκρατες;

ΣΩ. Οὕτως, ὡς μέγιστον τῶν κακῶν τυγχάνειν ὂν τὸ ἀδικεῖν[5].

1. Ἡ δοτικὴ αὕτη ἀνήκει εἰς τὴν ἀντωνυμίαν ὅστις. Τὸ δικαίως παρεισήχθη ὑπὸ τοῦ Πώλου. Τοῦτο εἶναι ἡ τέχνη τοῦ φέρεσθαι, ὡς λέγει ὁ Cron.

2. Ἐννοεῖται ἡ φράσις, ἔφην εἶναι ἄθλιον.

3. Ἡ πρόθεσις κεῖται ἐπιρρηματικῶς, ὡς καὶ κατωτέρω 513 Β. «Εἰ μέλλεις τι γνήσιον ἀπεργάζεσθαι εἰς φιλίαν τῷ Ἀθηναίων δήμῳ καὶ ναὶ μὰ Δία τῷ Πυριλάμπους γε πρός.» Πολιτ. Ι, 328 καὶ Αἰσχύλ. Προμηθ. 73.

4. Κατὰ τὸν Keck ἡ κοινὴ γραφή, ὡς ἔχει ἐν τῷ κειμένῳ, νοσεῖ διότι ἂν θεωρήσωμεν τὴν πρότασιν ὡς βεβαιωτικήν, περιέχει ἀντίφασιν ἐν ἑαυτῇ· τὸ μὲν ἥ εἶναι βεβαιωτικόν, τὸ δὲ ποὺ εἰκαστικόν. Ἂν δὲ λάβωμεν τὴν πρότασιν ὡς ἐρωτηματικὴν κατὰ τὸν Stallbaum, ὁ τύπος εἶναι λίαν ἀόριστος ὡς πρὸς ἐκεῖνο, ὅπερ πιστεύει ὁ Πῶλος. Διότι ἐπειδὴ ἡ καταφατικὴ ἀπόκρισις εἶναι πρόδηλος, ἔπρεπε νὰ εἴπῃ, ὅγε ἀποθνήσκων..; Διὰ ταῦτα νομίζει ὁ Keck, ὅτι ἡ ὀρθοτέρα γραφή, ἥτις εὑρίσκεται ἔν τισι χειρογράφοις, εἶναι ἥδε· ΠΩ. Ἦ που ὅ γε ἀποθνήσκων ἀδίκως ἐλεεινός τε καὶ ἄθλιός ἐστιν ἧττον ἥ ὁ ἀποκτιννύς; ΣΩ. Πάνυ μὲν οὖν, ὦ Πῶλε, καὶ ἧττον ἥ ὁ δικαίως ἀποθνήσκων. Κατὰ τὴν γραφὴν ταύτην ὁ Πῶλος περιμένει ἀρνητικὴν ἀπόκρισιν νομίζων, ὅτι ἐξελέγχει τὸν Σωκράτη. Ἀλλ' οὗτος μετὰ σεμνότητος ἀποκρίνεται καταφατικῶς. Ἂν τοιαύτην γραφὴν εἶχον τὰ ἄριστα τῶν χειρογράφων, ἡ ἔννοια δὲν ἤθελεν εἶναι ἁρμόστος, ἀλλὰ τοῦτο ἀμφισβητεῖται ὑπὸ τοῦ Cron, ὅστις ὑποστηρίζει τὴν κοινὴν γραφήν· διότι καὶ ἡ ἐρώτησις μετὰ εἰκασίας ἔχει καλῶς καὶ ἡ βεβαίωσις μετὰ εἰκασίας δὲν εἶναί τι ἀνήκουστον.

5. Ἐπειδὴ ὁ Σωκράτης τὴν ἀδικίαν θεωρεῖ ὡς νόσον τῆς ψυχῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Ἦ γὰρ τοῦτο μέγιστον; οὐ τὸ ἀδικεῖσθαι μεῖζον;

ΣΩ. Ἥκιστά γε.

ΠΩΛ. Σὺ ἄρα βούλοιο[1] ἂν ἀδικεῖσθαι μᾶλλον ἢ ἀδικεῖν;

ΣΩ. Βουλοίμην[2] μὲν ἂν ἔγωγε οὐδέτερα· εἰ δ' ἀναγκαῖον εἴη C
ἀδικεῖν ἢ ἀδικεῖσθαι, ἑλοίμην ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν[3].

ΠΩΛ. Σὺ ἄρα τυραννεῖν[3] οὐκ ἂν δέξαιο;[4]

ΣΩ. Οὔκ, εἰ τὸ τυραννεῖν γε λέγεις ὅπερ ἐγώ.

ΠΩΛ. Ἀλλ' ἔγωγε τοῦτο λέγω, ὅπερ ἄρτι, ἐξεῖναι[5] ἐν τῇ πόλει, ὃ ἂν δοκῇ αὐτῷ[6], ποιεῖν τοῦτο, καὶ ἀποκτιννύντι, καὶ ἐκβάλλοντι καὶ πάντα πράττοντι κατὰ τὴν αὑτοῦ δόξαν.

XXV. ΣΩ. Ὦ μακάριε[7], ἐμοῦ δὴ λέγοντος[8] τῷ λόγῳ ἐπιλα-

οὐδὲν τὸ παράδοξον, ὅτι λέγει τὸ μέγιστον τῶν κακῶν.

1. Τὸ βούλεσθαι μετὰ τοῦ μᾶλλον ἀποτελεῖ τὴν ἔννοιαν ἑνὸς μόνου ῥήματος, οἷον τὸ προτιμᾶν.

2. Ἐννοεῖται ἔξωθεν ἡ ὑπόθεσις, εἰ ἐξῇν.

3. Ἡ ζωηρότης τοῦ διαλόγου, ὡς καὶ ἐν τῷ δράματι, προκύπτει ἐκ τῆς ἀντιθέσεως τῶν χαρακτήρων. Ἐν ᾧ ὁ Πῶλος ὀρέγεται τῆς δυνάμεως, ἵνα ἀδικῇ, ὁ ἀγαθὸς Σωκράτης προτιμᾷ τὸ ἀδικεῖσθαι τοῦ ἀδικεῖν. Ἡ γνώμη αὕτη τοῦ φιλοσόφου εἶναι εὐαγγελική.

4. Τοιαύτη ἐρώτησις ἦτο ὅλως περιττή, διότι ὁ Σωκράτης ἔδειξεν, ὅτι ἡ ἐλευθέρα βούλησις μόνον τὸ ἀγαθὸν διώκει.

5. Εἶναι ἐπεξήγησις τοῦ τοῦτο καὶ ὡς τοιοῦτον δύναται νὰ μὴ ἔχῃ τὸ ἄρθρον καὶ οὐχὶ ὀρθῶς ὁ Heindorf ἐνόμισεν, ὅτι πρέπει νὰ προσθέσωμεν τό· διότι καὶ κατωτέρω λέγει, 491, D. «Καὶ τὸ δίκαιον τοῦτ' ἐστί, πλέον ἔχειν τούτοις τῶν ἄλλων.»

6. Τὸ αὐτῷ ἀναφέρεται εἰς τὴν ἐννοουμένην ἀόριστον ἀντωνυμίαν τινὶ τὴν ἀνήκουσαν εἰς τὸ ἐξεῖναι.

7. Ὁ Σωκράτης προσφωνεῖ τὸν Πῶλον διὰ τούτου τοῦ ἐπιθέτου ἕνεκα τῆς γνώμης, ἣν ἐξέφρασε περὶ τῆς εὐδαιμονίας τοῦ ἀνθρώπου. Λέγει δὲ τοῦτο εἰρωνικῶς.

8. Ἡ φράσις ἐμοῦ λέγοντος ποιεῖ ἀντίθεσιν πρὸς τὴν τοῦ Πώλου, Ἀλλ' ἔγωγε τοῦτο λέγω. Τὸ ἐπιλαμβάνεσθαι περιπίπτει εἰς τὴν σημασίαν τοῦ ἐλέγχειν, ὡς γίνεται δῆλον ἐκ τοῦ χωρίου ἐν Συμποσ. 214F «οὕτωσὶ ποίησον. Ἐάν τι μὴ ἀληθὲς λέγω, μεταξὺ ἐπιλαβοῦ, ἂν βούλῃ, καὶ εἰπέ, ὅτι τοῦτο ψεύδομαι» καὶ Γοργ. 506B. Ἀφ' οὗ ὁ Σωκράτης δὲν ἠδυνήθη νὰ διδάξῃ τὸν Πῶλον διαλεκτικῶς, πειρᾶται νὰ κατορθώσῃ τοῦτο δι' εἰκόνος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

D βοῦ. εἰ γὰρ ἐγὼ ἐν ἀγορᾷ[1] πληθούσῃ λαβὼν ὑπὸ μάλης ἐγχειρίδιονλέγοιμι[2] πρὸς σὲ ὅτι, ὦ Πῶλε, ἐμοὶ δύναμίς τις καὶ τυραννὶς θαυμασία ἄρτι προσγέγονεν· ἐὰν γὰρ ἄρα ἐμοὶ δόξῃ τινὰ τουτωνὶ τῶν ἀνθρώπων ὧν σὺ ὁρᾷς αὐτίκα μάλα δεῖν τεθνάναι, τεθνήξει[3] οὗτος ὃν ἂν δόξῃ· κἂν τινα δόξῃ μοι τῆς κεφαλῆς αὐτῶν κατεαγέναι[4] δεῖν, κατεαγὼς ἔσται αὐτίκα μάλα, κἂν θοι-
E μάτιον διεσχίσθαι, διεσχισμένον ἔσται· οὕτω[5] μέγα ἐγὼ δύναμαι ἐν τῇδε τῇ πόλει· εἰ οὖν ἀπιστοῦντί σοι δείξαιμι τὸ ἐγχειρίδιον, ἴσως ἂν εἴποις ἰδὼν ὅτι, ὦ Σώκρατες, οὕτω μὲν πάντες ἂν μέγα δύναιντο, ἐπεὶ κἂν ἐμπρησθείη οἰκία τούτῳ τῷ τρόπῳ ἥν τινά σοι δοκοῖ, καὶ τά γε Ἀθηναίων νεώρια καὶ τριήρεις[6] καὶ τὰ πλοῖα πάντα καὶ τὰ δημόσια καὶ τὰ ἴδια· ἀλλ' οὐκ ἄρα τοῦτ' ἔστι τὸ μέγα δύνασθαι, τὸ ποιεῖν ἃ δοκεῖ αὐτῷ· ἢ δοκεῖ σοι;

1. Κατὰ τὸν Jahn δηλοῖ οὐ μόνον τὸν τόπον, ἀλλὰ καὶ τὸν χρόνον, δηλ. κατὰ τὸν χρόνον, καθ' ὃν ἡ ἀγορὰ εἶναι πλήρης, Ξενοφ. ἐν Κυρ. Ἀναβάσ. I, 8, 1. Διὰ τῆς φράσεως ταύτης θέλει νὰ δείξῃ τὴν τόλμην τοῦ μέλλοντος νὰ διαπράξῃ τὸ ἔγκλημα. Προσηκόντως παραβάλλει τὴν ἄλογον δύναμιν τοῦ ῥήτορος πρὸς τὴν τοῦ κακούργου.

2. Τὴν ἀπόδοσιν ἔχει ἐν τῷ ἴσως ἂν εἴποις. Ἐπειδὴ δὲ παρενέπεσαν πολλαὶ προτάσεις, προέταξε τὴν ὑπόθεσιν, εἰ δείξαιμι.

3. Ὁ μετ' ὀλίγον μέλλων ἐτέθη πρὸς δήλωσιν τῆς ταχύτητος, μεθ' ἧς ἐκτελεσθήσεται ἡ πρᾶξις, ὡς Σοφοκλ. ἐν Τραχ. 586. «Μεμηχάνηται τοὔργον, εἴ τι μὴ δοκῶ πράσσειν μάταιον· εἰ δὲ μή, πεπαύσεται.» Ὁ τύπος τεθνήξομαι κατὰ τὸν Passow ἀνήκει εἰς τοὺς μεταγενεστέρους ἀττικιστάς· Εἰς τὸ δόξῃ ἐννοεῖται ἡ φράσις τεθνάναι δεῖν.

4. Οἱ ἀρχαῖοι συντάσσουσι τὸ ῥῆμα καὶ γενικῇ, Ἀριστοφάν. ἐν Σφηξί, 1428. «Κατεάγη τῆς κεφαλῆς μέγα σφόδρα.» καὶ ἐν Ἀχαρν. 1180. «Ἀνὴρ κατέαγε τῆς κεφαλῆς.»

5. Τὸ ἐπίρρημα τοῦτο ἐπιτείνει τὸ μέγα.

6. Ὁ Κοραῆς προσέθεσε τὸ ἄρθρον εἰς τὰς τριήρεις, διότι εἶναι διαφόρου γένους πρὸς τὰ νεώρια· ἀλλὰ καὶ ἐπὶ τοιαύτης περιστάσεως ἐλλείπει τὸ ἄρθρον, ὡς καὶ ἐν Φαίδωνι, 111, C. «Καὶ τόν γε ἥλιον καὶ σελήνην καὶ ἄστρα ὁρᾶσθαι ὑπ' αὐτῶν οἷα τυγχάνει ὄντα.» Μάλιστα διὰ τῆς παραλείψεως τοῦ ἄρθρου θέλει νὰ συνδέσῃ τὰς τριήρεις μετὰ τῶν νεωρίων καὶ ἀποτελέσῃ ἓν ὅλον. Οὕτω διχοτομεῖται τὸ ὅλον εἰς δύο, ἔνθεν μὲν εἰς νεώρια καὶ τριήρεις, ἔνθεν δὲ εἰς πλοῖα,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Οὐ δῆτα οὕτω γε[1].

ΣΩ. Ἔχεις οὖν εἰπεῖν δι' ὅτι μέμφει τὴν τοιαύτην δύναμιν; 470

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Τί δή; λέγε.

ΠΩΛ. Ὅτι ἀναγκαῖον τὸν οὕτω πράττοντα ζημιοῦσθαί ἐστιν.

ΣΩ. Τὸ δὲ ζημιοῦσθαι οὐ κακόν;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν, ὦ θαυμάσιε, τὸ μέγα δύνασθαι[2] πάλιν αὖ σοι φαίνεται, ἐὰν μὲν πράττοντι ἃ δοκεῖ ἕπηται τὸ ὠφελίμως πράττειν, ἀγαθόν τε[3] εἶναι, καὶ τοῦτο, ὡς ἔοικεν, ἐστὶ τὸ μέγα δύνασθαι· εἰ δὲ[4] μή, κακὸν καὶ σμικρὸν δύνασθαι; σκεψώμεθα δὲ καὶ B

ὡς Ξενοφ. ἐν Ἀπομν. I, 1, 19. «Σωκράτης πάντα ἡγεῖτο θεοὺς εἰδέναι, τά τε λεγόμενα καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα.» καὶ Δημοσθ. Ὀλυνθ. II, 9.

1. Διὰ τοῦ οὕτω γε πειρᾶται περιορίζων τὸ πρᾶγμα νὰ σώσῃ μέρος τοῦ προτέρου ἰσχυρισμοῦ αὐτοῦ, ὡς λέγει ὁ Cron.

2. Δὲν εἶναι τὸ ὑποκείμενον τοῦ ἑπομένου εἶναι, ὡς ἠδύνατό τις νὰ ὑπολάβῃ, ἀλλὰ μένει ὡς ἀπόλυτος πτῶσις, διότι τὸ ὑποκείμενον τοῦ, ἀγαθὸν εἶναι εἶναι ἡ ἐν τῷ μεταξὺ ὑποθετικὴ πρότασις. Τοιαῦτα παραδείγματα ἀπολύτων πτώσεων εἶναι πολλά, Πλάτ. ἐν Θεαιτ. 173, D. «Σπουδαὶ δὲ ἑταιρειῶν ἐπ' ἀρχὰς καὶ σύνοδοι καὶ δεῖπνα καὶ σὺν αὐλητρίσι κῶμοι, οὐδὲ ὄναρ πράττειν προσίσταται αὐτοῖς.» καὶ Ξενοφ. ἐν Οἰκον. I, 14. «Οἱ δὲ φίλοι, ἢν τις ἐπίστηται αὐτοῖς χρῆσθαι ὥστε ὠφελεῖσθαι ὑπ' αὐτῶν, τί φήσομεν αὐτοὺς εἶναι;»

3. Κατὰ μὲν τὸν Cron ὁ τὲ ἑτέθη χάριν τοῦ ἑπομένου καί, κατὰ δὲ τὸν Schmidt καὶ τὸν Schleiermacher δὲν συνδέει τὰ ἑπόμενα καὶ τοῦτο.. μέγα δύνασθαι, ἀλλὰ τὰ ἡγούμενα ὠφελίμως πράττειν. Ἀλλ' ὀρθῶς παρατηρεῖ ὁ Münscher, ὅτι διὰ τῆς συνδέσεως ταύτης αἴρεται μὲν τὸ ἀνακόλουθον (διότι ἔπρεπε νὰ εἴπῃ καὶ τοῦτο εἶναι τὸ μέγα δύνασθαι), ἀλλὰ παρέχει μεγάλην δυσκολίαν τὸ μέν· διότι τοῦτο δεικνύει, ὅτι τὸ φαίνεται ἔχει δύο κατηγορούμενα τὸ ἔαν μεν... καὶ τὸ εἰ δὲ μή..., ὅπερ δὲν ἁρμόζει. Κατὰ τὴν σύνταξιν τοῦ Schmidt ἢ ἔπρεπε νὰ λείπῃ ὁ μέν, ἢ νὰ τεθῇ ἐν ἀρχῇ, τὸ μὲν μέγα δύνασθαι.

4. Τὸ πλῆρες ἤθελεν ἔχει οὕτωσί· εἰ δὲ μὴ ἕπεται τὸ ὠφελίμως πράττειν, τὸ μέγα δύνασθαί σοι φαίνεται κακὸν εἶναι καὶ σμικρὸν δύνασθαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τόδε[1]· ἄλλο τι ἢ ὁμολογοῦμεν ἐνίοτε μὲν ἄμεινον εἶναι ταῦτα ποιεῖν ἃ νῦν δὴ ἐλέγομεν, ἀποκτιννύναι τε καὶ ἐξελαύνειν ἀνθρώπους καὶ ἀφαιρεῖσθαι χρήματα, ἐνίοτε δὲ οὔ;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Τοῦτο μὲν δή, ὡς ἔοικε, καὶ παρὰ σοῦ καὶ παρ' ἐμοῦ ὁμολογεῖται.

ΠΩΛ. Ναί.

ΣΩ. Πότε οὖν σὺ φῂς ἄμεινον εἶναι ταῦτα ποιεῖν; εἰπὲ τίνα ὅρον ὁρίζει.

ΠΩΛ. Σὺ μὲν[2] οὖν, ὦ Σώκρατες, ἀπόκριναι ταὐτὸ τοῦτο[3].

C ΣΩ. Ἐγὼ μὲν τοίνυν φημί, ὦ Πῶλε, εἴ σοι παρ' ἐμοῦ ἥδιόν ἐστιν ἀκούειν, ὅταν μὲν δικαίως τις ταῦτα ποιῇ, ἄμεινον εἶναι, ὅταν δὲ ἀδίκως, κάκιον.

XXVI. ΠΩΛ. Χαλεπόν[1] γέ σε ἐλέγξαι, ὦ Σώκρατες, ἀλλ' οὐχὶ κἂν[5] παῖς σε ἐλέγξειεν, ὅτι οὐκ ἀληθῆ λέγεις;

1. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ἐντεῦθεν ὁ περὶ δικαιοσύνης καὶ ἀδικίας ἐπεισέρχεται λόγος.»

2. Ὁ Πῶλος ἀρνεῖται νὰ ἀποκριθῇ εἰς τὸν Σωκράτη, τὸ μέν, διότι δὲν δύναται, τὸ δέ, διότι ἤρξατο προαισθανόμενος, ὅτι ἡ ἀπόκρισις ἤθελεν ἀγάγει αὐτὸν εἰς ἀντίφασιν πρὸς τὰ ἐν τοῖς ἔμπροσθεν εἰρημένα.

3. Ὁ Κοραῆς διορθοῖ εἰς σαυτῷ τοῦτο, λέγων πρὸς τοῖς ἄλλοις· «Ἡ ἡμετέρα διόρθωσις ἐμφαίνει τὴν ἀμηχανίαν τοῦ σοφιστοῦ Πώλου, ἐμπεριληφθείς γάρ, οἷον ἄρκυσι, τοῖς Σωκράτους λόγοις καὶ οὐκ ἔχων ἀποκρίνασθαι, μετ' ὀργῆς λέγει, σὺ σεαυτῷ ἀπόκριναι τοῦτο, Σώκρατες καὶ μὴ ἐμοῦ πυνθάνου. Ταὐτὸ δὲ τοῦτο καὶ ἐν τοῖς ἑξῆς. (§ 61).» Ὅτι ὅμως δὲν ἐννοεῖ τοῦτο ὁ Πῶλος, ἐξάγεται ἐκ τοῦ ἑξῆς λόγου τοῦ Σωκράτους ὅστις λέγει, ὅτι ὁ νέος ἔχει μείζονα εὐχαρίστησιν νὰ ἀκούῃ. Πρὸς τούτοις ἂν ἡ διόρθωσις ἦτο ὀρθή, κατὰ τὸν Stallbaum ἔπρεπε νὰ εἴπῃ, Αὐτὸς μὲν οὖν .... ἀπόκριναι σαυτῷ. Δὲν εἶναι ἀνάγκη διορθώσεως, διότι ἐκ τοῦ χωρίου ἐξάγεται ἔννοια ὀρθή, δηλ. σὺ ἀποκρίνου αὐτὸ τὸ ἴδιον, ὅπερ ἠδυνάμην ἐγὼ νὰ ἀποκριθῶ.

4. Ὀρθῶς λέγει ὁ Σχολιαστής· «Κατ' εἰρωνείαν τοῦτό φησιν, ὡς δηλοῖ τὸ ἐπαγόμενον.»

5. Τὸ μὲν καὶ ἀναφέρεται εἰς τὸ παῖς καὶ εἶναι ἐπιδοτικὸς πρὸς ἐλάσσονα, τὸ δὲ ἂν ἀνήκει εἰς τὴν εὐκτικήν. Ὁ Πῶλος καίπερ μὴ δυνάμενος νὰ ἀνασκευάσῃ τοὺς λόγους τοῦ Σωκράτους, ὅμως εἶναι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Πολλὴν ἄρα ἐγὼ τῷ παιδὶ[1] χάριν ἕξω, ἴσην δὲ καὶ σοί[2], ἐάν με ἐλέγξῃς καὶ ἀπαλλάξῃς φλυαρίας. ἀλλὰ μὴ κάμῃς φίλον ἄνδρα εὐεργετῶν[3], ἀλλ' ἔλεγχε.

ΠΩΛ. Ἀλλὰ μήν, ὦ Σώκρατες, οὐδέν γέ σε δεῖ παλαιοῖς πράγμασιν ἐλέγχειν· τὰ γὰρ ἐχθὲς καὶ πρῴην[4] γεγονότα ταῦτα D ἱκανά σε ἐξελέγξαι ἐστὶ καὶ ἀποδεῖξαι, ὡς πολλοὶ ἀδικοῦντες ἄνθρωποι εὐδαίμονές εἰσιν.

ΣΩ. Τὰ ποῖα ταῦτα;

ΠΩΛ. Ἀρχέλαον[5] δήπου τοῦτον τὸν Περδίκκου ὁρᾷς[6] ἄρχοντα Μακεδονίας;

ἀγροῖκος πιστεύων, ὅτι τὰ πράγματα ἔχει ὑπὲρ ἑαυτοῦ.

1. Τὸ ὄνομα τοῦτο ἔχει ἄρθρον, ἂν καὶ ἀόριστον, διότι ὠνομάσθη πρὸ ὀλίγου.

2. Ἔμμεσος προσβολὴ πρὸς τὸν σοφιστὴν ἀξία τῆς αὐθαδείας αὐτοῦ.

3. Ὅτι τὸν ἔλεγχον ὁ Σωκράτης θεωρεῖ εὐεργεσίαν, ἀνέπτυξεν ἐν τοῖς ἔμπροσθεν. 458, Α.

4. Ἡ φράσις εἶναι ἀρχαιοτάτη ἀπαντῶσα ἤδη παρ' Ὁμήρῳ Ἰλιάδ. Β. 303. «Ἔστὲ δὲ πάντες μάρτυροι, οὓς μὴ Κῆρες ἔβαν θανάτοιο φέρουσαι χθιζά τε καὶ πρῴϊζ', ὅτ' εἰς...» Διὰ τῶν φράσεων τούτων ὁ σοφιστὴς δηλοῖ, ὅτι ἡ εὐδαιμονία τῶν ἀδικούντων δὲν εἶναι σπάνιον, ἀλλὰ συνηθέστατον. Μεταχειρίζεται δὲ νεώτατον παράδειγμα, ὡς ὑπὸ πάντων γνωστόν.

5. Ὁ Ἀρχέλαος ἦτο νόθος υἱὸς Περδίκκου τοῦ δευτέρου καὶ ἀνέβη τὸν θρόνον τὸ 414 π. Χ. Ἴσως ἡ διήγησις εἶναι ἀκριβής, ἀλλ' ὑπὸ τοῦ Θουκυδίδου ἱστορεῖται ὡς οὐχὶ κακὸς βασιλεὺς τῆς Μακεδονίας, ΙΙ, 100. «Ἀλλ' ὕστερον Ἀρχέλαος ὁ Περδίκκου υἱὸς βασιλεὺς γενόμενος τὰ νῦν ὄντα ἐν τῇ χώρᾳ ᾠκοδόμησε καὶ ὁδοὺς εὐθείας ἔτεμε καὶ τἆλλα διεκόσμησε τά τε κατὰ τὸν πόλεμον ἵπποις καὶ ὅπλοις τῇ ἄλλῃ παρασκευῇ κρείσσονι ἢ σύμπαντες [ἄλλοι βασιλῆς ὀκτὼ] οἱ πρὸ αὐτοῦ γενόμενοι.» Οὐ μόνον ἱδρυτὴς τῆς Μακεδονικῆς δυνάμεως ἐγένετο, ἀλλὰ καὶ φιλόμουσος ἦτο καὶ Ἕλληνας ποιητὰς εἰς τὴν αὐλὴν αὐτοῦ ἐκάλει, ὡς τὸν Εὐριπίδην. Ἐκάλεσε δὲ καὶ τὸν Σωκράτη, ἀλλ' οὗτος κατεφρόνησε τοῦ τυράννου, ὡς παραδίδει Διογένης ὁ Λαέρτιος, ΙΙ, 25. Διὰ τοῦτο ἴσως ὁ Πλάτων τὸ παράδειγμα τοῦτο ἔβαλεν εἰς τὸ στόμα τοῦ Πώλου. Διὰ τὴν εἰκόνα ταύτην τοῦ Ἀρχελάου ὁ Ἀθήναιος, ὅστις πανταχοῦ κακίζει τὸν Πλάτωνα, κατηγορεῖ τοῦ φιλοσόφου, ΧΙ, 115.

6. Τὸ ῥῆμα τοῦτο δηλοῖ τὸ ζωηρὸν ἐνδιαφέρον τοῦ Πώλου, ὅπερ οὗτος λαμβάνει ὑπὲρ τῶν φιλοδό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Εἰ δὲ μή, ἀλλ' ἀκούω γε[1].

ΠΩΛ. Εὐδαίμων οὖν σοι δοκεῖ εἶναι ἢ ἄθλιος;

ΣΩ. Οὐκ οἶδα, ὦ Πῶλε· οὐ γάρ πω συγγέγονα τῷ ἀνδρί.[2]

Ε ΠΩΛ. Τί δαί; συγγενόμενος[3] ἂν γνοίης, ἄλλως δὲ αὐτόθεν[4] οὐ γιγνώσκεις ὅτι εὐδαιμονεῖ;

ΣΩ. Μὰ Δί' οὐ δῆτα.[5]

ΠΩΛ. Δῆλον δή, ὦ Σώκρατες, ὅτι οὐδὲ τὸν μέγαν βασιλέα γιγνώσκειν φήσεις εὐδαίμονα ὄντα.

ΣΩ. Καὶ ἀληθῆ γε ἐρῶ· οὐ γὰρ οἶδα παιδείας ὅπως ἔχει καὶ δικαιοσύνης.[7]

ΠΩΛ. Τί δαί; ἐν τούτῳ[8] ἡ πᾶσα εὐδαιμονία ἐστίν;

ΣΩ. Ὡς γε ἐγὼ λέγω, ὦ Πῶλε· τὸν μὲν γὰρ καλὸν κἀγαθὸν

ξων ἀνδρῶν τῆς ἐποχῆς. Οἱ τοιοῦτοι πάντοτε ἕνεκα τῆς ἐπιφανοῦς αὐτῶν θέσεως καθίστανται ἐπίφθονοι. Τῷ μὲν Πώλῳ ἰδανικὸν πολιτευτοῦ εἶναι ὁ Ἀρχέλαος, τῷ δὲ Σωκράτει Ἀριστείδης ὁ Λυσιμάχου.

1. Ὁ Σωκράτης ἀποκρινόμενος μικρολόγως σκοπεῖ, ὅπως ψυχράνῃ τὸν ὑπερβολικὸν τοῦ νέου σοφιστοῦ ζῆλον.

2. Δὲν λέγει τῷ ἄρχοντι, τῷ βασιλεῖ ἢ οὕτω πως, διότι ὁ Σωκράτης ἀδιαφορεῖ περὶ τῆς βασιλικῆς λάμψεως τοῦ Ἀρχελάου καὶ ἐπιθυμεῖ νὰ μάθῃ περὶ τοῦ ἤθους καὶ τῆς παιδείας αὐτοῦ ὡς ἀνθρώπου.

3. Ἡ μετοχὴ εἶναι ὑποθετικὴ καὶ ἔχει ἀπόδοσιν τὸ γνοίης ἄν.

4. Ὁ Κοραῆς ἑρμηνεύει οὕτω· «Τὸ αὐτόθεν ἐνθάδε ἰσοδυναμεῖ τῷ ἐν τῇ συνηθείᾳ. Ἀφ' ἑαυτοῦ σου. Συνωνυμεῖ δὲ τούτῳ καὶ τὸ οὐχ ἧττον σύνηθες· Ἀπὸ λόγου σου...» Ἡ τοιαύτη ἑρμηνεία δὲν φαίνεταί μοι ὀρθή, διότι ὁ προσδιορισμὸς εἶναι τοπικός, δηλ. ἐξ Ἀθηνῶν καὶ ποιεῖ ἀντίθεσιν πρὸς τὸ συγγενόμενος.

5. Ἡ μὲν ἐξωτερικὴ εὐδαιμονία, ἣν τιμᾷ ὁ Πῶλος, γίνεται γνωστὴ καὶ πόρρωθεν, ἡ δὲ ἐσωτερική, ἣν θηρεύει ὁ φιλόσοφος, ἐγγύθεν μάλιστα διαγιγνώσκεται.

6. Ὁ Πῶλος πειρᾶται νὰ ἐλέγξῃ τὸν Σωκράτη ὡς ἰσχυρογνώμονα ἢ κακῆς πίστεως ἄνθρωπον. Ὁ μέγας βασιλεύς, ἤτοι ὁ βασιλεὺς τῶν Περσῶν, ἐθεωρεῖτο ὡς πρότυπον εὐδαιμονίας, Πλάτ. ἐν Ἀπολογ. 40 D.

7. Ἡ παιδεία καὶ ἡ δικαιοσύνη ὁμοῦ ἀποτελοῦσι τὴν ἠθικὴν μόρφωσιν.

8. Δηλαδὴ ἐν παιδείᾳ τε καὶ δικαιοσύνῃ. Ὁ Πῶλος διαφωνεῖ πρὸς τὸν Σωκράτη ἀλλαχοῦ τιθεὶς τὴν εὐδαιμονίαν. Τὸ μέγα τοῦτο ζήτημα τοῦ Πῶς βιωτέον; λύεται ἐν τῷ διαλόγῳ πρὸς τὸν Καλλικλέα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄνδρα καὶ γυναῖκα[1] εὐδαίμονα εἶναί φημι, τὸν δὲ ἄδικον καὶ πονηρὸν ἄθλιον.

ΠΩΛ. Ἄθλιος ἄρα οὗτός ἐστιν ὁ Ἀρχέλαος κατὰ τὸν σὸν 471
λόγον;

ΣΩ. Εἴπερ γε, ὦ φίλε, ἀδικος.

ΠΩΛ. Ἀλλὰ μὲν δὴ πῶς οὐκ ἄδικος; ᾧ[2] γε προσῆκε μὲν τῆς ἀρχῆς οὐδὲν ἦν νῦν ἔχει, ὄντι ἐκ γυναικὸς ἣ ἦν δούλη[3] Ἀλκέτου τοῦ Περδίκκου ἀδελφοῦ, καὶ κατὰ μὲν τὸ δίκαιον δοῦλος ἦν Ἀλκέτου, καὶ εἰ ἐβούλετο τὰ δίκαια ποιεῖν, ἐδούλευεν ἂν Ἀλκέτῃ καὶ ἦν εὐδαίμων κατὰ τὸν σὸν λόγον[4]· νῦν δὲ θαυμασίως ὡς ἄθλιος[5] γέγονεν, ἐπεὶ τὰ μέγιστα ἠδίκηκεν· ὅς γε πρῶτον μὲν τοῦτον αὐτὸν τὸν δεσπότην καὶ θεῖον μεταπεμψά- Β
μενος ὡς ἀποδώσων τὴν ἀρχὴν ἣν Περδίκκας αὐτὸν ἀφείλετο, ξενίσας[6] καὶ καταμεθύσας αὐτόν τε καὶ τὸν υἱὸν αὐτοῦ Ἀλέξανδρον, ἀνεψιὸν αὑτοῦ, σχεδὸν ἡλικιώτην, ἐμβαλὼν εἰς ἅραξαν, νύκτωρ ἐξαγαγὼν[7] ἀπέσφαξέ τε καὶ ἠφάνισεν ἀμφοτέρους· καὶ

1. Κατὰ τὸν Σωκράτη ἡ ἀρετὴ εἶναι ἡ αὐτὴ τοῖς πᾶσιν, ἐν ᾧ οἱ μαθηταὶ τοῦ Γοργίου διέστελλον ἀρετὰς διαφόρων τάξεων, ἐν Μέν. 71 Ε.

2. Ἡ ἀναφορικὴ ἀντωνυμία ἐνταῦθα ἰσοδυναμεῖ πρὸς δεικτικὴν καὶ αἰτιολογικὸν σύνδεσμον.

3. Κατὰ τὸν Αἰλιανὸν ἡ μήτηρ τοῦ Ἀρχελάου ὠνομάζετο Σιμίχη, Ποικίλ. Ἱστορ. XII, 43.

4. Ὁ Πῶλος δίδωσιν εἰς τὸν λόγον εἰρωνικὴν χροιάν, ὅπως δείξῃ, ὅτι τὸ παράδειγμα αὐτοῦ μέχρι γελοίου καταβιβάζει τὴν περὶ εὐδαιμονίας θεωρίαν τοῦ Σωκράτους. Πρὸς τὸν σκοπὸν τοῦτον ἀφαιρεῖ ἀπὸ τοῦ Ἀρχελάου πᾶν ἠθικὸν αἴσθημα καὶ ἐξαίρει τὰς ἐγκληματικὰς αὐτοῦ πράξεις. Ὅτι καὶ ὁ δοῦλος δύναται νὰ ἦναι εὐδαίμων, οὐδόλως δύναται νὰ ἐννοήσῃ ὁ λέγων.

5. Ἡ φράσις αὕτη προῆλθεν ἐξ ἐλλείψεως, διότι κυρίως ἔπρεπε νὰ εἴπῃ, θαυμάσιόν ἐστιν ὡς ἄθλιος γέγονεν.

6. Ὁ Πῶλος ἐπισωρεύει σειρὰν ἠθικῶν καθηκόντων, διότι ἐφόνευσε δεσπότην, θεῖον καὶ ξενιζόμενον, ἀνόσιον ἔργον πρὸς Δία τὸν ξένιον ποιήσας.

7. Διὰ τῆς ἐπισωρεύσεως τῶν πολλῶν τούτων μετοχῶν ὁ Πλάτων πειρᾶται νὰ εἰκονίσῃ τὴν χλευαστικὴν χαράν, ἣν ὁ σοφιστὴς αἰσθάνεται διὰ τὴν πληθὺν τῶν ἐγκληματικῶν πράξεων τοῦ Ἀρχελάου, τῶν ἐλεγχουσῶν δῆθεν τὸν Σωκράτη καὶ ἐπιμαρτυρουσῶν τὸν ἰσχυρισμὸν αὐτοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦτα ἀδικήσας ἔλαθεν ἑαυτὸν ἀθλιώτατος γενόμενος καὶ οὐ μετεμέλησεν[1] αὐτῷ, ἀλλ' ὀλίγον ὕστερον τὸν ἀδελφόν, τὸν γνήσιον τοῦ Περδίκκου υἱόν[2], παῖδα ὡς ἐπταετῆ[3], οὗ ἡ ἀρχὴ ἐγίγνετο κατὰ τὸ δίκαιον, οὐκ ἐβουλήθη[4] εὐδαίμων γενέσθαι δικαίως ἐκθρέψας καὶ ἀποδοὺς τὴν ἀρχὴν ἐκείνῳ, ἀλλ' εἰς φρέαρ ἐμβαλὼν καὶ ἀποπνίξας πρὸς τὴν μητέρα αὐτοῦ Κλεοπάτραν χῆνα ἔφη διώκοντα ἐμπεσεῖν καὶ ἀποθανεῖν. τοιγάρτοι[5] νῦν, ἅτε τὰ μέγιστα ἠδικηκὼς τῶν ἐν Μακεδονίᾳ, ἀθλιώτατός ἐστι πάντων Μακεδόνων, ἀλλ' οὐκ εὐδαιμονέστατος, καὶ ἴσως ἔστιν[6] ὅστις Ἀθηναίων ἀπὸ σοῦ ἀρξάμενος δέξαιτ' ἂν ἄλλος ὁστισοῦν Μακεδόνων γενέσθαι μᾶλλον ἢ Ἀρχέλαος.

1. Ἡ μεταμέλεια κατὰ τὸν Πῶλον εἶναι ἀσθένεια.

2. Ἡ ἀρχαία κοινὴ γραφὴ εἶναι τὸν ἀδελφόν, τὸν γνήσιον τοῦ Περδίκκου υἱόν, ἀλλὰ τὰ ἄριστα χειρόγραφα ἔχουσι τὸν ἀδελφὸν τὸν γνήσιον, τὸν Περδίκκου υἱόν, ὅπερ δέχεται ὁ Bekker καὶ ὁ Stallbaum. Ἀλλὰ τὸ ἐπίθετον γνήσιος ἁρμόζει μᾶλλον εἰς τὸν υἱὸν ἢ εἰς τὸν ἀδελφόν. Πρὸς τούτοις ἡ γραφὴ τῶν ἀρίστων χειρογράφων καθίστησι τὴν φράσιν τὸν Περδίκκου υἱὸν περιττήν, διότι καὶ ὁ Ἀρχέλαος ἦτο υἱὸς τοῦ Περδίκκου. Ἐν τοιαύτῃ περιστάσει ἤρμοζε νὰ εἴπῃ, τὸν Κλεοπάτρας υἱόν. Διὰ ταῦτα ὀρθῶς ὁ Cron ὑποστηρίζει τὴν κοινὴν γραφήν.

3. Ὀλίγα τῶν χειρογράφων ἔχουσιν ἐπταέτη· ὁ Ἀμμώνιος παρατηρεῖ· «Τρίετες βαρυτόνως καὶ τριετὲς ὀξυτόνως διαφέρει, φησὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης· ἐὰν μὲν γὰρ βαρυτονήσωμεν, ἔσται ἐπὶ χρόνου· ἐὰν δὲ ὀξυτονήσωμεν, ἔσται ἐπὶ ἡλικίας.» Ὁ Hirschig προτιμᾷ τὴν τόνωσιν ἐπταέτη

4. Ὁ Πῶλος πανταχοῦ φαίνεται θαυμάζων τὴν ἰσχὺν τοῦ Ἀρχελάου θέλησιν.

5 Εἰρωνικῶς ταῦτα λέγει ὁ Πῶλος.

6. Ἐνταῦθα ὁ σοφιστὴς ἐπικαλεῖται τὴν δημοσίαν τῶν Ἀθηναίων γνώμην. Ἡ τοιαύτη ὅμως ἀπόδειξις εἶναι ῥητορικὴ καὶ οὐχὶ διαλεκτική. Καὶ τοῦτο ἔστω ἀπόδειξις, ὅτι ὁ διάλογος ὑποτίθεται γενόμενος περὶ τὸ τέλος τοῦ Πελοποννησιακοῦ πολέμου, ὅτε οἱ Ἀθηναῖοι ἦσαν ἤδη διεφθαρμένοι. Ἐν ἀρχῇ τούτου ὁ Περικλῆς ἔλεγεν· «Οὐ παρανομοῦμεν, τῶν τε ἀεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει καὶ τῶν νόμων, καὶ μάλιστα αὐτῶν ὅσοι τε ἐπ' ὠφελίᾳ τῶν ἀδικουμένων κεῖνται καὶ ὅσοι ἄγραφοι ὄντες αἰσχύνην ὁμολογουμένην φέρουσιν.» Θουκυδίδ. II, 37. Ὅρα Εἰσαγωγ. σελ. 113.

7. Ὁ Κοραῆς ἑρμηνεύει οὕτως·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

XXVII. ΣΩ. Καὶ κατ' ἀρχὰς τῶν λόγων[1], ὦ Πῶλε, ἔγωγέ σε ἐπῄνεσα ὅτι μοι δοκεῖς εὖ πρὸς τὴν ῥητορικὴν πεπαιδεῦσθαι, τοῦ δὲ διαλέγεσθαι ἠμεληκέναι· καὶ νῦν ἄλλο τι[2] οὗτός ἐστιν ὁ λόγος, ᾧ με καὶ ἂν παῖς ἐξελέγξειε, καὶ ἐγὼ ὑπὸ σοῦ νῦν, ὡς σὺ οἴει, ἐξελήλεγμαι τούτῳ τῷ λόγῳ, φάσκων τὸν ἀδικοῦντα οὐκ εὐδαίμονα εἶναι; πόθεν[3], ὦ γαθέ; καὶ μὴν οὐδέν γέ σοι τούτων ὁμολογῶ ὧν σὺ φῄς,

ΠΩΛ. Οὐ γὰρ ἐθέλεις·[4] ἐπεὶ δοκεῖ γέ σοι ὡς ἐγὼ λέγω. E

ΣΩ. Ὦ μακάριε, ῥητορικῶς γάρ με ἐπιχειρεῖς ἐλέγχειν, ὥσπερ οἱ ἐν τοῖς δικαστηρίοις[5] ἡγούμενοι ἐλέγχειν. καὶ γὰρ ἐκεῖ οἱ ἕτεροι τοὺς ἑτέρους δοκοῦσιν ἐλέγχειν, ἐπειδὰν τῶν λόγων ὧν

«Ἔστιν ἴσως Ἀθηναίων ὅστις, ἀριθμουμένων ἀπὸ σοῦ πρώτου, ἢ εὑρεθείη τις ἂν ἴσως Ἀθηναίων, καὶ πρῶτος ἂν (et toi le premier) ἐν αὐτοῖς σύ.» δηλ. πρῶτος ὁ Σωκράτης καὶ εἶτα οἱ ἄλλοι Ἀθηναῖοι ἢ ὁ Σωκράτης πρὸ πάντων τῶν Ἀθηναίων. Ἐν τῇ φράσει ταύτῃ ἡ μετοχὴ συμφωνεῖ συνήθως κατ' ἀριθμὸν γένος καὶ πτῶσιν πρὸς τὸ ὄνομα, ὅπερ ἀκριβέστερον προσδιορίζεται, ὡς ἐν Πολιτ. X, 600 E «Οὐκοῦν τίθωμεν ἀπὸ Ὁμήρου ἀρξαμένους πάντας καὶ ποιητικοὺς μιμητάς... εἶναι.» Ἐνταῦθα ὑποκείμενον καὶ προσδιοριζόμενον ὄνομα συμπίπτουσιν, ὡς καὶ ἐν Σοφιστ. 242 F.

1. Τοῦτο ὄντως ἐποίησεν ὁ Σωκράτης ἐν 448, D εἰπών· «Καλῶς γε, ὦ Γοργία, φαίνεται Πῶλος παρεσκευάσθαι εἰς λόγους.»

2. Ὁ Σχολιαστὴς παρατηρεῖ. «Ὁ λόγος οὗτος οὐκ ἔλεγχός ἐστιν, ᾧ με ἔφης πρίν, καὶ παῖς ἂν ἐλέγξειεν, ἀλλὰ πρὸς ἄλλο τι εἰρημένος.» Ὁ δὲ Κοραῆς· «Τὸ συνημμένον ἄλλο τι, ᾧ πλειστάκις ὁ Πλάτων χρῆται, ἰσοδυναμεῖ ἐνθάδε τῷ Ἆρα, ἢ Μῶν, ἢ τοιούτῳ τινὶ ἑτέρῳ ἀπορρηματικῷ μορίῳ, ὥσπερ ἂν εἰ ἔλεγε· Ἆρα οὗτός ἐστιν ὁ λόγος, τοῦτέστιν ὁ ἔλεγχος, ᾧ καὶ παῖς με ἄν, ὡς ἔλεγες, ἐξελέγξειεν.» Δηλαδὴ καὶ ὁ λόγος οὗτος δὲν εἶναι ἄλλος, ἀλλὰ ῥητορικός, δηλ. ἐφαρμογὴ τῆς ῥητορικῆς παιδεύσεως, περὶ ἧς εἶπεν ἐν ἀρχῇ. Κατὰ μὲν τὸ φαινόμενον εἶναι ἔπαινος, πράγματι δὲ ψόγος· διότι ἐν λογικοῖς ζητήμασι μεταχειρίζεται ῥητορικὰ ἐπιχειρήματα.

3. Ἰσοδυναμεῖ πρὸς τὸ ἀρνητικὸν οὐδαμόθεν.

4. Πάλιν ἐνταῦθα ὁ Πῶλος εἰκονίζει τὸν Σωκράτη ὡς ἰσχυρογνώμονα.

5. Ἐν τοῖς ἀττικοῖς δικαστηρίοις συχνάκις εἰσήγοντο ψευδομάρτυρες. Ἴσως διὰ τοῦ χωρίου τούτου ὁ Πλάτων θέλει νὰ ἐλέγξῃ τοὺς κατηγόρους τοῦ Σωκράτους, οἵτινες πρὸ ὀλίγου ἐπέτυχον νὰ καταδικασθῇ εἰς θάνατον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἂν λέγωσι μάρτυρας πολλοὺς παρέχωνται καὶ εὐδοκίμους[1], ὁ δὲ
472 τἀναντία λέγων ἕνα[2] τινὰ παρέχηται ἢ μηδένα. οὗτος δὲ ὁ ἔλεγχος οὐδενὸς ἄξιός ἐστι «πρὸς τὴν ἀλήθειαν.[3] ἐνίοτε γὰρ ἂν καὶ καταψευδομαρτυρηθείη τις[4] ὑπὸ πολλῶν καὶ δοκούντων εἶναί τι·[5] καὶ νῦν περὶ ὧν σὺ λέγεις ὀλίγου[6] σοι πάντες συμφήσουσι ταῦτα Ἀθηναῖοι καὶ οἱ ξένοι, ἐὰν βούλῃ κατ' ἐμοῦ μάρτυρας παρασχέσθαι, ὡς οὐκ ἀληθῆ λέγω· μαρτυρήσουσί σοι, ἐὰν μὲν βούλῃ, Νικίας[7] ὁ Νικηράτου καὶ οἱ ἀδελφοὶ μετ' αὐτοῦ, ὧν οἱ τρίποδες οἱ ἐφεξῆς ἑστῶτές[8] εἰσιν ἐν τῷ Διονύ-

1. Δὲν ἐννοεῖ τοὺς ἠθικῶς εὐδοκίμους, ἀλλὰ τοὺς πολιτικῶς, διότι ὡς μάρτυρες προσάγονται ἐπιφανεῖς πολιτευταί.

2. Τὸ μὲν ἕνα ποιεῖ ἀντίθεσιν πρὸς τοὺς πολλούς, τὸ δὲ τινὰ πρὸς τοὺς εὐδοκίμους, δηλ. ἔθηκε τὴν ἀόριστον ἀντωνυμίαν, ἵνα δηλώσῃ τὴν ποιότητα.

3. Ἀναντιρρήτως ἡ ποιότης καὶ οὐχὶ ἡ ποσότης τῶν μυρτύρων δύναται νὰ χρησιμεύσῃ ὡς ἀπόδειξις τῆς ἀληθείας, ὡς λέγεται ἐν Λάχητ. 184, Α. «Ἐπιστήμῃ γὰρ δεῖ κρίνεσθαι, ἀλλ' οὐ πλήθει, τὸ μέλλον καλῶς κρίνεσθαι.»

4. Τοῦτο εἶναι σαφὴς ὑπαινιγμός, ὅτι ὁ Πλάτων ἔχει ὑπ' ὄψει τοὺς περὶ τὸν Μέλητον.

5. Οὕτως ὀνομάζονται οἱ ἐν τοῖς ἔμπροσθεν εὐδόκιμοι. Τὸ τί ἐνταῦθα σημαίνει μέγα τι, ἐξαίρετον, ὡς καὶ ἐν τῇ Ἀπολογ. 35, Α. «Δοκοῦντας μέν τι εἶναι, θαυμάσια δὲ ἐργαζομένους.» Τὴν αὐτὴν σημασίαν ἔχει καὶ τὸ ἀρσενικὸν γένος τῆς ἀντωνυμίας, Εὐριπίδ. ἐν Ἠλέκτρ. 944. «Ἦ̓χεις τις εἶναι.» Θεόκριτ. 11, 78.

6. Τὸ πλῆρες εἶναι ὀλίγου δεῖν, καὶ τώρα, περὶ ὅσων σὺ λέγεις, σχεδὸν ὅλοι θὰ ὁμολογήσωσι ταῦτα. Ὁ Σωκράτης ὁμολογεῖ, ὅτι τὰ ὑπὸ τοῦ Πώλου λεγόμενα κρατοῦσιν ἐν τῇ δημοσίᾳ γνώμῃ.

7. Ὁ Σωκράτης λαμβάνει παραδείγματα ἐκ τῶν ἐπιφανεστάτων οἴκων τῶν Ἀθηνῶν, ὅπως δείξῃ, ὅτι καὶ οἱ λόγοι τούτων δὲν ἰσχύουσι κατὰ τῆς ἀληθείας Μετὰ αὐστηρότητος κρίνει περὶ τοῦ χρηστοῦ πολιτευτοῦ, περὶ οὗ ὁ Θουκυδίδης λέγει· «Καὶ ὁ μὲν (Νικίας) τοιαύτῃ ἢ ὅτι ἐγγύτατα τούτων αἰτίᾳ ἐτεθράφει, ἥκιστα δὲ ἄξιος ὢν τῶν γε ἐπ' ἐμοῦ Ἑλλήνων ἐς τοῦτο δυστυχίας ἀφικέσθαι διὰ τὴν πᾶσαν ἐς ἀρετὴν νενομισμένην ἐπιτήδευσιν.» Ἀλλ' ὁ Πλάτων δὲν ἔχει διάφορον γνώμην καὶ περὶ αὐτοῦ τοῦ Μιλτιάδου καὶ Κίμωνος 516Δ.

8. Τοῦτο μαρτυρεῖ καὶ ὁ Πλούταρχος ἐν βίῳ κεφ. III. Ε. «Εἱστήκει δὲ καὶ τῶν ἀναθημάτων αὐτοῦ καθ' ἡμᾶς τό τε παλλάδιον ἐν ἀκροπόλει τὴν χρύσωσιν ἀποβεβληκός, καὶ ὁ τοῖς χορηγικοῖς τρίπο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σίῳ,[1] ἐὰν δὲ βούλῃ, Ἀριστοκράτης[2] ὁ Σκελλίου, οὗ αὖ ἔστιν ἐν Πυθοῖ[3] τοῦτο τὸ καλὸν ἀνάθημα, ἐὰν δὲ βούλῃ, ἡ Περικλέους[4] ἅλη οἰκία ἢ ἄλλη συγγένεια, ἥν τινα ἂν βούλῃ τῶν ἐνθένδε[5] ἐκλέξασθαι· ἀλλ' ἐγώ σοι εἰς ὢν οὐχ ὁμολογῶ· οὐ γάρ με σὺ ἀναγκάζεις,[6] ἀλλὰ ψευδομάρτυρας πολλοὺς κατ' ἐμοῦ παρασχόμενος ἐπιχειρεῖς ἐκβάλλειν με ἐκ τῆς οὐσίας[7] καὶ τοῦ B

σιν ὑποκείμενος ἐν Διονύσου νεώς.

Ὁ Νικίας ἦτο πλούσιος καὶ τοὺς τιμητικοὺς τρίποδας ἔλαβεν ἕνεκα τῶν χορηγιῶν αὐτοῦ.

1. Τὸ ἱερὸν τοῦ Διονύσου ἔκειτο ἐν τῇ ἀνατολικομεσημβρινῇ πλευρᾷ τῆς Ἀκροπόλεως, ἔνθα καὶ τὸ θέατρον.

2. Ὡς ὁ Νικίας ἀνῆκεν εἰς τοὺς μετρίους ἀριστοκρατικούς, οὕτως ὁ Ἀριστοκράτης ἦτο ἄκρος ὀλιγαρχικὸς (Θουκυδ. VIII, 89) καὶ ὡς τοιοῦτον διακωμῳδεῖ ὁ Ἀριστοφάνης ἐν Ὄρνισι, 125.

Ἀριστοκρατεῖσθαι δῆλος εἶ ζητῶν.
Εὔελ. Ἐγώ; ἥκιστα· καὶ τὸν Σκελλίου βδελύττομαι.

Οὗτος στρατηγὸς ὢν τῆς ἐν Ἀργινούσαις ναυμαχίας κατεδικάσθη εἰς θάνατον, Ξενοφ. Ἑλλην. I, 7. Ὁ Σωκράτης ὁμιλεῖ περὶ ἀμφοτέρων, ὡσεὶ οὗτοι ὑπῆρχον ἐν τῇ ζωῇ ἐν ἐποχῇ, καθ' ἣν ὁ διάλογος ἐγένετο. Ὅρα Εἰσαγωγ. σελ. 111.

3. Δηλαδὴ ἐν τῷ ἱερῷ τοῦ Πυθίου Ἀπόλλωνος, περὶ οὗ ὁ Φώτιος καὶ ὁ Σουΐδας λέγουσι· «Πύθιον ἱερὸν Ἀπόλλωνος Ἀθήνησιν ὑπὸ Πεισιστράτου γεγονός, εἰς ὃ τοὺς τρίποδας ἐτίθεσαν οἱ τῷ κυκλίῳ χορῷ νικήσαντες τὰ θαργήλια.» Ὀνομάζει δὲ τὰ ἀναθήματα, τὸν πλοῦτον καὶ τὴν δύναμιν, διότι τούτοις ἐπίστευον οἱ δικασταί, ὡς παρατηρεῖ ὁ Σχολιαστής.

4. Δὲν ὀνομάζει αὐτὸν τὸν Περικλέα, διότι οὗτος εἶχε τελευτήσει περὶ τὰς ἀρχὰς τοῦ Πελοποννησιακοῦ πολέμου. Ἴσως διὰ τῶν τριῶν ὀνομάτων τοῦ Νικίου, τοῦ Ἀριστοκράτους καὶ τῆς οἰκίας τοῦ Περικλέους ἠθέλησε νὰ δηλώσῃ τοὺς ἀριστοκρατικούς, τοὺς ὀλιγαρχικοὺς καὶ τοὺς δημοκρατικούς.

5 Τὰ μὲν πλεῖστα χειρόγραφα ἔχουσιν ἐνθάδε, τὸ δὲ ἄριστον ἐνθένδε. Οἱ κριτικοὶ διαιροῦνται, ἄλλοι μὲν ἐκεῖνο, ἄλλοι δὲ τοῦτο δεχόμενοι. Οἱ ἀρχαῖοι συνήθως μετάχειρίζονται προσδιορισμὸν δηλοῦντα τὴν ἀπὸ τόπου κίνησιν ἀντὶ τῆς ἐν τόπῳ στάσεως, ὡς ἐν Λάχητ. 184. Α. «τοτ' ἤδη καὶ οἱ ἐκ τῆς τριήρους» καὶ Ξενοφ. ἐν Ἑλλην. VI, 2, 17 «κατιδόντες δὲ ἀπὸ τῶν πύργων οἱ ἐκ τῆς πόλεως». Μετεχειρίσθη δὲ τὸν προσδιορισμὸν τοῦτον, διότι ἐν τοῖς ἔμπροσθεν εἶπεν, ὅτι οἱ μάρτυρες δύνανται νὰ ἦναι Ἀθηναῖοι καὶ ξένοι.

6. Δηλαδὴ πρὸς ὁμολογίαν δι' ἀναγκαστικῶν αἰτιῶν. Ὁ Σχολιαστής· «Ταῖς ἀποδεικτικαῖς πίστεσι πείθεις.»

7. Ἐπειδὴ ἡ μεταφορὰ γίνεται ἐκ τῶν δικαστηρίων, μετεχειρίσθη

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀληθοῦς. ἐγὼ δὲ ἂν μὴ σὲ αὐτὸν ἕνα ὄντα μάρτυρα παράσχωμαι ὁμολογοῦντα περὶ ὧν λέγω, οὐδὲν οἶμαι ἄξιον λόγου μοι πε-
C περάνθαι περὶ ὧν ἂν ἡμῖν ὁ λόγος ᾖ· οἶμαι δὲ οὐδὲ σοί,[1] ἐὰν μὴ ἐγώ σοι μαρτυρῶ εἷς ὢν μόνος, τοὺς δ' ἄλλους πάντας τούτους[2] χαίρειν ἐᾶς. ἔστι μὲν οὖν οὗτός τις τρόπος ἐλέγχου,[3] ὡς σύ τε οἴει καὶ ἄλλοι πολλοί· ἔστι δὲ καὶ ἄλλος, ὃν ἐγὼ αὖ οἶμαι. παραβαλόντες οὖν παρ' ἀλλήλους σκεψώμεθα, εἴ τι διοίσουσιν ἀλλήλων. καὶ γὰρ τυγχάνει περὶ ὧν ἀμφισβητοῦμεν οὐ πάνυ σμικρὰ ὄντα, ἀλλὰ σχεδόν τι[4] ταῦτα, περὶ ὧν εἰδέναι τε κάλλιστον μὴ εἰδέναι τε[5] αἴσχιστον· τὸ γὰρ κεφάλαιον[6] αὐτῶν ἐστιν
D ἢ γιγνώσκειν ἢ ἀγνοεῖν, ὅστις τε εὐδαίμων ἐστὶ καὶ ὅστις μή. αὐτίκα[7] πρῶτον, περὶ οὗ νῦν ὁ λόγος ἐστί, σὺ ἡγεῖ οἷόν τε εἶναι μακάριον ἄνδρα ἀδικοῦντά τε καὶ ἄδικον ὄντα, εἴπερ Ἀρχέλαον ἄδικον μὲν ἡγεῖ εἶναι, εὐδαίμονα δέ· ἄλλο τι ὡς[8] οὕτω σοῦ νομίζοντος διανοώμεθα;

καὶ τὴν λέξιν ταύτην, ἥτις ἦτο ἐν χρήσει ἐν αὐτοῖς. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Οἱ ἐν τοῖς δικαστηρίοις τὰ χρήματα οὐσίαν φασί. Διὰ τοῦτο οὖν πρὸς ῥήτορα διαλεγόμενος οὕτως εἶπεν· ὅμως προσέθηκε καὶ τὴν προσήκουσαν αὐτῷ οὐσίαν, φημὶ δὲ τἀληθές.»

1. Ἀναπληρωτέον ἐκ τῶν ἡγουμένων διὰ τῆς φράσεως, ἄξιόν τι λόγου πεπεράνθαι.

2. Ἡ δεικτικὴ ἀντωνυμία κεῖται μετά τινος περιφρονήσεως, ὡς καὶ ἐν 452, Ε. «Ὁ δὲ χρηματιστὴς οὗτος ἄλλῳ ἀναφανήσεται χρηματιζόμενος.» Ἐνταῦθα γίνεται διαστολὴ τῆς διαλεκτικῆς ἀπὸ τῆς ῥητορικῆς ἀποδείξεως. Ὁ Σωκράτης μετεβίβασε τὸν κριτὴν τῆς ἀληθείας ἀπὸ τοῦ ἐξωτερικοῦ κόσμου εἰς τὸν λόγον. Ὅρα Εἰσαγωγ. εἰς Ἀπολογ. σελ. 40.

3. Τὸ τοιοῦτον ὁ Σωκράτης δὲν θεωρεῖ ὡς τρόπον ἐλέγχου, ἀλλὰ μᾶλλον ὡς ἀποφυγήν.

4. Τὸ σχεδὸν ἐνταῦθα δὲν ἐξασθενίζει τὴν ἔννοιαν, ἀλλὰ πραΰνει μόνον ὀλίγον τὴν ἔκφρασιν.

5. Τὸ εἰδέναι μετὰ τοῦ ἀρνητικοῦ μορίου ἀποτελεῖ μίαν μόνην ἔννοιαν (ἀγνοεῖν)· τούτου ἕνεκα καὶ ὁ τὲ ἕπεται.

6. Τοῦτο εἶναι τὸ μέγα ζήτημα, Πῶς βιωτέον; ὅπερ εἶναι ἡ κυρία τοῦ διαλόγου ἰδέα.

7. Τὸ αὐτίκα ἐνταῦθα ἐτέθη ἐπὶ παραδείγματος· διὰ νὰ ἀναφέρω παρευθὺς ἓν παράδειγμα, ὡς καὶ ἐν Πρωταγόρ. 359, Α. «Πᾶν τοὐναντίον ἐστὶν ἐπὶ ἃ οἵ τε δειλοὶ ἔρχονται καὶ οἱ ἀνδρεῖοι. Αὐτίκα εἰς τὸν πόλεμον οἱ μὲν ἐθέλουσιν ἰέναι, οἱ δὲ οὐκ ἐθέλουσιν.»

8. Συχνάκις τὸ ὡς τίθεται μετὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Πάνυ γε.

XXVIII. ΣΩ. Ἐγὼ δέ φημι ἀδύνατον. ἓν[1] μὲν τουτὶ ἀμφισβητοῦμεν. εἶεν· ἀδικῶν δὲ δὴ εὐδαίμων ἔσται ἄρ', ἂν τυγχάνῃ δίκης[2] τε καὶ τιμωρίας;

ΠΩΛ. Ἥκιστά γε, ἐπεὶ οὕτω[3] γ' ἂν ἀθλιώτατος εἴη.

ΣΩ. Ἀλλ' ἐὰν ἄρα μὴ τυγχάνῃ δίκης ὁ ἀδικῶν, κατὰ τὸν σὸν λόγον εὐδαίμων ἔσται; Ε

ΠΩΛ. Φημί.

ΣΩ. Κατὰ δέ γε τὴν ἐμὴν δόξαν, ὦ Πῶλε, ὁ ἀδικῶν τε καὶ ὁ ἄδικος πάντως μὲν ἄθλιος, ἀθλιώτερος μέντοι, ἐὰν μὴ διδῷ δίκην μηδὲ τυγχάνῃ τιμωρίας ἀδικῶν, ἧττον δὲ ἄθλιος, ἐὰν διδῷ δίκην καὶ τυγχάνῃ δίκης[4] ὑπὸ θεῶν τε καὶ ἀνθρώπων.

ΠΩΛ. Ἄτοπά γε, ὦ Σώκρατες, ἐπιχειρεῖς λέγειν. 473

ΣΩ. Πειράσομαι δέ γε καὶ σὲ ποιῆσαι, ὦ ἑταῖρε, ταὐτά[5] ἐμοὶ λέγειν· φίλον[6] γάρ σε ἡγοῦμαι. νῦν μὲν οὖν ἃ διαφερόμεθα ταῦτ'

μετοχῆς ἐπὶ τῶν ῥημάτων εἰδέναι, νοεῖν, διακεῖσθαι τὴν γνώμην, ἔχειν γνώμην, διανοεῖσθαι καὶ τῶν τοιούτων, ὡς Ἡρόδοτ. I, 91. «Τοῦτο ἐπιστάσθω Κροῖσος ὡς ὕστερον τοῖσι ἔτεσι τούτοισι ἄλοὺς τῆς περπρωμένης.» Σοφοκλ. ἐν Αἴαντι 281. «Ὡς ὧδ' ἐχόντων τῶνδ' ἐπίστασθαί σε χρή.»

1. Τὸ ἓν τοῦτο περιέχει πολλὰ ζητήματα.

2. Τὸ μὲν δίκη δηλοῖ γενικῶς τὴν ἱκανοποίησιν τοῦ προσβληθέντος νόμου, κατάστασιν τοῦ δικαίου, τὸ δὲ τιμωρία τὴν ἐπανόρθωσιν τῆς βλάβης τῆς γενομένης τῷ προσώπῳ ἢ τῇ πολιτείᾳ. Κατὰ τὸν Ἀριστοτέλη ἡ τιμωρία διαφέρει τῆς κολάσεως, Ῥητορικ. I, 10. «Ἡ μὲν γὰρ κόλασις τοῦ πάσχοντος ἕνεκά ἐστιν, ἡ δὲ τιμωρία τοῦ ποιοῦντος.»

3 Συχνάκις τὰ ἐπιρρήματα οὕτω καὶ ἐκεῖνος ἀντιπροσωπεύουσιν ὑποθετικὸν λόγον, ὡς ἐνταῦθα τὸ ἂν δίκης καὶ τιμωρίας τυγχάνῃ, Θουκυδ. I, 77. «Ἐκεῖνος δ' οὐδ' ἂν οὗτοι ἀντέλεγον ὡς οὐ χρεὼν τὸν ἧσσω τῷ κρατοῦντι ὑποχωρεῖν», ἔνθα τὸ ἐκεῖνος ἀντιπροσωπεύει τὴν ὑποθετικὴν πρότασιν. «Εἰ ἀπὸ τῆς πρώτης ἀποθέμενοι τὸν νόμον φανερῶς ἐπλεονεκτοῦμεν.»

4. Τὸ τυγχάνειν δίκης ἰσοδυναμεῖ πρὸς παθητικὸν καὶ ὡς τοιοῦτον δέχεται ποιητικὸν αἴτιον. Τὸ ἐνεργητικὸν εἶναι θεούς τε καὶ ἀνθρώπους λαμβάνειν δίκην.

5. Μετὰ λεπτότητος ὁ Σωκράτης ἀποκρίνεται εἰς τὴν ἀγροικίαν τοῦ Πώλου, λέγων, ὅτι θα προσπαθήσῃ, ὥστε καὶ ὁ σοφιστὴς νὰ φρονῇ τὰ αὐτά, δηλ. ἄτοπα.

6. Ἐν τῇ φράσει ταύτῃ συνέβη παρανόησις τῶν ἑρμηνευτῶν. Κατὰ τὸν Heindorf σημαίνει· νομίζω,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐστί· σκόπει δὲ καὶ σύ· εἶπον ἐγώ που ἐν τοῖς ἔμπροσθεν τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον εἶναι.

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Σὺ δὲ τὸ ἀδικεῖσθαι.

ΠΩΛ. Ναί.

ΣΩ. Καὶ τοὺς ἀδικοῦντας ἀθλίους ἔφην εἶναι ἐγώ, καὶ ἐξηλέγχθην[1] ὑπὸ σοῦ.

ΠΩΛ. Ναὶ μὰ Δία[2].

B ΣΩ. Ὡς σύ γε οἴει, ὦ Πῶλε.

ΠΩΛ. Ἀληθῆ γε οἰόμενος ἴσως[3]

ΣΩ. Σὺ δέ γε εὐδαίμονας αὖ τοὺς ἀδικοῦντας, ἐὰν μὴ διδῶσι δίκην.

ΠΩΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Ἐγὼ δὲ αὐτοὺς ἀθλιωτάτους φημί, τοὺς δὲ διδόντας δίκην ἧττον. βούλει καὶ τοῦτο ἐλέγχειν;

ΠΩΛ. Ἀλλ' ἔτι τοῦτ' ἐκείνου χαλεπώτερόν[4] ἐστιν, ὦ Σώκρατες, ἐξελέγξαι.

ΣΩ. Οὐ δῆτα, ὦ Πῶλε, ἀλλ' ἀδύνατον· τὸ γὰρ ἀληθὲς οὐδέποτε ἐλέγχεται.

ὅτι εἶσαι φίλος μου, ὥστε ἐλπίζω, ὅτι ἀσμένως θέλεις ἀκούσει τὸν λόγον μου. Ὁ δὲ Deuschle παρατηρεῖ, ὅτι τὸ ταὐτὰ λέγειν (καὶ φρονεῖν) εἶναι τεκμήριον φιλίας, ὡς τὸ διαφέρεσθαι ἔχθρας. Ἀλλ' ὀρθότερον ἑρμηνεύει ὁ Münscher· θέλει πειραθῇ, διότι τοῦτο ὀφείλει πρὸς φίλον. Ὁ ἔλεγχος, ὃν ὁ Σωκράτης ποιεῖ, εἶναι τεκμήριον φιλίας κατὰ τὴν γνώμην τοῦ φιλοσόφου 470 C «ἀλλὰ μὴ κάμῃς φίλον ἄνδρα εὐεργετῶν, ἀλλ' ἔλεγχε».

1. Δηλαδὴ διὰ τοῦ κακοῦ τρόπου τοῦ ἐλέγχου, ἤτοι διὰ τῶν ψευδομαρτύρων.

2. Ἡ διαβεβαίωσις αὕτη τοῦ Πώλου εἶναι ὀλίγον κωμική, διότι ὁ Σωκράτης ἀπεκρίθη, ὅτι οἱ ψευδομάρτυρες δὲν δύνανται νὰ ἀποδείξωσι τὸ ἀληθές. Καὶ μετ' ὀλίγα ταῦτα ὁ Πῶλος διαβεβαιοῖ, ὅτι ἐξήλεγξε τὸν Σωκράτη.

3. Ἐπειδὴ τοιαύτη μετριότης ἐκφράσεως δὲν ἁρμόζει εἰς τὸ στόμα τοῦ Πώλου, πρέπει νὰ ληφθῇ ὡς σχῆμα λιτότητος.

4. Τοῦτο λέγει εἰρωνικῶς ὁ σοφιστής, ὡς καὶ 470, C. «Χαλεπὸν γέ σε ἐλέγξαι, ὦ Σώκρατες· ἀλλ' οὐχὶ κἂν παῖς σε ἐλέγξειεν, ὅτι οὐκ ἀληθῆ λέγεις;»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Πῶς λέγεις;[1] ἐὰν ἀδικῶν ἄνθρωπος ληφθῇ τυραννίδι[2] C
ἐπιβουλεύων, καὶ ληφθεὶς[3] στρεβλῶται[4] καὶ ἐκτέμνηται καὶ τοὺς
ὀφθαλμοὺς ἐκκάηται,[5] καὶ ἄλλας πολλὰς καὶ μεγάλας καὶ παν-
τοδαπὰς λώβας αὐτός τε λωβηθεὶς καὶ τοὺς αὑτοῦ ἐπιδὼν[6] παῖ-
δάς τε καὶ γυναῖκα τὸ ἔσχατον ἀνασταυρωθῇ ἢ καταπιττωθῇ,[7]
οὗτος εὐδαιμονέστερος[8] ἔσται, ἢ ἐὰν διαφυγὼν τύραννος κατα-

1. Ἔκφρασις θαυμασμοῦ δι' ἀπροσδόκητον λόγον, οἷα τὰ ὁμηρικά, ποῖον τὸν μῦθον ἔειπες, Ἰλιάδ. Α. 552, «ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων», Ἰλιάδ Β. 350.

2. Τὸ αἰώνιον ὄνειρον τῶν μαθητῶν τοῦ Γοργίου, ὡς ἐν τῇ Εἰσαγωγῇ εἴπομεν, ἦτο ἡ τυραννία.

3. Ἰσοδυναμεῖ πρὸς τὸ καταληφθείς, ὡς Δημοσθ. κατὰ Ἀριστοκράτ. σελ. 721, 20. «Ἐπειδὴ τοὺς νόμους κακουργῶν εἵληπται.»

4. Ὁ σοφιστὴς πειρᾶται νὰ εἰκονίσῃ τὴν κόλασιν ἐν τῇ φοβερᾷ αὐτῆς μορφῇ καὶ οὕτω ποιήσῃ ἀντίθεσιν πρὸς τὴν διαφυγὴν ταύτης, ἣν εἰκονίζει διὰ τῶν λαμπροτέρων χρωμάτων. Ὁ Πλάτων καὶ ἐν τῇ Πολιτ. ΙΙ, 361, Ε, περιγράφει τοιαύτας φοβερὰς κολάσεις. «Ὅτι οὕτω διακείμενος ὁ δίκαιος μαστιγώσεται, στρεβλώσεται, δεδήσεται, ἐκκαυθήσεται τὼφθαλμώ, τελευτῶν πάντα κακὰ παθὼν ἀνασχινδυλευθήσεται, καὶ γνώσεται, ὅτι οὐκ εἶναι δίκαιον, ἀλλὰ δοκεῖν δεῖ ἐθέλειν.»

5. Ὁ μαθητὴς τοῦ Γοργίου ποιεῖται χρῆσιν τῶν ὁμοιοτελεύτων τοῦ διδασκάλου, ὅπως καὶ διὰ τῆς ἰδίας τέχνης ἐκπλήξῃ τὸν φιλόσοφον.

6. Ἐννοεῖται τὸ λωβηθέντας.

7. Καταπιττόω σημαίνει ἀλείφω διὰ πίσσης καὶ εἶτα καίω. Ἡ τοιαύτη τιμωρία εἶναι ἐζητημένη, σπανιώτατα δὲ ἐγένετο ἐν ἑλληνικαῖς πολιτείαις καὶ οὐδέποτε ὡρίσθη διὰ νόμου. Ὁπότε δὲ ἐξετελέσθησαν τοιαῦται τιμωρίαι, τοῦτο ὑπηγόρευσε στιγμιαῖον πάθος. Ὁ Cornarius ἠθέλησε νὰ μεταβάλῃ τὸ ῥῆμα εἰς καταποντωθῇ. Φαίνεται, ὅτι εἶχεν ὑπ' ὄψει τὸν Πλούταρχον ἐν βίῳ Τιμολ. σελ. 242. «Καὶ γὰρ υἱῶν ἐνηλίκων θανάτους καὶ θυγατέρων καταπορνεύσεις παρθένων ἐπεῖδε καὶ τὴν αὑτὴν ἀδελφὴν καὶ γυναῖκα... ἀποθανοῦσαν μετὰ τῶν τέκνων καὶ καταποντισθεῖσαν εἰς τὸ πέλαγος.»

8. Τὰ πλεῖστα καὶ ἄριστα χειρόγραφα ἔχουσιν εὐδαιμονέστατος, ὅπερ ὑποστηρίζει ὁ Wohlrab θεωρῶν τὸν ἑπόμενον ἢ οὐχὶ ὡς συγκριτικόν, ἀλλ' ὡς διαζευτικόν. Τὰ χειρόγραφα εἶναι σεβαστά, ἀλλ' ὁ Cron ἀμφιβάλλει· διότι τὰ ἐνταῦθα λεγόμενα εἶναι ἀπόκρισις εἰς τὴν φράσιν τοῦ Σωκράτους· Ἐγὼ δὲ αὐτοὺς ἀθλιωτάτους φημί, τοὺς δὲ διδόντας δίκην ἧττον. Λοιπὸν πρὸς τὸ ἧττον ἀθλίους ἀντιστοιχεῖ ἐνταῦθα τὸ εὐδαιμονέστερος. Ἂν δὲ προτιμήσῃ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στῇ καὶ ἄρχων ἐν τῇ πόλει διαβιῷ ποιῶν ὅ τι ἂν βούληται,[1] ζη-
D λωτὸς ὢν καὶ εὐδαιμονιζόμενος ὑπὸ τῶν πολιτῶν καὶ τῶν ἄλ-
λων[2] ξένων; ταῦτα[3] λέγεις ἀδύνατον εἶναι ἐξελέγχειν;

XXIX. ΣΩ. Μορμολύττει[4] αὖ[5], ὦ γενναῖε[6] Πῶλε, καὶ οὐκ ἐλέγχεις· ἄρτι δὲ ἐμαρτύρου.[7] ὅμως δὲ[8] ὑπόμνησόν με σμικρόν· ἐὰν[9] ἀδίκως ἐπιβουλεύων τυραννίδι, εἶπες;

σωμεν τὸ ὑπερθετικόν, πρέπει ἐκεῖ νὰ συμπληρώσωμεν διὰ τοῦ ἀθλιωτάτους. Εἰς τὸ ἑπόμενον διαφυγών ἐννοεῖται τὸ δίκην.

1. Τὴν διαφοράν τοῦ δοκεῖν καὶ βούλεσθαι, περὶ ἧς ἐγένετο λόγος ἐν τοῖς ἔμπροσθεν, ἐλησμόνησε πάλιν ὁ Πῶλος.

2. Κατὰ τὸν Hirschig τὸ ἄλλων πρέπει νὰ ἐξαλειφθῇ, ἂν μὴ γραφῇ, ὑπὸ τῶν ξένων καὶ τῶν ἄλλων πολιτῶν. Ταῦτα δὲν εἶναι ὀρθά· διότι οἱ ἀρχαῖοι θέτουσι τὸ ἄλλος, ἐν ᾧ τὸ προηγούμενον δὲν ἀνήκει εἰς τὸ αὐτὸ εἶδος, ὡς Πλάτ. ἐν Φαίδ. 110, Ε. «Καὶ λίθοις καὶ γῇ καὶ τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς.» καὶ ἐν Ἀπολογ. 36, Β.

3. Ὁ Πῶλος εἰκονίζεται θριαμβεύων, ὡσεὶ ὁ Σωκράτης ταῦτα ἔλεγεν.

4. Εὐφυέστατα ὁ Σωκράτης τὰς φοβερὰς ταύτας ὑπερβολὰς παραβάλλει πρὸς τὰ μορμολύκεια, δι' ὧν ἐφόβιζον τοὺς παῖδας. Ὅρα Πλάτων. ἐν Κρίτωνι 46, C. Ὁ δὲ Σχολιαστὴς παρατηρεῖ· «Μορμολύττῃ, φοβεῖς· παρῆκται δὲ τὸ ῥῆμα ἀπὸ τῶν προσωπείων τῶν ἐν ταῖς τραγῳδίαις ὑποκριτῶν, ἃ ἐκάλουν μορμολύκεια, Δωριεῖς δὲ Γόργια. Τούτοις δὲ καὶ αἱ γυναῖκες τὰ παιδία φοβοῦσιν.» Ὁ Κορα-
ῆς παράγει ἐκ Μορμολύκης τῆς τιθηνης Ἀχέροντος καὶ παραβάλλει πρὸς τοὺς βορβόλακας.

5. Τὸ πρῶτον μορμολύκειον ἦτο ἡ δημοσία γνώμη.

6. Ὁ Σωκράτης ἐκ προθέσεως ἐξελέξατο τὸ ἐπίθετον τοῦτο, διότι ὁ τρόπος τοῦ ἐλέγχου τοῦ Πώλου εἶναι ἀγενής.

7. Μάρτυρας παρασχὼν ἐπειρᾶσο νὰ ἐλέγξῃς. Ὁ Heindorf ἐζήτει τὴν σειρὰν τῶν λέξεων οὕτωσί· ἄρτι ἐμαρτύρου, νῦν δ' αὖ μορμολύττει.

8. Ὁ Σωκράτης γινώσκει, ὅτι διὰ τῶν τοιούτων οὐδὲν λέγεται, ὅμως θέλει νὰ ἐλέγξῃ διαλεκτικῶς.

9. Ὁ Schleiermacher διορθοῖ τὸ χωρίον εἰς, εἰ ἐὰν ἀδίκως. Ὁ δὲ Κοραῆς ὀρθῶς παρατηρεῖ· «Εἰσὶν οἳ γράφειν παρήνεσαν, Εἰ ἐάν, ἵν' ᾖ ὁ νοῦς, ὑπόμνησόν με σμικρὸν εἰ εἶπες, Ἐὰν ἀδίκως ἐπιβουλεύων τυραννίδι· ἄλλως γὰρ ἂν ἐσχάτως σόλοικος εἴη ἡ μετὰ τοῦ ὁριστικοῦ σύνταξις τοῦ Ἐάν. Ἔστι μέντοι καὶ μηδὲν μετακινοῦντα τὴν γραφήν, μόνῃ τῇ ἐρωτηματικῇ στίξει θεραπεῦσαι, τὸ δοκοῦν σόλοικον, «Ὑπόμνησόν με ἐὰν ἀδίκως ἐπιβουλεύων τραννίδι εἶπες;» τουτέστιν ὑπόμνησόν με σμικρόν, ἤκουσά σου λέγοντος, ἐὰν ἀδίκως

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Εὐδαιμονέστερος μὲν τοίνυν οὐδέποτε ἔσται οὐδέτερος αὐτῶν, οὔτε ὁ κατειργασμένος τὴν τυραννίδα ἀδίκως οὔτε ὁ δίκην διδούς·[1] δυοῖν γὰρ ἀθλίοιν εὐδαιμονέστερος μὲν οὐκ ἂν εἴη· ἀθλιώτερος μέντοι ὁ διαφεύγων καὶ τυραννεύσας. τί τοῦτο, ὦ Πῶλε; γελᾷς;[2] ἄλλο αὖ[3] τοῦτο εἶδος ἐλέγχου ἐστίν· ἐπειδὰν τίς τι εἴπῃ Ε καταγελᾶν, ἐλέγχειν δὲ μή;

ΠΩΛ. Οὐκ οἴει ἐξεληλέγχθαι, ὦ Σώκρατες, ὅταν τοιαῦτα λέγῃς, ἃ[4] οὐδεὶς ἂν φήσειεν ἀνθρώπων; ἐπεὶ ἐροῦ τινα τουτωνί.[5]

ΣΩ. Ὦ Πῶλε, οὐκ εἰμὶ τῶν πολιτικῶν, καὶ πέρυσι[6] βουλεύειν λαχών, ἐπειδὴ ἡ φυλὴ ἐπρυτάνευε καὶ ἔδει με ἐπιψηφίζειν,[7] γέ-

ἐπιβουλεύων τυραννίδι; Τοῦτο γὰρ ἔλεγεν ἄρτι ὁ Πῶλος, «Ἐὰν ἀδικῶν ἄνθρωπος, ληφθῇ τυραννίδι ἐπιβουλεύων.»

1. Ἀντὶ τῆς φράσεως, ὁ δίκην διδούς, ὁ Vinckelmann τολμηρῶς ἀνέγνω ἁλούς, ὡς τολμηρῶς ἔγραψεν ὁ Hermann. Ὁ δὲ Schmidt εἰκάζει, οὔτε ὁ δίκην δούς. Ὁ ἐνεστὼς δὲν παρέχει δυσκολίαν, διότι καὶ μετ' ὀλίγον λέγει διαφεύγων.

2. Ἀφ' οὗ διὰ τοῦ φόβου δὲν ἠδυνήθη ὁ σοφιστὴς νὰ ἐκπλήξῃ τὸν φιλόσοφον, τρέπεται ἀκαίρως εἰς γέλωτα ἐφαρμόζων τὴν ἐντολὴν τοῦ διδασκάλου, ὡς παρατηρεῖ ὁ Σχολιαστής· «Τοῦτο παράγγελμα Γοργίου, τὸ τὰς σπουδὰς τῶν ἀντιδίκων γέλωτι ἐκλύειν· τὰ δὲ γελοῖα ταῖς σπουδαῖς ἐκκρούειν.» Τοῦτο παραδίδει καὶ ὁ Ἀριστοτέλης III, 18. «Δεῖν ἔφη Γοργίας τὴν μὲν σπουδὴν διαφθείρειν τῶν ἐναντίων γέλωτι, τὸν δὲ γέλωτα σπουδῇ.»

3. Τὸ τρίτον ῥητορικὸν σχῆμα σκοπεῖ, ὅπως τὸν ἀνταγωνιστὴν καταστήσῃ γελοῖον. Ἀλλ' οὕτω προσβάλλεται ἴσως τὸ πρόσωπον, δὲν ἐμπεδοῦται ὅμως ἡ ἀλήθεια.

4. Ἡ ἀντωνυμία τῆς οὐσίας κεῖται ἀντὶ τῆς ποιότητος, ὡς καὶ παρὰ Ἰσοκράτ. Περὶ Ἀντιδόσ. σελ. 230. C. «Εἰ μὴ τοιούτοις, οἷς οὐδεὶς ἄλλος.» καὶ Εὐριπίδ. ἐν Ἱκέτισ. 737.

5. Ὁ σοφιστὴς δεικνύει τοὺς ἐν τῇ αἰθούσῃ ἀκροατάς. Ὅρα Εἰσαγωγ. σελ. 109. Ἐπειδὴ δὲ τὸ ἐρωτᾶν τοὺς παρόντας ὑπομιμνήσκει τὰ ἐν τῇ ἐκκλησίᾳ γινόμενα, ἐν ᾗ οἱ ἐκκλησιασταὶ ἠρωτῶντο περὶ τῶν ἑκάστοτε ζητημάτων, ὁ φιλόσοφος ἐλέγχει, ὅτι καὶ ἡ ῥητορικὴ μέθοδος εἶναι κακὴ καὶ ὁ ἐν τῇ ἐκκλησίᾳ συνήθης τρόπος ἀνεπαρκής.

6. Περὶ τῆς χρονολογικῆς ἀντιφάσεως, ὅρα εἰσαγωγῆς σελ. 112.

7. Ὁ Σωκράτης ὑπαινίσσεται ἐνταῦθα τὴν πολυθρύλητον δίκην, καθ' ἣν κατὰ τὸ 406 π. χ. ἐδικάζοντο οἱ ἐν Ἀργινούσαις νικήσαν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

474 λωτα παρεῖχον καὶ οὐκ ἠπιστάμην[1] ἐπιψηφίζειν. μὴ οὖν μηδὲ νῦν με κέλευε ἐπιψηφίζειν τοὺς παρόντας, ἀλλ' εἰ μὴ ἔχεις τούτων[2] βελτίω ἔλεγχον, ὅπερ νῦν δὴ ἐγὼ ἔλεγον, ἐμοὶ ἐν τῷ μέρει παράδος,[3] καὶ πείρασαι τοῦ ἐλέγχου, οἷον ἐγὼ οἶμαι δεῖν εἶναι. ἐγὼ γὰρ ὧν ἂν λέγω ἕνα μὲν παρασχέσθαι μάρτυρα ἐπίσταμαι, αὐτὸν πρὸς ὃν ἂν μοι ὁ λόγος ᾖ, τοὺς δὲ πολλοὺς ἐῶ χαίρειν, καὶ
B ἕνα ἐπιψηφίζειν[4] ἐπίσταμαι, τοῖς δὲ πολλοῖς οὐδὲ διαλέγομαι. ὅρα οὖν, εἰ ἐθελήσεις ἐν τῷ μέρει διδόναι ἔλεγχον ἀποκρινόμενος τὰ ἐρωτώμενα. ἐγὼ γὰρ δὴ οἶμαι καὶ ἐμὲ καὶ σὲ[5] καὶ τοὺς ἄλλους ἀνθρώπους τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον ἡγεῖσθαι καὶ τὸ μὴ διδόναι δίκην τοῦ διδόναι.

ΠΩΛ. Ἐγὼ δέ γε οὔτ' ἐμὲ οὔτ' ἄλλον ἀνθρώπων οὐδένα. ἐπεὶ σὺ δέξαι' ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν;[6]

τες στρατηγοί. Περὶ ταύτης ἀκριβέστερον λέγει ἐν τῇ Ἀπολογίᾳ, 32, Β. «Καὶ ἔτυχεν ἡμῶν ἡ φυλὴ Ἀντιοχὶς πρυτανεύουσα, ὅτε ὑμεῖς τοὺς δέκα στρατηγοὺς τοὺς οὐκ ἀνελομένους τοὺς ἐκ τῆς ναυμαχίας ἐβούλεσθε ἀθρόους κρίνειν, παρανόμως, ὡς ἐν τῷ ὑστέρῳ χρόνῳ πᾶσιν ὑμῖν ἔδοξε. Τότ' ἐγὼ μόνος τῶν πρυτάνεων ἠναντιώθην μηδὲν ποιεῖν παρὰ τοὺς νόμους...» Παράβαλλ. Ξενοφ. ἐν Ἑλλην. I, 7 καὶ Διόδ. Σικελ. XIII, 101 — 103. Ἐπιψηφίζω σημαίνει θέτω ζήτημά τι εἰς ψήφισιν, Θουκυδίδ. I, 87.

1. Ὁ Ἀθήναιος ἀνέγνω ἠδυνάμην V, 217. «καὶ οὐκ ἠδυνάμην ἐπιψηφίσαι. Τοῦτο ὁ Σωκράτης οὐ κατὰ ἀδυναμίαν ἐποίησεν, ἀλλὰ μᾶλλον κατὰ ἀνδραγαθίαν». Αἱ ἑπόμεναι ὅμως φράσεις μαρτυροῦσιν, ὅτι ἐνταῦθα ὁ Πλάτων ἔγραψεν ἐπίστασθαι καὶ οὐχὶ δύνασθαι. Κατὰ τὸν Naber ἡ φράσις, καὶ οὐκ ἠπιστάμην ἐπιψηφίζειν, εἶναι μεταγενεστέρα προσθήκη. Γίνεται μὲν ἐπανάληψις τῆς φράσεως, ἀλλ' ἦτο ἀνάγκη. Οἱ ἑρμηνευταὶ λέγουσιν, ὅτι ὁ Σωκράτης εἰρωνεύεται. Ἐγίνωσκε ἀλλὰ δὲν ἤθελε νὰ θέσῃ τὸ ζήτημα εἰς διαψήφισιν παρὰ τοὺς νόμους. Φαίνεται δέ, ὅτι τὸ πλῆθος ἐπίστευσεν, ὅτι ὁ φιλόσοφος δὲν ἐγίνωσκε τὰ καθήκοντα τοῦ πρυτάνεως.

2. Δηλαδὴ τῶν διαφόρων τρόπων τοῦ ἐλέγχου, οὓς μέχρι τοῦδε μετεχειρίσθη ὁ Πῶλος.

3. Ἐννόησον τὸν ἔλεγχον.

4. Μετήνεγκε τὸ ῥῆμα ἐκ τῆς ἐκκλησίας εἰς τὸν διάλογον.

5. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Κατὰ τὰς κοινὰς καὶ ἀληθεῖς ἐννοίας δηλονότι.»

6. Ὁ Πῶλος ἔτι ἀμφιβάλλει, ἂν ὁ Σωκράτης πρατιμᾷ τὸ ἀδικεῖσθαι· τρόπον τινὰ θέτει τοῦτο ὡς ζήτημα συνειδήσεως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Καὶ σὺ γ' ἂν καὶ οἱ ἄλλοι πάντες.

ΠΩΛ. Πολλοῦ γε δεῖ,[1] ἀλλ' οὔτ' ἐγὼ οὔτε σὺ οὔτ' ἄλλος οὐδείς.

ΣΩ. Οὐκοῦν ἀποκρινεῖ; C

ΠΩΛ. Πάνυ μὲν οὖν· καὶ γὰρ ἐπιθυμῶ[2] εἰδέναι ὅ τι ποτ' ἐρεῖς.

ΣΩ. Λέγε δή μοι, ἵν' εἰδῇς, ὥσπερ ἂν εἰ[3] ἐξ ἀρχῆς σε ἠρώτων. πότερον δοκεῖ σοι, ὦ Πῶλε, κάκιον εἶναι τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι;

ΠΩΛ. Τὸ ἀδικεῖσθαι ἔμοι γε.

ΣΩ. Τί δὲ δή αἴσχιον; πότερον τὸ ἀδικεῖν ἢ τὸ ἀδικεῖσθαι; ἀποκρίνου.[4]

ΠΩΛ. Τὸ ἀδικεῖν.[5]

XXX. ΣΩ. Οὐκοῦν καὶ κάκιον, εἴπερ αἴσχιον.[6]

1. Ἄρνησις μετ' ἐμφάσεως, ὡς καὶ ἐν Πρωταγόρ. 341, Δ. «Πολλοῦ γε δεῖ οὕτως ἔχειν.» καὶ ἐν Ἀπολογ. 35, «Ἀλλὰ πολλοῦ δεῖ οὕτως ἔχειν.»

2. Ἀμφιβάλλων ὁ Πῶλος, ἂν ὁ Σωκράτης δύναται νὰ εἴπῃ τι ὑπὲρ τῆς ἑαυτοῦ γνώμης, νομίζει, ὅτι μετ' ὀλίγον θέλει νικήσει. Διὰ τοῦτο καὶ ἐπιθυμεῖ νὰ ἀκούσῃ καὶ προθύμως ἀποκρίνεται.

3. Ἡ φράσις αὕτη προῆλθε κατὰ παράλειψιν τῆς ἀποδόσεως, εἰς ἣν ἀνήκει ὁ ἄν. Ἀλλαχοῦ ὅμως ὑπάρχει πλήρης ἡ φράσις, ὡς ἐν Φαίδων, 65, D. Δημοσθ. Περὶ Στεφάν. 293, 1. «Ὥσπερ ἂν εἴ τις ναύκληρος — τῆς ναυπηγίας αἰτιῷτο, ἀλλ' οὐδ' ἐκυβέρνων τὴν ναῦν, φήσειεν ἄν.»

4. Δὲν προβλέπει μὲν ὁ Πῶλος πάσας τὰς συνεπείας τὰς ἐκ τῆς ἀποκρίσεως ταύτης ἐξαγομένας, ἀλλὰ καὶ δὲν θέλει νὰ ὁμολογήσῃ ὅτι τὸ ἀδικεῖν, ὅπερ ὕμνησεν, εἶναι αἰσχρότερον τοῦ ἀδικεῖσθαι. Τούτου ἕνεκεν σιωπᾷ.

5. Ὁ Πῶλος ἀποκρίνεται κατὰ τὴν πεποίθησιν πάντων τῶν ἀνθρώπων, οἵτινες αἰσχύνονται νὰ ὁμολογήσωσιν, ὅτι ἀδικοῦσιν, ἐν Πρωταγόρ. 323, Β. «Ἐάν τινα καὶ εἰδῶσιν, ὅτι ἄδικός ἐστιν, ἐὰν οὗτος αὐτὸς καθ' αὑτοῦ τὰ ἀληθῆ λέγῃ ἐναντίον πολλῶν, ὃ ἐκεῖ σωφροσύνην ἡγοῦντο εἶναι, τἀληθῆ λέγειν, ἐνταῦθα μανίαν καὶ φασι πάντας δεῖν φάναι εἶναι δικαίους, ἐάν τε ὦσιν ἐάν τε μή, ἢ μαίνεσθαι τὸν μὴ προσποιούμενον δικαιοσύνην». Καὶ ὁ Καλλικλῆς ὁμολογεῖ, ὅτι κατὰ τὸν νόμον οὕτως ἔχει, ἀλλὰ τὸ ζήτημα πρέπει νὰ ἐξετασθῇ κατὰ τὸ φυσικὸν δίκαιον, καθ' ὃ τὸ βλαβερώτερον εἶναι καὶ αἰσχρότερον 483 Α. Ὁπωσδήποτε τοῦτο ὁμολογήσας ὁ Πῶλος περιφανῶς ἐλέγχεται.

6. Ἐν τῷ κεφαλαίῳ τούτῳ ὑπάρχει προαπόδειξις ἢ προσυλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Ἥκιστά γε.

ΣΩ. Μανθάνω· οὐ ταὐτὸν ἡγεῖ σύ, ὡς ἔοικας, καλόν τε καὶ
D ἀγαθὸν καὶ κακὸν καὶ αἰσχρόν.

ΠΩΛ. Οὐ δῆτα.

ΣΩ. Τί δὲ τόδε;[1] τὰ καλὰ πάντα, οἷον καὶ σώματα καὶ χρώματα καὶ σχήματα καὶ φωνὰς καὶ ἐπιτηδεύματα, εἰς οὐδὲν ἀποβλέπων[2] καλεῖς ἑκάστοτε καλά; οἷον πρῶτον τὰ σώματα τὰ καλὰ οὐχὶ ἤτοι κατὰ τὴν χρείαν[3] λέγεις καλὰ εἶναι, πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ, πρὸς τοῦτο, ἢ κατὰ ἡδονήν τινα, ἐὰν ἐν τῷ θεωρεῖσθαι χαίρειν ποιῇ τοὺς θεωροῦντας; ἔχεις τι ἐκτὸς τού-
E των[4] λέγειν περὶ σώματος κάλλους;

ΠΩΛ. Οὐκ ἔχω.

ΣΩ. Οὐκοῦν καὶ τἆλλα πάντα οὕτω καὶ σχήματα καὶ χρώματα ἢ διὰ ἡδονήν τινα ἢ διὰ ὠφέλειαν ἢ δι' ἀμφότερα καλὰ προσαγορεύεις;

ΠΩΛ. Ἔγωγε.

ΣΩ. Οὐ καὶ τὰς φωνὰς καὶ τὰ κατὰ τὴν μουσικὴν πάντα ὡσαύτως;

ΠΩΛ. Ναί.

ΣΩ. Καὶ μὴν[5] τά γε κατὰ τοὺς νόμους καὶ τὰ ἐπιτηδεύματα

λογισμὸς, ἐν ᾧ ὁ Σωκράτης ἀποδείκνυσιν, ὅτι τὸ αἰσχρὸν εἶναι τὸ αὐτὸ τῷ κακῷ. Τοῦτο γίνεται φανερὸν ἐκ τῆς ἀποδείξεως, ὅτι τὸ καλὸν (ἐν μέρει) ταὐτίζεται τῷ ἀγαθῷ. Ὅμως τὸ καλὸν ἔχει εὐρυτέραν ἔννοιαν τοῦ ἀγαθοῦ, διότι τὸ ἀγαθὸν ἐμφανίζεται ἐν τῇ μορφῇ τοῦ καλοῦ, ὅπερ καλὸν ὅμως δὲν περιέχει πάντοτε τὸ ἀγαθόν, ἀλλὰ ἐνίοτε μόνον τὸ ἡδύ. Παράβαλλ. εἰσαγωγ. σελ. 63. Ἐντεῦθεν σχηματίζεται ὁρισμὸς τοῦ καλοῦ ἐν τύπῳ διαζευκτικῆς κρίσεως.

1. Εἶναι αἰτιατικὴ κατὰ παράλειψιν τοῦ ῥήματος λέγεις, ὡς ἐν Φαίδων. 65D.

2. Μεταχειρίζεται τὸ ῥῆμα τοῦτο, ὅπως δηλώσῃ τὸ βλέμμα, ὅπερ ῥίπτει τις, ἵνα ἴδῃ τὰς διαφόρους ποιότητας ἢ ἰδιότητας τῶν ὄντων, ἐξ ὧν αἱ διαφοραί.

3. Καθ' ὅσον εἶναι χρήσιμα ἢ ὠφέλιμα εἰς τὸν προσήκοντα σκοπόν. Ὁ Ξενοφῶν λέγει, ὅτι κόφινος κοπροφόρος εἶναι καλὸν καὶ χρυσῆ ἀσπὶς αἰσχρόν. «Ἐὰν πρὸς τὰ ἑαυτῶν ἔργα ὁ μὲν καλῶς πεποιημένος ᾖ, ἡ δὲ κακῶς» ἐν Ἀπομν. III, 8, 6.

4. Τῶν εἰρημένων τρόπων τῆς ἐξετάσεως τοῦ καλοῦ.

5. Διὰ τοῦ καὶ μὴν γίνεται ἡ μετάβασις εἰς ἄλλας τάξεις τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐ δήπου ἐκτὸς τούτων ἐστὶ τὰ καλά,[1] τοῦ ἢ ὠφέλιμα εἶναι ἢ ἡδέα ἢ ἀμφότερα.

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ.

ΣΩ. Οὐκοῦν καὶ τὸ τῶν μαθημάτων κάλλος ὡσαύτως; 475

ΠΩΛ. Πάνυ γε· καὶ καλῶς γε νῦν ὁρίζει, ὦ Σώκρατες, ἡδονῇ τε καὶ ἀγαθῷ[2] ὁριζόμενος τὸ καλόν.

ΣΩ. Οὐκοῦν καὶ τὸ αἰσχρὸν[3] τῷ ἐναντίῳ, λύπῃ τε καὶ κακῷ;

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Ὅταν ἄρα δυοῖν καλοῖν θάτερον κάλλιον[4] ᾖ, τῷ ἑτέρῳ τούτοιν ἢ ἀμφοτέροις ὑπερβάλλον[5] κάλλιόν ἐστιν, ἤτοι ἡδονῇ ἢ ὠφελείᾳ ἢ ἀμφοτέροις.

ΠΩΛ. Πάνυ γε.

καλοῦ, δηλαδὴ εἰς ἀφῃρημένα, τοὺς νόμους, ἐπιτηδεύματα καὶ μαθήματα.

1. Ὁ Ast καὶ ὁ Findeisen ἀπεφάνθησαν, ὅτι τὸ ἄρθρον πρέπει νὰ ἐξαλειφθῇ. Τοῦτο δὲν ἐξαλείφει ὁ Heindorf, ἀλλὰ συντάσσει οὕτωσί· καὶ μὴν τὰ καλὰ τά γε κατὰ τοὺς νόμους καὶ τὰ ἐπιτηδεύματα κτλ. Τὴν σύνταξιν ὅμως ταύτην οὔτε ὁ Münscher οὔτε ὁ Stallbaum δέχεται, ὅστις θεωρεῖ τὸ καλὸν ὡς παράθεσιν τῶν ἡγουμένων. Καὶ τὸ ἑπόμενον ἄρθρον ὁ Hermann ἐξήλειψε, διότι θεωρεῖ ὡς νόθευμα γραμματικοῦ θέλοντος νὰ καταστήσῃ τὴν σύνταξιν σαφεστέραν. Ἀλλ' ὁ Stallbaum παρατηρεῖ, ὅτι ἡ σύνταξις ἄνευ τοῦ ἄρθρου δὲν ἔχει ὀρθῶς. Εἶναι μὲν μικρά τις δυσκολία, ὅτι ἐνίοτε ἀριθμὸς ἐπεξηγεῖ πληθυντικόν, ἀλλὰ παραπλήσιον ὑπάρχει ἐν Νόμ. VII, 816E «ἀλλ' αὐτῶν ἕνεκα τούτων καὶ μαθάνειν αὐτὰ δεῖ, τοῦ μήποτε δι' ἄγνοιαν ὀρᾷν ἢ λέγειν ὅσα γέλοια.»

2. Ὁ Πῶλος μὴ γινώσκων, τί ποιεῖ, ἀντικατέστησε τὸ ἀγαθὸν ἀντὶ τοῦ ὠφελίμου καὶ οὕτω δυσκολύνει τὴν ἀπόδειξιν τοῦ Σωκράτους.

3 Ἐννοητέον τό, καλῶς ὁρίζομαι ὁριζόμενος. Ἐπειδὴ τὸ αἰσχρὸν εἶναι τὸ ἀντίθετον τοῦ καλοῦ, ἔχει καὶ τὸν ἀντίθετον ὁρισμόν. Ὁ καὶ ὑπὸ πολλῶν ἐκδοτῶν ἐξαλείφεται, ἀλλ' ἀναγινώσκεται ἔν τινι καλῷ χειρογράφῳ καὶ διατηρεῖ τὴν σχέσιν πρὸς τὸν λόγον τοῦ Πώλου.

4 Ἐκεῖνο, ὅπερ ὡμολογήθη περὶ τῶν θετικῶν, λέγεται ἐνταῦθα καὶ περὶ τῶν συγκριτικῶν.

5. Οἱ διάφοροι βαθμοὶ τοῦ μεγέθους δηλοῦνται καὶ διὰ τῆς ὑπερβολῆς καὶ ἐλλείψεως (ῥηματικῶς ὑπερβάλλειν καὶ ἐλλείπειν) καὶ διὰ τῆς ὑπεροχῆς καὶ ἐνδείας. Ἐν τῷ μέσῳ κεῖται ἡ ἰσότης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Καὶ ὅταν δὲ δὴ δυοῖν αἰσχροῖν τὸ ἕτερον αἴσχιον ᾖ, ἤτοι
B λύπῃ ἢ κακῷ [ἢ ἀμφοτέροις][1] ὑπερβάλλον αἴσχιον ἔσται· ἢ οὐκ ἀνάγκη;

ΠΩΛ. Ναί.

ΣΩ. Φέρε δή,[2] πῶς ἐλέγετο νῦν δὴ περὶ τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι; οὐκ ἔλεγες τὸ μὲν ἀδικεῖσθαι κάκιον εἶναι, τὸ δὲ ἀδικεῖν αἴσχιον;

ΠΩΛ. Ἔλεγον.

ΣΩ. Οὐκοῦν εἴπερ αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, ἤτοι λυπηρότερόν ἐστι καὶ λύπῃ ὑπερβάλλον αἴσχιον ἂν εἴη ἢ κακῷ ἢ ἀμφοτέροις; οὐ καὶ τοῦτο ἀνάγκη;

ΠΩΛ. Πῶς γὰρ οὔ;

XXXI. ΣΩ. Πρῶτον μὲν δὴ σκεψώμεθα, ἆρα λύπῃ[3] ὑπερβάλλει τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι,[4] καὶ ἀλγοῦσι μᾶλλον οἱ ἀδικοῦν-
C τες ἢ οἱ ἀδικούμενοι;

ΠΩΛ. Οὐδαμῶς, ὦ Σώκρατες, τοῦτό γε.

ΣΩ. Οὐκ ἄρα λύπῃ γε ὑπερέχει.

ΠΩΛ. Οὐ δῆτα.

1. Τὴν φράσιν ταύτην παρέλειψαν οἱ ἀντιγραφεῖς τοῦ Πλάτωνος καὶ πάντες οἱ ἐκδόται δὲν διενοήθησαν, ὅπως προσθέσωσι, πλὴν τοῦ Hirschig, ὅστις ὀρθῶς ποιῶν προστίθησι ταύτην. Διότι ὁ Πλάτων εἶναι ἀκριβέστατος ἐν τῇ διαλεκτικῇ καὶ δὲν ἠδύνατο νὰ παραλείψῃ φράσιν, ἥτις ἤθελεν ἐλέγξει τὸν συλλογισμὸν αὐτοῦ ἡμαρτημένον. Ἡ φράσις ἢ ἀμφοτεροις εἶναι ἀναγκαῖος ὅρος ἐν ὁλοκλήρῳ τῷ συλλογισμῷ.

2 Ἀφ' οὗ ὁ Σωκράτης ὥρισε τὸ αἴσχιον, ἐφαρμόζει τὸν ὁρισμὸν ἐπὶ τοῦ ζητήματος, περὶ οὗ πρόκειται.

3. Ἐννοεῖ μόνον τοὺς ἐξωτερικοὺς πόνους, ὡς δεικνύει καὶ τὸ ῥῆμα ἀλγεῖν. Περὶ τύψεως τῆς συνειδήσεως καὶ τῆς ἐντεῦθεν γεννωμένης λύπης οὐδόλως δύναται νὰ γείνῃ λόγος ἐνταῦθα. Τὴν σειρὰν τοῦ συλλογισμοῦ ὅρα ἐν εἰσαγωγ. σελ 52.

4. Εἶναι ὁ δεύτερος ὅρος τῆς συγκρίσεως, διότι τὸ ὑπερβάλλειν ἔχει σημασίαν συγκριτικοῦ, ὡς καὶ Αἰσχύλ. ἐν Προμηθ. 930. «Ὅς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα, βροντῆς θ' ὑπερβάλλοντα καρτερὸν κτύπον.» καὶ Πλάτ. ἐν Νόμ. σελ. 734. «Ὑπερβαλλούσας ἐν μὲν τῷ σώφρονι βίῳ τὰς ἡδονὰς τῶν ἀχθηδόνων, ἐν δὲ τῷ ἀκολάστῳ τὰς λύπας τῶν ἡδονῶν μεγέθει καὶ πλήθει καὶ πυκνότητι.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Οὐκοῦν εἰ μὴ λύπῃ, ἀμφοτέροις μὲν οὐκ ἂν ἔτι[1] ὑπερβάλλοι.

ΠΩΛ. Οὐ φαίνεται.

ΣΩ. Οὐκοῦν τῷ ἑτέρῳ[2] λείπεται;

ΠΩΛ. Ναί.

ΣΩ. Τῷ κακῷ.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Οὐκοῦν κακῷ ὑπερβάλλον τὸ ἀδικεῖν κάκιον ἂν εἴη τοῦ ἀδικεῖσθαι.

ΠΩΛ. Δῆλον δὴ ὅτι.[3]

ΣΩ. Ἄλλο τι οὖν ὑπὸ μὲν τῶν πολλῶν[4] ἀνθρώπων καὶ ὑπὸ D
σοῦ ὡμολογεῖτο ἡμῖν ἐν τῷ ἔμπροσθεν χρόνῳ[5] αἴσχιον εἶναι τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι;

ΠΩΛ. Ναί.

ΣΩ. Νῦν δέ γε κάκιον ἐφάνη.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Δέξαιο[6] ἂν οὖν σὺ μᾶλλον τὸ κάκιον καὶ τὸ αἴσχιον ἀντὶ τοῦ ἧττον; μὴ ὄκνει[7] ἀποκρίνασθαι, ὦ Πῶλε· οὐδὲν γὰρ βλαβή-

1. Ἀφ' οὗ ἔλειψε τὸ ἕν, φύσει δὲν δύνανται νὰ ὑπάρξωσι τὰ ἀμφότερα. Ὥστε διὰ τῆς ἀφαιρέσεως τοῦ ἑνὸς παράγοντος ἀφῃρέθησαν δύο συγχρόνως.

2. Δηλαδή, λείπεται τῷ ἑτέρῳ (τῷ κακῷ) τὸ ἀδικεῖν ὑπερβάλλειν τοῦ ἀδικεῖσθαι.

3. Λείπει τὸ ῥῆμα τῆς εἰδικῆς προτάσεως, ἐννοούμενον ἐκ τῆς προηγουμένης.

4. Ὁ Σωκράτης μνημονεύει τῶν πολλῶν, διότι ὁ σοφιστὴς πολλάκις ἐκάλεσεν εἰς μαρτυρίαν τὴν δημοσίαν γνώμην.

5. Ἀντὶ χρόνῳ ὁ Findeisen καὶ ὁ Ast ἔγραψαν λόγῳ, ὅπερ ὀρθῶς ὁ Stallbaum ἀποδοκιμάζει, διότι δὲν δύναται νὰ λεχθῇ οὕτως ἕνεκα τῆς προσθήκης ὑπὸ μὲν τῶν πολλῶν ἀνθρώπων. Παραπλήσιον ὑπάρχει ἐν Φαίδων. 117D «καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων.»

6. Ἀφ' οὗ ὁ Σωκράτης ἀπέδειξε γενικῶς, ὅτι τὸ ἀδικεῖν εἶναι κάκιον καὶ αἴσχιον τοῦ ἀδικεῖσθαι, ἐρωτᾷ καὶ περὶ τῆς προσωπικῆς γνώμης τοῦ σοφιστοῦ διὰ τοῦ αὐτοῦ ῥήματος, δι' οὗ ἠρώτα τὸν φιλόσοφον 469C «Σὺ ἄρα τυραννεῖν οὐκ ἂν δέξαιο;»

7. Ἐπειδὴ ὁ σοφιστὴς παρατηρεῖ, ὅτι περιεπλέχθη, πειρᾶται, ἵνα διὰ τῆς σιωπῆς διαφύγῃ τὸν ἔλεγχον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σει· ἀλλὰ γενναίως[1] τῷ λόγῳ ὥσπερ ἰατρῷ παρέχων ἀποκρίνου, καὶ ἢ φάθι ἢ μὴ ἃ ἐρωτῶ.

Ε ΠΩΛ. Ἀλλ' οὐκ ἂν δεξαίμην, ὦ Σώκρατες.

ΣΩ. Ἄλλος δέ τις ἀνθρώπων;

ΠΩΛ. Οὔ μοι δοκεῖ κατά γε τοῦτον τὸν λόγον.[2]

ΣΩ. Ἀληθῆ ἄρα ἐγὼ ἔλεγον, ὅτι οὐτ' ἂν ἐγὼ οὔτ' ἂν[3] σὺ οὔτ' ἄλλος οὐδεὶς ἀνθρώπων δέξαιτ' ἂν μᾶλλον ἀδικεῖν ἢ ἀδικεῖσθαι· κάκιον γὰρ τυγχάνει ὄν.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Ὁρᾷς οὖν, ὦ Πῶλε, ὁ ἔλεγχος[4] παρὰ τὸν ἔλεγχον παραβαλλόμενος ὅτι οὐδὲν ἔοικεν,[5] ἀλλὰ σοὶ μὲν οἱ ἄλλοι πάντες ὁμολογοῦσι πλὴν ἐμοῦ, ἐμοὶ δὲ σὺ ἐξαρκεῖς εἰς ὧν μόνος καὶ ὁμολο-
476 γῶν καὶ μαρτυρῶν, καὶ ἐγὼ σὲ μόνον ἐπιψηφίζων τοὺς ἄλλους ἐῶ χαίρειν. καὶ τοῦτο μὲν ἡμῖν οὕτως ἐχέτω·[6] μετὰ τοῦτο

1. Δηλαδὴ περιφρονῶν τοὺς πόνους. Ὁ Σωκράτης παρακελεύεται τὸν Πῶλον, ἵνα μετὰ γενναιότητος παρέχῃ ἑαυτὸν τῷ λόγῳ, διότι θεραπεύει τὴν ψυχήν. Ὅρα 480 C.

2. Τοῦτο εἶναι σοφιστικὸς περιορισμὸς τοῦ καθολικοῦ κύρους τῆς ἀποδείξεως. Ἂν εἶχεν ἄλλον λόγον ὁ σοφιστής, ὤφειλε νὰ εἴπῃ τοῦτον.

3. Ἀξιοσημείωτον εἶναι ἐνταῦθα, ὅτι τὸ ἂν τρὶς ἐπαναλαμβάνεται· τοῦτο δὲ γίνεται, ὅπως ἕκαστον κῶλον τῆς προτάσεως νοῆται χωρίς. Ἄλλως ἡ ἐπανάληψις τοῦ ἂν γίνεται πολλαχοῦ παρὰ τοῖς ἀρχαίοις, Πλάτ. ἐν τῇ Ἀπολογ. 31. «Ἴμεῖς δ' ἴσως τάχ' ἂν ἀχθόμενοι, ὥσπερ οἱ νυσταζοντες ἐγειρόμενοι κρούσαντες ἄν με πειθόμενοι Ἀνύτῳ ῥᾳδίως ἂν ἀποκτείναιτε.» καὶ ἐν Θεαιτ. 165, D.

4. Ἠδύνατο νὰ εἴπῃ· ὁρᾷς οὖν τὸν ἔλεγχον ὅτι παρὰ τὸν ἔλεγχον. Ἐν τῷ ὑπάρχοντι ὅμως τύπῳ τῆς ἐκφράσεως ἡ ἀντίθεσις εἶναι σαφεστέρα. Ταῦτα λέγει ὁ Σωκράτης ἐν σχέσει πρὸς τὰ εἰρημένα ἐν 482 C. Παρεβλήθη ὁ ῥητορικὸς πρὸς τὸν διαλεκτικὸν ἔλεγχον.

5. Ὁ μὲν Heindorf νομίζει, ὅτι πρέπει νὰ ἐννοήσωμεν τὸ ἀπαρέμφατον εἶναι, ὡς ἐν Εὐθυδήμ. 42. Ὁ δὲ Buttmann, ὅτι γραπτέον οὐδενὶ ἔοικεν. Ἄνευ τῆς διορθώσεως ἐξηγεῖται, διότι καθ' Ἡσύχιον «ἔοικεν· ὡμοίωται», δηλ. ὁ εἷς ἔλεγχος παραβαλλόμενος πρὸς τὸν ἕτερον δὲν ὁμοιάζει κατ' οὐδέν.

6. Ἐνταῦθα λήγει τὸ πρῶτον ζήτημα, ὡς παρετήρησεν ὁ Ὀλυμπιόδωρος «Δύο προβλήματα προεβάλετο ὁ Σωκράτης, ἓν μὲν τὸ λέγοντος, ὅτι κρεῖττον τὸ ἀδικεῖσθαι τοῦ ἀδικεῖν, ἕτερον δὲ τὸ λέγον, ὅτι τῶν ἀδικούντων ὁ πάσχων καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ[1] περὶ οὗ τὸ δεύτερον ἠμφεσβητήσαμεν σκεψώμεθα, τὸ ἀδικοῦντα διδόναι δίκην ἆρα μέγιστον τῶν κακῶν ἐστιν, ὡς σὺ ᾤου, ἢ μεῖζον τὸ μὴ διδόναι, ὡς αὖ ἐγὼ ὤμην. σκοπώμεθα δὲ τῇδε· τὸ διδόναι δίκην καὶ τὸ κολάζεσθαι δικαίως[2] ἀδικοῦντα ἆρα τὸ αὐτὸ καλεῖς;

ΠΩΛ. Ἔγω γε.

ΣΩ. Ἔχεις οὖν λέγειν, ὡς οὐχὶ τά γε δίκαια πάντα καλά ἐστι, καθ' ὅσον δίκαια[3]; καὶ διασκεψάμενος[4] εἰπέ. B

ΠΩΛ. Ἀλλά μοι δοκεῖ,[5] ὦ Σώκρατες.

XXXII. ΣΩ. Σκόπει δὴ καὶ τόδε.[6] ἆρα εἴ τίς τι ποιεῖ, ἀνάγκη τι εἶναι καὶ πάσχον[6] ὑπὸ τούτου τοῦ ποιοῦντος;

ΠΩΛ. Ἔμοι γε δοκεῖ.

ΣΩ. Ἆρα τοῦτο πάσχον, ὃ τὸ ποιοῦν ποιεῖ, καὶ τοιοῦτον, οἷον

παρέχων τιμωρίαν ἧττον ἀθλιώτερός ἐστι τοῦ ἀδικοῦντος μέν, μηδὲν δὲ ὑπομένοντος, ἀλλ' ἀεὶ ἀδικοῦντος. Τούτων τοίνυν τὸ μὲν πρότερον δέδεικται, νῦν δὲ τὸ δεύτερον κατασκευάζεται.»

1. Ὁ Σχολιαστὴς παρατηρεῖ. «Τοῦ δευτέρου προβλήματος κατασκευή, ὅτι τῶν ἀδικούντων κρείττων ὁ δίκην διδούς, ἢ ὁ μή.»

2. Τὸ δικαίως ἦτο ἀναγκαία προσθήκη, διότι δύναται νὰ νοηθῇ καὶ παρὰ δίκην κόλασις. Τοῦτο ὅμως δὲν εἶναι παρεισαγωγὴ ἐννοίας· διότι αὕτη περιέχεται ἐν τῷ διδόναι δίκην.

3. Ὁ Πῶλος ὕμνει τὸν Ἀρχέλαον ὡς εὐδαίμονα, καίπερ ὄντα ἄδικον. Τὸ ζήτημα ὅμως τοῦτο διαφέρει, διότι ἐκεῖ μὲν ἦτο ἡ πρᾶξις, ἐνταῦθα δὲ ἡ θεωρία.

4. Παραινεῖ τὸν Πῶλον ὁ Σωκράτης, ὅπως σταθμίσῃ καλῶς τὴν ἀπόκρισιν, ἣν μέλλει νὰ δώσῃ· διότι ἐκ τῆς τοιαύτης ἢ τοιαύτης[6] ἀποκρίσεως ἐξαρτᾶται ἡ ἠθικὴ ἀξία παντὸς ἀνθρώπου.

5. Ἡ ἀπόκρισις αὕτη εἶναι σπουδαιοτάτη πρὸς λύσιν τοῦ ζητήματος.

6. Τὸ μὲν πάσχειν εἶναι, οὕτως εἰπεῖν, ὁ ἀντιπρόσωπος πάντων τῶν παθητικῶν ῥημάτων, ὡς τὸ ποιεῖν εἶναι τῶν ἐνεργητικῶν.

7. Πρὶν ἔλθῃ εἰς τὸ κύριον ζήτημα ὁ φιλόσοφος ὁρίζει τὴν ἐνέργειαν καὶ τὸ πάθος, εἰς ὃ καὶ τὸ δίκην διδόναι ἀνήκει. Ὁ Πλάτων τὴν ἐνέργειαν καὶ τὸ πάθος, τὸ ποιεῖν καὶ πάσχειν, θεωρεῖ ὡς κατηγορίαν, δηλ. γενικὸν τρόπον ἐξετάσεως. Ἐνταῦθα λοιπὸν δεικνύει, ὅτι τὰ μέρη ταύτης εὑρίσκονται ἐν τοιαύτῃ ἀμοιβαίᾳ σχέσει, ὥστε τὸ ἓν πάντοτε προϋποτίθησι τὸ ἕτερον καὶ ὅτι πάντοτε ὁ αὐτὸς προσδιορισμὸς (τοιοῦτον οἷον) ἀμφοτέροις πρέπει νὰ ἀνήκῃ, ὡς λέγει ὁ Cron.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιεῖ τὸ ποιοῦν; λέγω δὲ τὸ τοιόνδε· εἴ τις τύπτει, ἀνάγκη τι τύπτεσθαι;

ΠΩΛ. Ἀνάγκη.

C ΣΩ. Καὶ εἰ σφόδρα τύπτει ἢ ταχὺ ὁ τύπτων, οὕτω καὶ τὸ τυπτόμενον τύπτεσθαι;

ΠΩΛ. Ναί.

ΣΩ. Τοιοῦτον ἄρα πάθος τῷ τυπτομένῳ ἐστίν, οἷον ἂν τὸ τύπτον ποιῇ;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ εἰ κάει τις, ἀνάγκη τι κάεσθαι;

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Καὶ εἰ σφόδρά γε κάει, ἢ ἀλγεινῶς, οὕτω κάεσθαι τὸ καόμενον ὡς ἂν τὸ καῦον κάῃ;[1]

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ εἰ τέμνει τις, ὁ αὐτὸς λόγος; τέμνεται γάρ τι.

ΠΩΛ. Ναί.

ΣΩ. Καὶ εἰ μέγα γε ἢ βαθὺ τὸ τμῆμα ἢ ἀλγεινόν, τοιοῦτον

D τμῆμα τέμνεται τὸ τεμνόμενον, οἷον τὸ τέμνον τέμνει;

ΠΩΛ. Φαίνεται.

ΣΩ. Συλλήβδην[2] δὴ ὅρα εἰ ὁμολογεῖς, ὃ ἄρτι ἔλεγον, περὶ πάντων, οἷον ἂν ποιῇ τὸ ποιοῦν, τοιοῦτον τὸ πάσχον πάσχειν.

ΠΩΛ. Ἀλλ' ὁμολογῶ.

ΣΩ. Τούτων δὴ ὁμολογουμένων, τὸ δίκην διδόναι[3] πότερον πάσχειν τί ἐστιν ἢ ποιεῖν;

ΠΩΛ. Ἀνάγκη, ὦ Σώκρατες, πάσχειν.

ΣΩ. Οὐκοῦν ὑπό τινος ποιοῦντος;

ΠΩΛ. Πῶς γὰρ οὔ; ὑπό γε τοῦ κολάζοντος.

1. Ὁ Stallbaum προτιμᾷ τὰς γραφὰς καῖον, καίῃ κτλ. Ὁ Πλάτων ἐξελέξατο τὰ ῥήματα καίειν καὶ τέμνειν, διότι ἡ θεραπευτικὴ ἔχει πρὸς τὸ σῶμα, ὃν λόγον ἔχει ἡ κόλασις καὶ ἡ τιμωρία πρὸς τὴν ψυχήν.

2 Ἐνταῦθα ὁ Σωκράτης ἐκ τῶν μερῶν ἔρχεται εἰς τὸ ὅλον. Τοῦτο λέγεται ἐπαγωγή, περὶ ἧς ὅρα εἰσαγωγ. σελ. 29.

3. Τὸ ἐνεργητικὸν εἶναι λαμβάνειν δίκην. Τὰ περὶ ἐνεργείας καὶ πάθους ἐλέχθησαν, ὅπως ὁρισθῇ ἡ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Ὁ δὲ ὀρθῶς κολάζων δικαίως[1] κολάζει; Ε

ΠΩΛ. Ναί.

ΣΩ. Δίκαια ποιῶν ἢ οὔ;

ΠΩΛ. Δίκαια.

ΣΩ. Οὐκοῦν ὁ κολαζόμενος[2] δίκην διδοὺς δίκαια πάσχει;

ΠΩΛ. Φαίνεται.

ΣΩ. Τὰ δὲ δίκαιά που καλὰ ὡμολόγηται;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Τούτων ἄρα ὁ μὲν ποιεῖ καλά, ὁ δὲ πάσχει, ὁ κολαζόμενος.[3]

ΠΩΛ. Ναί.

XXXIII. ΣΩ. Οὐκοῦν εἴπερ καλά, ἀγαθά;[4] ἢ γὰρ ἡδέα ἢ ὠφέλιμα.[5] 447

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Ἀγαθὰ ἄρα πάσχει ὁ δίκην διδούς;

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Ὠφελεῖται ἄρα;

ΠΩΛ. Ναί.

σχέσις τοῦ δίκην διδόναι πρὸς τὸ λαμβάνειν δίκην=κολάζειν.

1. Τὸ μὲν ὀρθῶς ἔχει γενικὴν σημασίαν, τὸ δὲ δικαίως ἠθικήν. Τὸ ὀρθῶς προπαρασκευάζει τὴν ἔννοιαν τοῦ δικαίως.

2. Κατὰ τὸν Hirschig δὲν δύναται νὰ μένῃ μετὰ τοῦ δίκην διδοὺς καί, ἂν ἠδύνατο νὰ μείνῃ, ἔπρεπε νὰ προστεθῇ τὸ δικαίως, ὡς καὶ ἐν 477A· διότι ἐν ἐκείνῳ τῷ ἐπιρρήματι ὁλόκληρος ἡ ἀπόδειξις στρέφεται. Νομίζομεν, ὅτι τὸ κολαζόμενος εἶναι ἀναγκαῖον· διότι διὰ τούτου γίνεται ἡ μετάβασις ἐκ τοῦ ἐνεργητικοῦ εἰς τὸ παθητικόν. Ἡ προσθήκη τοῦ δικαίως ἦτο ὅλως περιττή· διότι αὐτὸ τοῦτο δηλοῖ τὸ δίκην διδοὺς=ἐὰν δικαίως τιμωρῆται. Ἐν τῷ 477A προσετέθη τὸ δικαίως, διότι δὲν ὑπάρχει τὸ δίκην διδούς.

3. Προσετέθη ἡ μετοχὴ χάριν ἀκριβείας, ὡς πολλαχοῦ παρὰ τοῖς ἀρχαίοις.

4. Τὸ κύριον ζήτημα εἶναι νὰ ἀποδείξῃ, ὅτι τὸ διδόναι δίκην δὲν εἶναι τὸ μέγιστον τῶν κακῶν. Μέχρι τοῦδε ἔδειξεν, ὅτι τοῦτο εἶναι καλόν. Νῦν ἀποδείκνυσιν, ὅτι εἶναι καὶ ἀγαθόν.

5. Διὰ τῆς φράσεως ταύτης παραπέμπει εἰς τὰ πρὶν ὡμολογημένα ἐν 474D ἀποδεδειγμένα. Ὁ κολαζόμενος δὲν πάσχει ἡδέα, οὔτε ἀμφότερα, ἄρα πάσχει ὠφέλιμα=ἀγαθά.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Ἆρα ἥνπερ ἐγὼ ὑπολαμβάνω τὴν ὠφέλειαν;[1] βελτίων τὴν ψυχὴν γίγνεται,[2] εἴπερ δικαίως κολάζεται;

ΠΩΛ. Εἰκός γε.

ΣΩ. Κακίας ἄρα ψυχῆς ἀπαλάττεται ὁ δίκην διδούς;

ΠΩΛ. Ναί.

B ΣΩ. Ἆρ' οὖν[3] τοῦ μεγίστου ἀπαλλάττεται κακοῦ; ὧδε δὲ σκόπει· ἐν χρημάτων κατασκευῇ ἀνθρώπου κακίαν ἄλλην τινὰ ἑνορᾷς ἢ πενίαν;

ΠΩΛ. Οὔκ, ἀλλὰ πενίαν.

ΣΩ. Τί δ' ἐν σώματος κατασκευῇ; κακίαν ἂν φήσαις ἀσθένειαν εἶναι καὶ νόσον καὶ αἶσχος καὶ τὰ τοιαῦτα;

ΠΩΛ. Ἔγω γε.

ΣΩ. Οὐκοῦν καὶ ἐν ψυχῇ πονηρίαν[4] ἡγεῖ τινα εἶναι;

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Ταύτην οὖν οὐκ ἀδικίαν[5] καλεῖς καὶ ἀμαθίαν καὶ δειλίαν καὶ τὰ τοιαῦτα;

ΠΩΛ. Πάνυ μὲν οὖν.

C ΣΩ. Οὐκοῦν χρημάτων καὶ σώματος καὶ ψυχῆς, τριῶν ὄντων, τριττὰς εἴρηκας πονηρίας,[6] πενίαν, νόσον, ἀδικίαν;

ΠΩΛ. Ναί.

1. Ἐννοεῖται ἐκ τῶν ἡγουμένων τὸ ῥῆμα ὠφελεῖται.

2. Ἡ Πλατωνικὴ θεωρία περὶ τιμωρίας εἶναι ὑψηλοτέρα πασῶν, ὅσας οἱ φιλόσοφοι ἢ οἱ ποινικολόγοι ἐπενόησαν. Ὀρθῶς δ' ὁ ἡμέτερος Λιβαδᾶς λέγει· «Τὴν ἀληθῆ φύσιν τῆς ποινῆς ἐκφράζει ἡ τῶν γλωσσῶν βασιλὶς ἑλληνικὴ διὰ φράσεων προσφυεστάτων τὸ μὲν «δίκην διδόναι» δηλοῖ τὴν ἀποκατάστασιν τῆς ἠθετημένης δικαιοσύνης· τὸ «τιμωρεῖσθαι» τὴν ἀπόδοσιν τῆς εἰς τὰς πράξεις ὀφειλομένης τιμῆς· τὸ δὲ «κολάζειν» τὸ διορθοῦν».

3. Νῦν μεταβαίνει ὁ φιλόσοφος εἰς νέον τμῆμα τῆς ἀποδείξεως τοῦ ζητήματος, ὅπερ ἔθηκεν ἐν 469B.

4. Ὅρα, ὅτι ἐπὶ μὲν χρημάτων καὶ σώματος μετεχειρίσθη τὴν κακίαν, ἐπὶ δὲ τῆς ψυχῆς ἀπέφυγε ταύτην τὴν λέξιν· διότι οὕτως ἤθελε προαρπάσει, ὅτι μέλλει νὰ ἀποδείξῃ ἐν τοῖς ἑπομένοις C καὶ D.

5. Αἱ πονηρίαι αὗται εἶναι ἐλλείψεις τῶν τεσσάρων Πλατωνικῶν ἀρετῶν, τῆς δικαιοσύνης, τῆς φρονήσεως, τῆς ἀνδρείας καὶ τῆς σωφροσύνης. Ταύτης τὸ ἀντίθετον, ἡ ἀκολασία, λείπει. Ἐν τοῖς ἑπομένοις D ἔχει πλήρη τὸν ἀριθμόν.

6. Ὁ πληθυντικὸς τοῦ ἀφηρη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Τίς οὖν τούτων τῶν πονηριῶν αἰσχίστη; οὐχ ἡ ἀδικία καὶ συλλήβδην ἡ τῆς ψυχῆς πονηρία;[1]

ΠΩΛ. Πολύ γε.

ΣΩ. Εἰ δὴ αἰσχίστη, καὶ κακίστη;

ΠΩΛ. Πῶς,[2] ὦ Σώκρατες, λέγεις;

ΣΩ. Ὧδί· ἀεὶ τὸ αἴσχιστον ἤτοι λύπην μεγίστην παρέχον ἢ βλάβην ἢ ἀμφότερα αἴσχιστόν ἐστιν ἐκ τῶν ὡμολογημένων ἐν τῷ ἔμπροσθεν.

ΠΩΛ. Μάλιστα.

ΣΩ. Αἴσχιστον δὲ ἀδικία καὶ σύμπασα ψυχῆς πονηρία νῦν δὴ ὡμολόγηται ἡμῖν; D

ΠΩΛ. Ὡμολόγηται γάρ.

ΣΩ. Οὐκοῦν ἢ[3] ἀνιαρότατόν ἐστι καὶ ἀνίᾳ ὑπερβάλλον αἴσχιστον τούτων ἐστὶν ἢ βλάβῃ ἢ ἀμφότερα;

ΠΩΛ. Ἀνάγκη.

μένου σημαίνει τὰς διαφόρους ἐμφανίσεις, τὰ διάφορα εἴδη τῆς πονηρίας.

1. Ἡ πονηρία αὕτη εἶναι ἡ αἰσχίστη, διότι φθείρει τὸ ἄριστον.

2. Ἡ ἐρώτησις αὕτη μαρτυρεῖ, ὅτι ὁ Πῶλος ἢ δὲν ἐνόησεν ἢ ἐπελάθετο τῶν ἀποδεδειγμένων ἐν 475C. Ὁ φιλόσοφος ἀναγκάζεται νὰ ἀποδείξῃ καὶ ἐν τῷ ὑπερθετικῷ βαθμῷ. Ὅρα εἰσαγωγ. σελ. 53.

3. Τὸ χωρίον τοῦτο παρεδόθη διεφθαρμένον· διότι ἀντὶ τοῦ ἢ φέρεται ἤ, παραλείπεται ὁ καὶ πρὸ τοῦ ἀνίᾳ καὶ προστίθεται ἢ λύπῃ πρὸ τοῦ ἢ βλάβῃ. Οἱ κριτικοὶ συνήθως δέχονται τὴν θεραπείαν τοῦ Bekker, ὡς ὑπάρχει ἐν τῷ κειμένῳ. Δύναταί τις νὰ ἐκτιμήσῃ τὰς διορθώσεις καὶ ἑρμηνεύσῃ ὀρθῶς τὸ χωρίον, ἂν παραβάλῃ πρὸς τὸ παράλληλον τῆς πρώτης ἀποδείξεως 475B «Οὐκοῦν εἴπερ αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι, ἤτοι λυπηρότερόν ἐστι καὶ λύπῃ ὑπερβάλλον αἴσχιον ἂν εἴη ἢ κακῷ ἢ ἀμφοτέροις;» Ὁ φιλόσοφος ἠδύνατο νὰ εἴπῃ· ἢ λυπηρότατον ἢ βλαβερώτατον ἢ ἀμφότερα. Τὸ καὶ ἀνίᾳ ὑπερβάλλον εἶναι ἐπεξήγησις τοῦ ἀνιαρότατον καὶ ἀντὶ τοῦ βλαβερώτατον εἶπε βλάβῃ (δηλ. ὑπερβάλλον). Κατὰ τὸν Stallbaum καὶ τὸν Wohlrab ἐξαλειπτέον τὸ δεύτερον ἐστίν, ὅπερ δικαίως ἀποκρούει ὁ Cron· διότι τοῦτο κωλύει καὶ ἡ παράδοσις καὶ τὸ παράλληλον χωρίον, ἐν ᾧ ὑπάρχει ἡ φράσις ἂν εἴη. Δὲν εἶναι δὲ ἀνάγκη, ὅπως κατὰ τὸν Hirschig τὸ ἀμφότερα τρέψωμεν εἰς ἀμφοτέροις, διότι κατὰ τὸν Stallbaum ἡ τοιαύτη ἐλευθερία τῆς συντάξεως εἶναι συχνοτάτη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Ἆρ' οὖν ἀλγεινότερόν ἐστι[1] τοῦ πένεσθαι καὶ κάμνειν τὸ ἄδικον εἶναι καὶ ἀκόλαστον καὶ δειλὸν καὶ ἀμαθῆ;

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, ἀπὸ τούτων γε.[2]

ΣΩ. Ὑπερφυεῖ τινι ἄρα ὡς[3] μεγάλῃ βλάβῃ καὶ κακῷ θαυμασίῳ ὑπερβάλλουσα τἆλλα ἡ τῆς ψυχῆς πονηρία αἴσχιστόν ἐστι
Ε πάντων, ἐπειδὴ οὐκ ἀλγηδόνι γε,[4] ὡς ὁ σὸς λόγος.

ΠΩΛ. Φαίνεται.

ΣΩ. Ἀλλὰ μήν που τό γε μεγίστῃ βλάβῃ ὑπερβάλλον μέγιστον ἂν κακὸν εἴη τῶν ὄντων.

ΠΩΛ. Ναί.

ΣΩ. Ἡ ἀδικία ἄρα καὶ ἡ ἀκολασία καὶ ἡ ἄλλη ψυχῆς πονηρία μέγιστον τῶν ὄντων κακόν ἐστιν;

ΠΩΛ. Φαίνεται.

XXXIV. ΣΩ. Τίς οὖν τέχνη πενίας ἀπαλλάττει;[5] οὐ χρηματιστική;

ΠΩΛ. Ναί.

ΣΩ. Τίς δὲ νόσου; οὐκ ἰατρική;

ΠΩΛ. Ἀνάγκη.

ΣΩ. Τίς δὲ πονηρίας καὶ ἀδικίας; εἰ μὴ οὕτως εὐπορεῖς,[6] ὧδε
478 σκόπει· ποῖ ἄγομεν καὶ παρὰ τίνας τοὺς κάμνοντας τὰ σώματα;

1. Εἶναι ἱποδύναμον πρὸς τὸ μείζω ἀνίαν καὶ λύπην παρέχεται.

2. Δηλαδὴ τοὐλάχιστον ἐξ ἐκείνων, ἅπερ διειλέγμεθα. Ὁ Πῶλος ἐννοήσας, ὅτι εἶναι ἐγγὺς νὰ ὁμολογήσῃ ἐκεῖνο, ὅπερ ὑπεστήριξεν ὁ Σωκράτης, πειρᾶται νὰ ἐξολισθήσῃ.

3. Συντακτικῶς ὅμοιον χωρίον ὑπάρχει ἐν τοῖς ἔμπροσθεν, 471, Α. «Νῦν δὲ θαυμασίως ὡς ἄθλιος γέγονεν.»

4. Ἐννοεῖται ἐκ τῆς μετοχῆς τὸ ὑπερβάλλει.

5. Ἀφ' οὗ ὁ Σωκράτης ἀπέδειξεν, ὅτι ἡ ἀδικία εἶναι τὸ μέγιστον τῶν κακῶν, ἐν τῷδε τῷ κεφαλαίῳ ἀνευρίσκει τὴν ἀπαλλαγὴν τούτου, ἤτοι τὴν θεραπείαν, ἥτις εἶναι ἡ δίκη, τὸ δίκην διδόναι, περὶ οὗ προὔκειτο 476Α.

6. Ἐννοητέον τὸ ἀποκρίνασθαι. Τὸ ἀντίθετον τοῦ εὐπορεῖν εἶναι ἀπορεῖν. Πρὸ τῆς φράσεως ταύτης ὑποτίθεται μικρὰ παῦσις, καθ' ἣν ὁ Πῶλος ἠγνόει, τί ἔπρεπε νὰ ἀποκριθῇ. Τὰ τοιαῦτα ἀνήκουσιν εἰς τὸ τεχνικὸν μέρος τοῦ διαλόγου καὶ συμβάλλονται, ὅπως καὶ ὁ ἀναγνώστης ἐννοῇ κάλλιον τὰ λεγόμενα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Παρὰ τοὺς ἰατρούς, ὦ Σώκρατες.

ΣΩ. Ποῖ δὲ τοὺς ἀδικοῦντας καὶ τοὺς ἀκολασταίνοντας;

ΠΩΛ. Παρὰ τοὺς δικαστὰς λέγεις;

ΣΩ. Οὐκοῦν δίκην δώσοντας;

ΠΩΛ. Φημί.

ΣΩ. Ἆρ' οὖν οὐ δικαιοσύνῃ τινὶ χρώμενοι κολάζουσιν οἱ ὀρθῶς κολάζοντες;

ΠΩΛ. Δῆλον δή.

ΣΩ. Χρηματιστικὴ μὲν ἄρα πενίας ἀπαλλάττει, ἰατρικὴ δὲ νόσου, δίκη δὲ ἀκολασίας καὶ ἀδικίας. B

ΠΩΛ. Φαίνεται.

ΣΩ. Τί οὖν τούτων κάλλιστόν ἐστιν ὧν λέγω;[1]

ΠΩΛ. Τίνων λέγεις;

ΣΩ. Χρηματιστικῆς, ἰατρικῆς, δίκης.

ΠΩΛ. Πολὺ διαφέρει, ὦ Σώκρατες, ἡ δίκη.

ΣΩ. Οὐκοῦν αὖ ἤτοι ἡδονὴν[2] πλείστην ποιεῖ ἢ ὠφέλειαν ἢ ἀμφότερα, εἴπερ κάλλιστόν ἐστιν;

ΠΩΛ. Ναί.

ΣΩ. Ἆρ' οὖν τὸ ἰατρεύεσθαι ἡδύ ἐστι, καὶ χαίρουσιν οἱ ἰατρευόμενοι;

ΠΩΛ. Οὐκ ἔμοιγε δοκεῖ.

1. Τὰ χειρόγραφα ἔχουσιν ὧν λέγεις, ἀλλὰ τὴν φράσιν ταύτην σχεδὸν πάντες οἱ ἐκδόται ἐξήλειψαν νομίζοντες, ὅτι προῆλθεν ἐκ τῆς ἑπομένης. Ὁ Findeisen καὶ ὁ Stallbaum ἔτρεψαν εἰς ὧν λέγω· ἡ φράσις αὕτη ἔχει τὴν ἀρετήν, ὅτι συμφωνεῖ πρὸς τὴν ἑπομένην ἐρώτησιν τοῦ Πώλου. Κατὰ δὲ τὸν Kratz ὑπάρχει μείζων δυσκολία ἐν τοῖς ἑπομένοις· διότι τὴν ἐρώτησιν τοῦ Πώλου, Τίνων λέγεις; θεωρεῖ παιδαριώδη. Τούτου ἕνεκεν προτείνει, ὅπως τὸ χωρίον ἀναγνωσθῇ οὕτωσί. Σ. Τί οὖν τούτων κάλλιστόν ἐστιν; Π. Ὧν λέγεις; πολὺ διαφέρει κ.τ.λ. Ἀλλ' ὀρθῶς παρατηρεῖ ὁ Cron, ὅτι ἡ ὑπὸ τοῦ Kratz θεωρουμένη ὡς παιδαριώδης ἐρώτησις δηλοῖ τὴν ἀντίστασιν τοῦ Πώλου, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν ἡ, εἰ μὴ οὕτως εὐπορεῖς. Νομίζομεν δ', ὅτι ἡ προτεινομένη διόρθωσις ἀφαιρεῖ πολὺ τῆς σαφηνείας, ἣν θηρεύει ὁ Πλάτων.

2. Τοῦτο λέγει κατὰ τὸν ὁρισμὸν τοῦ καλοῦ, ὃν ἔδωκεν ἐν 474D.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Ἀλλ' ὠφέλιμόν γε. ἦ γάρ;

C ΠΩΛ. Ναί.

ΣΩ. Μεγάλου γὰρ κακοῦ ἀπαλάττεται,[1] ὥστε λυσιτελεῖ ὑπομεῖναι τὴν ἀλγηδόνα καὶ ὑγιεῖ εἶναι.

ΠΩΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Ἆρ' οὖν οὕτως[2] ἂν περὶ σῶμα εὐδαιμονέστατος ἄνθρωπος εἴη, ἰατρευόμενος, ἢ μηδὲ κάμνων ἀρχήν;

ΠΩΛ. Δῆλον ὅτι μηδὲ κάμνων.

ΣΩ. Οὐ γὰρ τοῦτ' ἦν εὐδαιμονία, ὡς ἔοικε, κακοῦ ἀπαλλαγή,[3] ἀλλὰ τὴν ἀρχὴν[4] μηδὲ κτῆσις.

ΠΩΛ. Ἔστι ταῦτα.

D ΣΩ. Τί δέ; ἀθλιώτερος πότερος δυοῖν ἐχόντοιν κακὸν εἴτ' ἐν σώματι εἴτ' ἐν ψυχῇ, ὁ ἰατρευόμενος καὶ ἀπαλλαττόμενος τοῦ κακοῦ, ἢ ὁ μὴ ἰατρευόμενος, ἔχων δέ;[5]

ΠΩΛ. Φαίνεταί μοι ὁ μὴ ἰατρευόμενος.

ΣΩ. Οὐκοῦν τὸ δίκην διδόναι μεγίστου κακοῦ ἀπαλλαγὴ ἦν, πονηρίας;

ΠΩΛ. Ἦν γάρ.[6]

1. Ἐκ τοῦ προηγουμένου οἱ ἰατρευόμενοι ἐννοεῖται ὁ ἑνικὸς ἀριθμὸς ὁ ἰατρευόμενος. Ἡ μετάβασις ἐκ τοῦ πληθυντικοῦ εἰς τὸν ἑνικὸν γίνεται πολλαχοῦ παρὰ τοῖς ἀρχαίοις, ὡς ἐν Φαίδων. 62 D.

2. Τὸ ἐπίρρημα ἐπεξηγεῖται διὰ τῶν ἑπομένων ὑποθετικῶν μετοχῶν, ἰατρευόμενος καὶ κάμνων Ὁ Σωκράτης τίθησι τὸ ἐξῆς ἐρώτημα· Τίς εἶναι εὐδαιμονέστατος; ἐκεῖνος, ὅστις ἐνόσησε καὶ ἐθεραπεύθη; ἢ ἐκεῖνος, ὅστις δὲν ἐνόσησε καὶ ἑπομένως δὲν εἶχεν ἀνάγκην νὰ θεραπευθῇ; Ἀναντιρρήτως ὁ δεύτερος. Ἐρωτᾷ οὕτω· διότι νοσήσας εἶναι ὁ ἀδικήσας καὶ θεραπευθεὶς ὁ τιμωρηθείς. Οὕτως ἄρχεται ἀποδεικνύων, ὅ τι εἶπεν ἐν 472 E.

3. Εἶναι παράθεσις εἰς τὸ τοῦτο.

4. Προσδιορίζει τὴν κτῆσιν, ἥτις ἕνεκα τῆς παραγωγῆς ἐκ ῥήματος δέχεται τοιοῦτον ἐπιρρηματικὸν προσδιορισμόν. Εἰς τὸ κτῆσις ἐννοητέον τὴν γενικὴν αὐτοῦ. Ὡς φαίνεται τὸ νὰ ἀπαλλαγῶμεν ἀπὸ τὸ κακὸν δὲν ἦτο εὐδαιμονία, ἀλλὰ τὸ νὰ μὴ ἀποκτήσωμεν εὐθὺς ἐξ ἀρχῆς τὴν νόσον.

5. Ἐννοεῖται τὸ ἀντικείμενον δηλ. τὸ κακόν.

6. Ἐπειδὴ ὁ σοφιστὴς πρὸ πολλοῦ ἀπώλεσε τὸ θάρρος αὐτοῦ, δὲν παρέχει μεγάλας ἀντιρρήσεις ἐν ταῖς ἀποκρίσεσιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Σωφρονίζει γάρ που καὶ δικαιοτέρους ποιεῖ καὶ ἰατρικὴ[1] γίγνεται πονηρίας ἡ δίκη.

ΠΩΛ. Ναί.

ΣΩ. Εὐδαιμονέστατος μὲν ἄρα ὁ μὴ ἔχων κακίαν ἐν ψυχῇ, Ε ἐπειδὴ τοῦτο μέγιστον τῶν κακῶν ἐφάνη.

ΠΩΛ. Δῆλον δή.

ΣΩ. Δεύτερος[2] δὲ δήπου ὁ ἀπαλλαττόμενος.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Οὗτος δ' ἦν ὁ νουθετούμενός τε καὶ ἐπιπληττόμενος καὶ δίκην διδούς.[3]

ΠΩΛ. Ναί.

ΣΩ. Κάκιστα ἄρα ζῇ ὁ ἔχων ἀδικίαν[4] καὶ μὴ ἀπαλλαττόμενος.

ΠΩΛ. Φαίνεται.

1. Ὁ ἡμέτερος Διβαδᾶς παρατηρεῖ· «καὶ ὀρθῆς ὑποτιθεμένης τῆς Πλατωνικῆς θεωρίας, δὲν φαίνεται κατὰ πάντα ἐπιτυχὴς ἡ ἀναλογία μεταξὺ τῆς διορθωτικῆς δικαιοσύνης καὶ τῆς ἰατρικῆς, καὶ τῆς ἰαματικῆς ἐπιδράσεως τῆς δικαιοσύνης ἐπὶ τὴν νοσοῦσαν ψυχήν. Ἐὰν ἡ τιμωρία μὴ θεραπεύσῃ μηδὲ ἐκριζώσῃ τὴν κακίαν, ὡς τὸ φάρμακον τοῦ ἰατροῦ τὴν νόσον, ἐὰν μὴ ἐπέλθῃ ἠθικὴ βελτίωσις ὡς συμβαίνει κατὰ κακὴν μοῖραν πολλάκις, τὸ ἐπιχείρημα ἐλέγχεται σαθρόν.» Ἐκ τῆς πείρας τοιαύτη ἀντίρρησις πάντως δύναται νὰ γείνῃ, ἀλλ' ἆρά γε καὶ τῆς ἰατρικῆς ἡ θεραπεία εἶναι ἀσφαλής; Ὡς ὑπάρχουσι σώματα σαπρά, ἐν οἷς οὐδεμία θεραπεία εἶναι ἱκανή, οὕτως ὑπάρχουσι καὶ ψυχαὶ οὕτω διεφθαρμέναι, ὥστε οὐδεμία βελτίωσις προσγίνεται ἐκ τῆς κολάσεως.

2. Δηλαδὴ ὡς πρὸς τὴν εὐδαιμονίαν. Ἐν πολλοῖς χειρογράφοις λείπει ὁ ἑπόμενος δὲ, ὅστις εἶναι ἀναγκαῖος. Οὐχὶ ἀφυῶς ὁ Keck εἰκάζει, ὅτι δυνάμεθα τὸ δήπου νὰ μεταβάλωμεν εἰς δέ που.

3. Ὁ Σωκράτης προβαίνει ἐκ τῶν ἐλαφροτέρων εἰς τὰς βαρυτέρας ποινάς. Εἶναι δὲ ἄξιον σημειώσεως, ὅτι ὁ φιλόσοφος ἀναφέρει τοιαύτας τιμωρίας τῆς ψυχῆς, ὅπως ποιήσωσιν ἀντίθεσιν πρὸς τὰς τοῦ Πώλου, ὅστις ἐν τοῖς ἔμπροσθεν περιέβαλε τὴν κόλασιν τὴν φοβερωτέραν μορφήν, Πλάτ. ἐν Ἀπολογ. 26, Α. «Τῶν ἀκουσίων ἁμαρτημάτων οὐ δεῦρο νόμος εἰσάγειν ἐστίν. ἀλλ' ἰδίᾳ λαβόντα διδάσκειν καὶ νουθετεῖν.»

4. Ἐπειδὴ ὁ Σωκράτης τὴν κακίαν καὶ πονηρίαν ἐν 477 Α ἐθεώρησεν ὡς γένος, εἰς ὃ ὑπάγονται πάντα τὰ εἴδη τῆς φαυλότητος τῆς ψυχῆς ἢ τοῦ σώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Οὐκοῦν οὗτος[1] τυγχάνει ὢν ὃς ἂν τὰ μέγιστα ἀδικῶν καὶ χρώμενος μεγίστῃ ἀδικίᾳ διαπράξηται ὥστε μήτε νουθετεῖ-
479 σθαι μήτε κολάζεσθαι μήτε δίκην διδόναι, ὥσπερ σὺ φῂς Ἀρχέλαον παρεσκευάσθαι καὶ τοὺς ἄλλους τυράννους καὶ ῥήτορας[2] καὶ δυνάστας;

ΠΩΛ. Ἔοικεν.[3]

XXXV. ΣΩ. Σχεδὸν[4] γάρ που οὗτοι, ὦ ἄριστε, τὸ αὐτὸ διαπεπραγμένοι εἰσί, ὥσπερ ἂν[5] εἴ τις τοῖς μεγίστοις νοσήμασι συνισχόμενος διαπράξαιτο μὴ διδόναι δίκην τῶν περὶ τὸ σῶμα ἁμαρτημάτων τοῖς ἰατροῖς μηδὲ ἰατρεύεσθαι, φοβούμενος, ὡσπερανεὶ[6]
Β παῖς τὸ κάεσθαι καὶ τὸ τέμνεσθαι, ὅτι ἀλγεινόν. ἢ οὐ δοκεῖ καὶ σοὶ οὕτως;

ΠΩΛ. Ἔμοιγε.

ΣΩ. Ἀγνοῶν[7] γε, ὡς ἔοικεν, οἷόν ἐστιν ἡ ὑγίεια καὶ ἀρετὴ

ματος, ὁ Dobree περιέμενεν ἐνταῦθα τὸ γένος καὶ οὐχὶ τὸ εἶδος, δηλ. κακίαν. Ὡς ἔχει, εἶναι διαλεκτικὸν ἁμάρτημα, ὅπερ λέγεται προαρπάζειν τὸν λόγον. Ἀλλ' ὁ Πλάτων μεταχειρίζεται ἀδιαφόρως τὸ γένος καὶ τὸ εἶδος, ὡς πρὸ ὀλίγου εἶπε «καὶ ἰατρικὴ γίγνεται πονηρίας ἡ δίκη»

1. Ἡ ἀντωνυμία αὕτη εἶναι τὸ κατηγορούμενον, τὸ δὲ ὑποκείμενον ἀποτελεῖ ἡ ἑπομένη ἀναφορικὴ πρότασις.

2. Ὁ Σωκράτης κατατάσσει εἰς τὴν αὐτὴν τάξιν τοὺς ῥήτορας μετὰ τῶν τυράννων καὶ τῶν δυναστῶν, διότι ἡ τυραννία καὶ ἡ δυναστεία ἦτο ὁ τελικὸς σκοπὸς τῶν μαθητῶν τοῦ Γοργίου. Ὅρα Εἰσαγωγ. σελ. 84.

3. Τοῦτο φαίνεται λέγων ὁ Πῶλος μετά τινος ἀθυμίας..

4. Μέχρι τοῦδε ὁ φιλόσοφος ἔδειξεν, ὅτι ὁ τιμωρούμενος ἀπαλλάσσεται μεγίστου κακοῦ. Ἀλλ' ἡ τιμωρία παρέχει ἀλγηδόνας, ἃς ὀφείλει νὰ ὑποστῇ ὁ τιμωρούμενος, ὡς ὑφίσταται ὁ ὑπὸ τοῦ ἰατροῦ θεραπευόμενος.

5. Ὡς ἀπόδοσις τῆς ὑποθετικῆς προτάσεως ἐννοεῖται τὸ αὐτὸ ῥῆμα διαπράξαιτο.

6. Τὸ μὲν προηγούμενον γράφεται κεχωρισμένως, τοῦτο δὲ ἐν μιᾷ λέξει. Ἐκεῖνο ἰσοδυναμεῖ πρὸς τὸ λατινικὸν tamquam si, τοῦτο δὲ πρὸς τὸ tamquam ἢ sicut. Τοὺς φόβους τῆς κολάσεως ὁ Σωκράτης καταβιβάζει εἰς παιδικοὺς καὶ πρὸς τοῦτο συμφωνεῖ καὶ ἡ ἐν ἀρχῇ φράσις τοῦ φιλοσόφου· «Μορμολύττει αὖ, ὦ γενναῖε.» 473 D.

7. Ὁ Πλάτων ἀποδίδει μετοχὰς εἰρήματα ἀνήκοντα εἰς προτάσεις ἢ τοῦ διαλεγομένου ἢ αὐτοῦ τοῦ λέγοντος, εἰς ἃς ὅμως παρεμ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σώματος. κινδυνεύουσι γὰρ ἐκ τῶν νῦν ἡμῖν ὡμολογημένων τοὶ οὗτόν τι ποιεῖν καὶ οἱ τὴν δίκην φεύγοντες, ὦ Πῶλε, τὸ ἀλγεινὸν αὐτοῦ καθορᾷν,[1] πρὸς δὲ τὸ ὠφέλιμον τυφλῶς ἔχειν καὶ ἀγνοεῖν, ὅσῳ ἀθλιώτερόν ἐστι μὴ ὑγιοῦς σώματος[2] μὴ ὑγιεῖ ψυχῇ συνοικεῖν,[3] ἀλλὰ σαθρᾷ[4] καὶ ἀδίκῳ καὶ ἀνοσίῳ. ὅθεν καὶ πᾶν ποιοῦσιν C ὥστε δίκην μὴ διδόναι μηδ' ἀπαλλάττεσθαι τοῦ μεγίστου κακοῦ, καὶ χρήματα παρασκευαζόμενοι[5] καὶ φίλους καὶ ὅπως[6] ἂν ὡσιν ὡς πιθανώτατοι λέγειν. εἰ δὲ ἡμεῖς ἀληθῆ ὡμολογήκαμεν, ὦ Πῶλε, ἆρ' αἰσθάνει τὰ συμβαίνοντα[7] ἐκ τοῦ λόγου; ἢ βούλει συλλογισώμεθα[8] αὐτά;

ΠΩΛ. Εἰ μὴ σοίγε ἄλλως δοκεῖ.

ΣΩ. Ἆρ' οὖν συμβαίνει μέγιστον κακὸν ἡ ἀδικία καὶ τὸ ἀδικεῖν;

ΠΩΛ. Φαίνεταί γε.

ΣΩ. Καὶ μὴν ἀπαλλαγή γε ἐφάνη τούτου τοῦ κακοῦ τὸ δί- D κην διδόναι;

πίπτει ὁ λόγος ἐκείνου. Ἐνταῦθα ἡ μετοχὴ αὕτη ἀποδίδεται εἰς τὸ διαπράξαιτο φοβούμενος.

1. Τὸ ἀπαρέμφατον τοῦτο καὶ τὸ ἑπόμενον τυφλῶς ἔχειν εἶναι ἐπεξηγήσεις τοῦ τοιοῦτόν τι ποιεῖν. Ἀντιτίθενται δὲ εἰς τὰς μετοχὰς φοβούμενος καὶ ἀγνοῶν μετὰ τῶν προτάσεων αὐτῶν, ὡς λέγει ὁ Cron.

2. Ἀντὶ νὰ εἴπῃ ἢ μὴ ὑγιεῖ σώματι. Λέγει τοῦτο, διότι φθείρεται τὸ πολιτιμότερον, ὅπερ εἶναι ἡ ψυχή.

3. Ὅρα, ὅτι χωρίζει τὸ ἐγὼ ἀπὸ τῆς ψυχῆς, ἣν θεωρεῖ ὡς σύνοικον. Ἰδὲ Πολιτ. IX, 587 D.

4. Ἡ μεταφορὰ ἐλήφθη ἐκ τοῦ σώματος, ὅπερ ὄντως δύναται νὰ ἦναι σαθρόν. Τὸ ἐπίθετον τοῦτο ἐπεξηγεῖται διὰ τῶν δύο ἑπομένων.

5. Εἶναι ἐπεξήγησις τοῦ πᾶν ποιοῦσι. Τὰ τοιαῦτα ὄντως ἐγένοντο ἐν τοῖς ἀττικοῖς δικαστηρίοις.

6. Ἡ πρότασις αὕτη εἶναι περιγραφὴ ἑνὸς οὐσιαστικοῦ, μεγίστην δεινότητα, πιθανότητα ἢ ῥητορικήν. Λοιπὸν καὶ τὴν ῥητορικὴν ὁ Σωκράτης κατατάσσει εἰς τὰ ἄτιμα μέσα, δι' ὧν οἱ ἄδικοι ἀπαλλάσσονται τῆς τιμωρίας.

7. Ἆρα καταλαμβάνεις τὰ λογικῶς ἐξαγόμενα ἐκ τῆς συζητήσεως;

8. Συλλογίζεσθαι εἶναι τὸ συλλαμβάνειν τοὺς λόγους, τὸ συγκεφαλαιοῦν. Ἐνταῦθα ὁ Σχολιαστὴς παρατηρεῖ· « Σημαίνεται, ὅτι ὁ Ἀριστοτέλης τοῦ συλλογισμοῦ τὸν ὅρον ἐντεῦθεν εἴληφε σχεδὸν αὐταῖς λέξεσιν. »

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΩΛ. Κινδυνεύει.

ΣΩ. Τὸ δέ γε μὴ διδόναι ἐμμονὴ τοῦ κακοῦ;

ΠΩΛ. Ναί.

ΣΩ. Δεύτερον[1] ἄρα ἐστὶ τῶν κακῶν μεγέθει τὸ ἀδικεῖν· τὸ δὲ ἀδικοῦντα μὴ διδόναι δίκην πάντων μέγιστόν τε καὶ πρῶτον κακῶν πέφυκεν.

ΠΩΛ. Ἔοικεν.

ΣΩ. Ἆρ' οὖν περὶ τούτου, ὦ φίλε, ἠμφεσβητήσαμεν, σὺ μὲν
Ε τὸν Ἀρχέλαον εὐδαιμονίζων τὸν τὰ μέγιστα ἀδικοῦντα δίκην οὐδεμίαν διδόντα, ἐγὼ δὲ τοὐναντίον οἰόμενος, εἴτ' Ἀρχέλαος[2] εἴτ' ἄλλος ἀνθρώπων ὁστισοῦν μὴ δίδωσι δίκην ἀδικῶν, τούτῳ προσήκειν ἀθλίῳ εἶναι διαφερόντως[3] τῶν ἄλλων ἀνθρώπων, καὶ ἀεὶ τὸν ἀδικοῦντα τοῦ ἀδικουμένου ἀθλιώτερον εἶναι καὶ τὸν μὴ διδόντα δίκην τοῦ διδόντος; οὐ ταῦτ' ἦν τὰ ὑπ' ἐμοῦ λεγόμενα;[4]

ΠΩΛ. Ναί.

1. Τὰ ἐνταῦθα λεγόμενα φαίνονται ἀντιφατικὰ πρὸς τὰ πρὶν ἀποδεδειγμένα· διότι τὸ ἀδικεῖν δὲν ἐθεωρήθη ὡς δεύτερον, ἀλλ' ὡς τὸ μέγιστον κακόν. Διὰ τοῦτο ὁ μὲν Stallbaum εἰκάζει, ὅτι ἔπρεπε νὰ προστεθῇ τὸ δίκην διδόντα, ὁ δὲ Hirschig μεταλλάττει τὴν φράσιν οὑτωσί· Δεύτερον ἄρ' ἐστὶ τῶν κακῶν μεγέθει τὸ ἀδικοῦντα διδόναι δίκην. Κατὰ τὸν Kratz ὅμως ἐξηγεῖται· ἡ ἀδικία εἶναι μέγιστον κακὸν μὴ λαμβανομένου ὑπ' ὄψει τοῦ δυνατοῦ τῆς ἀπαλλαγῆς διὰ τοῦ δίκην διδόναι. Ἂν δὲ ληφθῇ ὑπ' ὄψει τοῦτο, τὸ ἀδικεῖν γίνεται δεύτερον κακὸν καὶ τὸ ἀδικοῦντα μὴ διδόναι δίκην πρῶτον κακῶν. Τοῦτο λέγει καὶ ἐν 509 Β. «καὶ μέγιστον τῶν κακῶν ἐστιν ἡ ἀδικία τῷ ἀδικοῦντι καὶ ἔτι τούτου μεῖζον μεγίστου ὄντος, εἰ οἷόν τε, τὸ ἀδικοῦντα μὴ διδόναι δίκην.»

2. Ὁ Σωκράτης πανταχοῦ δεικνύει ἀδιαφορίαν πρὸς τὸ πρόσωπον τοῦ Ἀρχελάου, ὃν ὁ Πῶλος ὡς πρότυπον εὐδαιμονίας ἐπεδείξατο.

3. Τὸ ἐπίρρημα τοῦτο δέχεται τὴν σύνταξιν συγκριτικοῦ, ὡς καὶ ἀλλαχοῦ π. χ. ἐν Κρίτωνι, 53, Α. «Οὕτω διαφερόντως τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις.» καὶ Φαίδ. 64, Ε.

4. Οὕτως ἐποίησεν ὁ φιλόσοφος, ὅπως ὁ Πῶλος λέγῃ τὰ αὐτὰ τῷ Σωκράτει, ὡς ὑπέσχετο ἐν 473 Α.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Οὐκοῦν ἀποδέδεικται ὅτι ἀληθῆ ἐλέγετο;

ΠΩΛ. Φαίνεται.

XXXVI. ΣΩ. Εἰεν·[1] εἰ οὖν δὴ ταῦτα ἀληθῆ, ὦ Πῶλε, τίς ἡ 480
μεγάλη χρεία ἐστὶ τῆς ῥητορικῆς; δεῖ μὲν γὰρ δὴ ἐκ τῶν νῦν ὡμολογημένων αὐτὸν ἑαυτὸν μάλιστα φυλάττειν ὅπως μὴ ἀδικήσει, ὡς ἱκανὸν[2] κακὸν ἔξοντα. οὐ γάρ;

ΠΩΛ. Πάνυ γε.

ΣΩ. Ἐὰν δέ γε ἀδικήσῃ ἢ αὐτὸς ἢ ἄλλος τις ὧν ἂν κήδηται, αὐτὸν ἑκόντα ἰέναι[3] ἐκεῖσε, ὅπου ὡς τάχιστα δώσει δίκην, παρὰ τὸν δικαστήν, ὥσπερ[4] παρὰ τὸν ἰατρόν, σπεύδοντα ὅπως B
μὴ ἐγχρονισθὲν τὸ νόσημα τῆς ἀδικίας ὕπουλον[5] τὴν ψυχὴν ποιήσει καὶ ἀνίατον· ἢ πῶς λέγωμεν, ὦ Πῶλε, εἴπερ τὰ πρότερον

1. Τοῦτο ὁ Πλάτων συχνάκις θέτει εἰς τὸ τέλος τῆς συζητήσεως. Ὁ Πῶλος διισχυρίσθη, ὅτι ὁ ῥήτωρ δὲν ἀσχολεῖται περὶ τὸ δίκαιον, ὡς ἐπίστευεν ὁ Γοργίας 461 Β. Κατὰ τὸν Σωκράτη, ἐὰν μὴ ἀσχολῆται περὶ τοῦτο, ἡ ῥητορικὴ εἶναι ἄχρηστος· διότι ἐν τῇ πολιτείᾳ οἱ ῥήτορες πράττουσιν οὐχὶ ὅσα θέλωσιν, ἀλλ' ὅσα δοκῇ αὐτοῖς 470 Β. Ἄρα ἡ ῥητορικὴ δὲν παρέχει δύναμιν, εἶναι ἄχρηστος. Ὡσαύτως καὶ ἡ δικανικὴ ῥητορικὴ οὐδένα σκοπὸν πληροῖ, διότι ἡ διαφυγὴ τῆς τιμωρίας εἶναι τὸ μέγιστον τῶν κακῶν.

2. Τὸ ἐπίθετον τοῦτο λέγει εἰρωνικῶς, διότι ὁ ἄνθρωπος δὲν ἔχει ἀνάγκην τοῦ κακοῦ. Εἰς τὸ ἔξοντα ἐννοεῖται ἡ μετοχὴ ἀδικοῦντα=ἐὰν ἀδικήσῃ.

3. Ἐκ τῶν ἡγουμένων ἐννοεῖται τὸ δεῖ.

4. Ὁ Deuschle τὸ ὥσπερ ἔτρεψεν εἰς ὡς καὶ ἔτυχε τῆς ἐπιδοκιμασίας τοῦ Keck. Ὁ Krüger φέρει παραπλήσιον χωρίον ἐκ τοῦ Ἰσαίου «ὡς βασιλέα πλέομεν ὥσπερ πρὸς δεσπότην.» Κατὰ τὸν Cron τὸ πὲρ δύναται νὰ ἐξαίρῃ τὴν σημασίαν, ὡς καὶ ἐν τῷ εἴπερ, δηλ. πρέπει νὰ πορεύηται εἰς τὸν δικαστὴν μετὰ τῆς αὐτῆς βεβαιότητος, μεθ' ἧς βέβαια πορεύεται πρὸς τὸν ἰατρόν.

5. Ἡ λέξις εἶναι σύνθετος ἐκ τῆς ὑπὸ καὶ οὐλὴ καὶ κυριολεκτικῶς λέγεται ἐπὶ πληγῶν καὶ ἑλκῶν, ἅπερ καίπερ ἄνωθεν κλείοντα, ὅμως κάτωθεν φθείρουσι τὸ σῶμα. Ἐντεῦθεν ἐλήφθη ἡ λέξις καὶ ἐπὶ ἠθικῆς σημασίας. Ἐκ τῆς συνθέσεως γίνεται δῆλον, ὅτι ἡ λέξις ἔχει ἐντονωτέραν σημασίαν τοῦ σαθρός. Ὑποτίθεται, ὅτι τὸ νόσημα ἐκ τῶν ἐκτὸς χωρεῖ εἰς τὸν πυρῆνα τῆς ψυχῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένει ἡμῖν ὁμολογήματα; οὐκ ἀνάγκη ταῦτα ἐκείνοις οὕτω μὲν συμφωνεῖν,[1] ἄλλως δὲ μή;

ΠΩΛ. Τί γὰρ δὴ φῶμεν, ὦ Σώκρατες;[2]

ΣΩ. Ἐπὶ μὲν ἄρα τὸ ἀπολογεῖσθαι ὑπὲρ τῆς ἀδικίας τῆς αὑτοῦ ἢ γονέων ἢ ἑταίρων ἢ παίδων ἢ πατρίδος ἀδικούσης οὐ χρήσιμος[3] οὐδὲν ἡ ῥητορικὴ ἡμῖν, ὦ Πῶλε, εἰ μὴ εἴ τις ὑπολάβοι ἐπὶ τοὐναντίον,[4] κατηγορεῖν δεῖν μάλιστα μὲν ἑαυτοῦ, ἔπειτα δὲ καὶ τῶν οἰκείων καὶ τῶν ἄλλων, ὃς ἂν ἀεὶ τῶν φίλων τυγχάνῃ ἀδικῶν, καὶ μὴ ἀποκρύπτεσθαι, ἀλλ' εἰς τὸ φανερὸν ἄγειν τὸ ἀδίκημα, ἵνα δῷ δίκην καὶ ὑγιὴς γένηται, ἀναγκάζειν δὲ καὶ αὑτὸν καὶ τοὺς ἄλλους μὴ ἀποδειλιᾶν, ἀλλὰ παρέχειν μύσαντα[7] καὶ ἀνδρείως, ὥσπερ τέμνειν καὶ κάειν ἰατρῷ, τὸ ἀγαθὸν καὶ καλὸν διώκοντα, μὴ ὑπολογιζόμενον τὸ ἀλγεινόν, ἐὰν μέν γε πληγῶν ἄξια ἠδικηκὼς ᾖ, τύπτειν παρέχοντα, ἐὰν δὲ δεσμοῦ, δεῖν, ἐὰν δὲ ζημίας, ἀποτίνοντα, ἐὰν δὲ φυγῆς, φεύγοντα, ἐὰν δὲ θανάτου, ἀποθνήσκοντα,[8] αὐτὸν πρῶτον ὄντα κατήγορον καὶ αὐ-

1. Καὶ ἐνταῦθα ἡ μεταφορὰ εἴληπται ἐκ τῆς μουσικῆς.

2. Ἡ ῥητορικὴ αὕτη ἐρώτησις ἰσοδυναμεῖ πρὸς κατάφασιν μετ' ἐμφάσεως.

3. Ὁ Γοργίας ἐπίστευεν, ὅτι ἡ ῥητορικὴ «ὡς ἔπος εἰπεῖν ἁπάσας τὰς δυνάμεις συλλαβοῦσα ὑφ' αὑτῇ ἔχει» 456 A.

4. Ἐκτὸς ἐάν, nisi si. Ὁ Σωκράτης ὁμολογεῖ, ὅτι τὰ ἐνταῦθα λεγόμενα δὲν συμβαίνουσιν ἐν τῷ πραγματικῷ κόσμῳ, ἀλλὰ λαμβάνει ὡς ὑποθετικά.

5. Δηλαδὴ χρήσιμον εἶναι τὴν ῥητορικήν. Ὥστε τὸ δεῖν κατηγορεῖν εἶναι ἐπεξήγησις τοῦ χρήσιμον εἶναι.

6. Ὁ καὶ ἔχει συμπερασματικὴν σημασίαν, διότι τὸ δίκην διδόναι εἶναι αἴτιον τοῦ ὑγιᾶ γίγνεσθαι.

7. Ὁ Bergk εἰκάζει, ὅτι πρέπει νὰ γράφηται μὴ μύσαντα. Ἡ γραφὴ ὅμως δικαίως ὑπὸ τῶν κριτικῶν ἀποδοκιμάζεται. Τὸ ῥῆμα μύω κυρίως σημαίνει κλείω τὸ στόμα, τὰ χείλη, τοὺς ὀφθαλμούς, ὡς ἐνταῦθα. Σημαίνει δὲ τὴν σταθερὰν ἀπόφασιν καὶ ἰσοδυναμεῖ πρὸς τὸ τυφλῶς, καὶ διὰ τοῦτο συνδέεται μετὰ τοῦ ἑπομένου ἐπιῤῥήματος ἀνδρείως. Ἄλλως τὸ μὴ ἐνταῦθα ἤθελεν εἶναι ἄτοπον, ἀφ' οὗ προηγεῖται τὸ μὴ ἀποδειλιᾶν.

8. Ὁ φιλόσοφος διὰ τοῦ ἰδίου θανάτου ἀπέδειξεν, ὅτι ἡ θεωρία αὐτοῦ δὲν εὑρίσκεται εἰς ἀντίφασιν πρὸς τὴν πρᾶξιν. Καὶ ἐπὶ τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ καὶ τῶν ἄλλων οἰκείων καὶ ἐπὶ τοῦτο χρώμενον τῇ ῥητορικῇ, ὅπως ἂν καταδήλων τῶν ἀδικημάτων γιγνομένων ἀπαλάττωνται τοῦ μεγίστου κακοῦ, ἀδικίας. φῶμεν οὕτως ἢ μὴ φῶμεν, ὦ Πῶλε;

ΠΩΛ. Ἄτοπα μέν, ὦ Σώκρατες, ἔμοιγε δοκεῖ, τοῖς μέντοι ἔμ- Ε προσθεν ἴσως σοὶ[1] ὁμολογεῖται.

ΣΩ. Οὐκοῦν ἢ κἀκεῖνα λυτέον[2] ἢ τάδε ἀνάγκη συμβαίνειν;

ΠΩΛ. Ναί, τοῦτό γε οὕτως ἔχει.

ΣΩ. Τοὐναντίον[3] δέ γε αὖ μεταβαλόντα, εἰ ἄρα δεῖ τινα κακῶς ποιεῖν, εἴτ' ἐχθρὸν[4] εἴτε ὁντινοῦν, ἐὰν μόνον μὴ αὐτὸς ἀδικῆ-

Πλάτωνος ἀπουδαίως ἐπέδρασαν τὰ Γοργίεια σχήματα.

1. Ἡ δοτικὴ τῆς προσωπικῆς ἀντωνυμίας παρέσχε πράγματα τοῖς κριτικοῖς, ἐξ ὧν ὁ Heindorf καὶ ὁ Κοραῆς πιστεύουσι τὴν ἐξάλειψιν. Ἴσως ὅμως ἡ δοτικὴ αὕτη δὲν εἶναι περιττή, ἀλλὰ σκοπὸν ἔχει νὰ ἐξασθενήσῃ τὴν ὁμολογίαν, δηλ. εἶναι δοτικὴ ἠθική, ὡς λέγει ὁ Jahn. Ἐπὶ τῷ αὐτῷ σκοπῷ ἐτέθη καὶ τὸ ἴσως.

2. Ἐπειδὴ ὁ Πῶλος τὰς συνεπείας ἐξήρτησεν ἐκ τῶν πρὶν ὡμολογημένων, ὁ Σωκράτης ἀποκρίνεται· Λοιπὸν ἢ καὶ ἐκεῖνα πρέπει νὰ ἀφαιρέσωμεν (νὰ παύσωσιν ὑπάρχοντα) ἢ εἶναι ἀνάγκη ταῦτα λογικῶς νὰ ἐξάγωνται. Οὕτως ἐματαίωσε τὴν φαινομένην ἀμφιβολίαν.

3. Τρεῖς λέξεις ἐχούσας συγγενῆ σημασίαν ἐπεσώρευσε· τὸ αὖ σημαίνει ὑπ' ἄλλην ὄψιν, τὸ δὲ μεταβαλόντα ἀντιστρόφως. Κατὰ τὴν πρώτην ὄψιν ἐξήτασεν ὁ φιλόσοφος, πῶς διὰ τῆς ῥητορικῆς δύνανταί τις νὰ ὠφελήσῃ ἑαυτὸν καὶ τοὺς φίλους· κατὰ ταύτην δὲ ἐξετάζει, πῶς δύναταί τις νὰ βλάψῃ τοὺς ἐχθρούς. Ἡ πρώτη εἶναι ἠθική, ἡ δευτέρα ἀνήθικος. Ἀλλὰ περὶ ἀμφοτέρων δὲν λέγει σπουδάζων ὁ φιλόσοφος, οὗ ἡ ἀρχὴ εἶναι ἥδε· «οὔτε ἀνταδικεῖν δεῖ οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων οὐδ' ἂν ὁτιοῦν πάσχῃ» ἐν Κρίτων. 49. Ὥστε ἡ δευτέρα αὕτη χρῆσις τῆ ῥητορικῆ γίνεται κατὰ τὸ πνεῦμα τῶν ῥητόρων. Κατὰ τὸν Kratz ἡ μετοχὴ μεταβαλόντα ἐτέθη κατ' αἰτιατικὴν ὡς ἀποδιδομένη εἰς τὸ ὑποκείμενον τοῦ ἑπομένου ποιεῖν, ἀλλ ὀρθότερον ὁ Münscher παρατηρεῖ, ὅτι ἀποδίδοται εἰς τὸ παρασκευαστέον=δεῖ παρασκευάζειν, ὅπου ἐξακολουθεῖ διὰ τῶν μετοχῶν πράττοντα καὶ λέγοντα.

4. Ἐπεξηγεῖ τὸ τινά, ὡς γίνεται δῆλον ἐκ τῆς ἑπομένης φράσεως, ἐὰν δὲ ἄλλον ἀδικῇ ὁ ἐχθρός.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται ὑπὸ τοῦ ἐχθροῦ· τοῦτο μὲν γὰρ εὐλαβητέον[1]. ἐὰν δὲ ἄλλον ἀδικῇ ὁ ἐχθρός, παντὶ τρόπῳ παρασκευαστέον καὶ πράττοντα
481 καὶ λέγοντα, ὅπως μὴ δῷ δίκην μηδὲ ἔλθῃ παρὰ τὸν δικαστήν·[2] ἐὰν δὲ ἔλθῃ, μηχανητέον, ὅπως ἂν διαφύγῃ καὶ μὴ δῷ δίκην ὁ ἐχθρός, ἀλλ' ἐάν τε χρυσίον ἡρπακὼς ἤ πολύ, μὴ ἀποδιδῷ τοῦτο, ἀλλ' ἔχων ἀναλίσκηται καὶ εἰς ἑαυτὸν καὶ εἰς τοὺς ἑαυτοῦ ἀδίκως καὶ ἀθέως, ἐάν τε θανάτου ἄξια ἠδικηκὼς ᾖ, ὅπως μὴ ἀποθανεῖται, μάλιστα μὲν μηδέποτε, ἀλλ' ἀθάνατος[3] ἔσται πονηρὸς ὤν· εἰ δὲ μή, ὅπως ὡς πλεῖστον χρόνον βιώσεται τοιοῦτος
B ὤν· ἐπὶ τὰ τοιαῦτα[4] ἔμοιγε δοκεῖ, ὦ Πῶλε, ἡ ῥητορικὴ χρήσιμος εἶναι, ἐπεὶ τῷ γε μὴ μέλλοντι ἀδικεῖν[5] οὐ μεγάλη τίς μοι δοκεῖ ἡ χρεία αὐτῆς εἶναι, εἰ[6] δὴ καὶ ἔστι τις χρεία, ὡς ἔν γε τοῖς πρόσθεν οὐδαμῇ ἐφάνη οὖσα.

XXXVII. ΚΑΛ. Εἰπέ μοι,[7] ὦ Χαιρεφῶν, σπουδάζει[8] ταῦτα Σωκράτης ἢ παίζει;

1 Ἂν ὁ ἐχθρὸς βλάψῃ αὐτὸν τὸν ῥήτορα, δὲν πρέπει νὰ ὑπερασπίσῃ τὸν ἐχθρόν· διότι καὶ τὸ ἀδικεῖσθαι εἶναι κακόν.

2. Κατὰ τὴν φαντασιωτικὴν ταύτην περίστασιν τῆς χρήσεως τῆς ῥητορικῆς ἔχει τὸ συμφέρον ὁ ῥήτωρ, ὅπως ὁ ἐχθρὸς αὐτοῦ μὴ τιμωρηθῇ, ἵνα μὴ ἀπαλλαγῇ τῆς νόσου, ἤτοι τῆς ἀδικίας.

3. Τοῦτο μετὰ εἰρωνείας λέγει.

4 Ἐννοεῖ τὰς δύο περιστάσεις, τὴν κατηγορίαν ἑαυτοῦ καὶ τῶν φίλων καὶ τὴν ὑπεράσπισιν τῶν ἐχθρῶν.

5. Ἐν ἄλλαις λέξεσιν ἡ ῥητορικὴ εἶναι ὅπλον τῆς ἀδικίας.

6. Ὁ Deuschle ἐνόμισεν, ὅτι διὰ τῆς φράσεως ταύτης ὁ Σωκράτης ἀποσύρει τὴν ἀναγνώρισιν τῆς ὠφελείας τῆς ῥητορικῆς, διότι ἡ εἰρημένη χρῆσις ταύτης, δὲν στηρίζεται ἐπὶ τῆς ἠθικῆς. Τοὐναντίον κατὰ τὸν Münscher ἐν ἀντιθέσει πρὸς τὴν οὐ μεγάλην χρείαν τῆς ῥητορικῆς ἐνταῦθα λέγει, εἰ καὶ ὑποθετικῶς, ὅτι δύναται νὰ ὑπάρξῃ ἠθικὴ χρῆσις ταύτης. Τῇ ἑρμηνείᾳ τοῦ χωρίου τούτου ἀποδίδει μεγάλην σπουδαιότητα ὁ ἀνήρ· διότι ἐντεῦθεν ἐξαρτᾶται ἡ κατανόησις τοῦ ὅλου διαλόγου. Ὁ Σωκράτης δὲν ἀρνεῖται ἀπολύτως πᾶσαν ἀξίαν τῆς ῥητορικῆς, ἀλλὰ μόνον τὴν ὑπὸ τοῦ Πώλου αὐτῇ ἀποδοθεῖσαν Κατὰ τὸν Münscher περὶ ἀγαθῆς ῥητορικῆς δὲν πραγματεύεται ἀκριβέστερον, ἀλλὰ καὶ ἀλλαχοῦ ὑπαινίσσεται, ἐν 527C «καὶ τῇ ῥητορικῇ οὕτω χρηστέον, ἐπὶ τὸ δίκαιον ἀεί».

7. Ὁ Καλλικλῆς δὲν ἄρχεται

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΧΑΙ. Ἐμοὶ μὲν δοκεῖ,[1] ὦ Καλλίκλεις, ὑπερφυῶς σπουδάζειν· οὐδὲν μέντοι οἷον τὸ αὐτὸν ἐρωτᾶν.[2]

ΚΑΛ. Νὴ τοὺς θεοὺς ἀλλ' ἐπιθυμῶ. εἰπέ[3] μοι, ὦ Σώκρατες, C πότερόν σε φῶμεν νυνὶ σπουδάζοντα ἢ παίζοντα; εἰ μὲν γὰρ σπουδάζεις τε καὶ τυγχάνει ταῦτα ἀληθῆ ὄντα ἃ λέγεις, ἄλλο τι[5] ἢ ἡμῶν ὁ βίος ἀνατετραμμένος ἂν εἴη τῶν ἀνθρώπων[7] καὶ πάντα τὰ ἐναντία πράττομεν,[8] ὡς ἔοικεν, ἢ ἃ δεῖ;

τῆς συζητήσεως προπετῶς οὐδὲ θρασέως, ὡς εἴδομεν τὸν Πῶλον, ἀλλὰ δεικνύει ἠρεμίαν πνεύματος· χαρακτηρίζουσαν ἄνδρα γινώσκοντα μετὰ χάριτος νὰ πράττῃ τὰ ἑαυτοῦ. Ἐρωτᾷ δέ, ὡς καὶ ἐν ἀρχῇ τοῦ διαλόγου, οὐχὶ αὐτὸν τὸν Σωκράτη, ἀλλὰ τὸν Χαιρεφῶντος, ὅπως ἴδῃ, ἂν καὶ ἄλλος μετέχῃ τῆς ἑαυτοῦ γνώμης. Ἡ πρὸς τρίτον ἐρώτησις σκοπεῖ νὰ θέσῃ ὑπὸ ἀμφιβολίαν τοὺς λόγους τοῦ Σωκράτους. Φαίνεται ὅμως, ὅτι ὁ Καλλικλῆς καὶ ὄντως δὲν ὠργίσθη διὰ τὴν ἧτταν τοῦ τε Γοργίου καὶ τοῦ Πώλου, διότι οὗτος ἐκ τῶν προτέρων καταφρονεῖ τῆς διαλεκτικῆς.

8 Τὸ σπουδάζειν συχνάκις ἀντιτίθεται παρὰ Πλάτωνι πρὸς τὸ παίζειν. Εἶναι βραχυλογία ἀντὶ σπουδάζων ἢ παίζων ταῦτα λέγει.

1. Ὁ Χαιρεφῶν οὐ μόνον δὲν μετέχει τῆς γνώμης τοῦ Καλλικλέους, ἀλλὰ καὶ δεικνύει εἰς αὐτόν, ὅτι πρέπει νὰ ἐρωτήσῃ αὐτὸν τὸν λέγοντα.

2. Τὴν φράσιν ταύτην ἐν ἀρχῇ τοῦ διαλόγου μετεχειρίσθη ὁ Καλλικλῆς περὶ τοῦ Γοργίου, ἐνταῦθα δὲ ποιεῖ χρῆσιν τῆς αὐτῆς ὁ Χαιρεφῶν οὐχὶ ἄνευ σκοποῦ. Οἱονεὶ ὁ μαθητὴς τοῦ Σωκράτους θέλει νὰ ἀπωθώσῃ τὰ ἴτα εἰς τὸν πολιτικόν.

3. Ὁ ἀλλὰ τίθεται καὶ μετὰ τὴν φράσιν τοῦ ὅρκου, ὡς καὶ ἀλλαχοῦ, 463D. «Μὰ τὸν Δία, ὦ Σώκρατες, ἀλλ' ἐγὼ οὐδὲ αὐτὸς συνίημι ὅ τι λέγει..»

4. Δὲν συνδέονται μετὰ τῶν ἡγουμένων, διότι ἐκεῖνα μὲν λέγονται πρὸς τὸν Χαιρεφῶντα, ταῦτα δὲ πρὸς τὸν Σωκράτη.

5. Δηλαδὴ συμβαίνει.

6. Ἡ εἰκὼν ἐλήφθη ἐκ τῆς ἀνατροπῆς πραγμάτων ἐκ διαφόρων περιστάσεων, ἅπερ δὲν ἔχουσι τὴν φυσικὴν αὐτῶν θέσιν. Ὄντως αἱ δύο περιστάσεις τῆς χρήσεως τῆς ῥητορικῆς, τὸ κατηγορεῖν ἑαυτὸν καὶ τῶν φίλων καὶ τὸ ὑπερασπίζειν τοὺς ἐχθροὺς ἀδικήσαντας εἶναι ἀνατροπὴ τῶν καθεστώτων. Ὁ Καλλικλῆς ὅμως λέγει τοῦτο γενικώτερον.

7. Δὲν λέγει ἡμῶν, ἀλλὰ τῶν ἀνθρώπων, ἵνα δώσῃ εὐρυτέραν σημασίαν.

8. Ἡ φράσις αὕτη ἰσοδυναμεῖ πρὸς τήν, καὶ πάντα ἃ πράττομεν, ἔοικε τὰ ἐναντία εἶναι ἢ ἃ δεῖ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Ὦ Καλλίκλεις,[1] εἰ μή τι[2] ἦν τοῖς ἀνθρώποις πάθος, τοῖς μὲν ἄλλο τι, τοῖς δὲ ἄλλο τι, τὸ αὐτό, ἀλλά τις[3] ἡμῶν ἴδιόν τι
D ἔπασχε πάθος ἢ[4] οἱ ἄλλοι, οὐκ ἂν ἦν ῥᾴδιον ἐνδείξασθαι τῷ ἑτέρῳ τὸ ἑαυτοῦ πάθημα. λέγω δ' ἐννοήσας, ὅτι ἐγώ τε καὶ σὺ νῦν τυγχάνομεν ταὐτόν τι πεπονθότες, ἐρῶντε δύο ὄντε δυοῖν ἑκάτερος, ἐγὼ μὲν Ἀλκιβιάδου[5] τε τοῦ Κλεινίου καὶ φιλοσοφίας,

1. Ἐν τῇ ἀποκρίσει τοῦ Σωκράτους δύναταί τις νὰ διδῇ τὴν λεπτοτάτην εἰρωνείαν, ἣν καὶ ἐν ἀρχῇ τοῦ διαλόγου ἐθαυμάσαμεν. Ἡ κυρία δὲ ἰδέα τοῦ λόγου τοῦ Σωκράτους εἶναι, ὅτι, ἐπειδὴ ἡ περὶ τοῦ βίου θεωρία ἑκατέρου εἶναι διάφορος, συνεννόησις περὶ τοῦ προκειμένου ζητήματος δὲν εἶναι ἐφικτή, εἰμὴ ὅταν ἐξετασθῇ ἡ βάσις τῆς διαφορᾶς. Ἡ ἀφοσίωσις δὲ τοῦ Σωκράτους πρὸς τὴν φιλοσοφίαν μετά τινος παιδιᾶς παραβάλλεται πρὸς τὰ παιδικά.

2. Ἡ σειρὰ τῶν λέξεων εἶναι αὕτη· Εἰ τοῖς ἀνθρώποις μὴ ἦν πάθος τι τὸ αὐτό, τοῖς μὲν ἄλλο τι, τοῖς δὲ ἄλλο τι, ἀλλά.... Τὸ πάθος εἶναι ἕν, διὰ δὲ τῶν φράσεων, τοῖς μὲν ἄλλο τι, τοῖς δὲ ἄλλο τι, ἐκδηλοῦνται τὰ διάφορα φαινόμενα τοῦ αὐτοῦ πάθους. π. χ. ἄλλος ἀγαπᾷ τοῦτο καὶ ἄλλος ἐκεῖνο· Ἂν δέ τις δὲν εἶχε τὸ πάθος τοῦ ἔρωτος, ὁ ἐρῶν δὲν ἠδύνατο νὰ δείξῃ τὸ ἑαυτοῦ πάθος τῷ μὴ ἐρῶντι. Νῦν ὅμως ἐπειδὴ καὶ ὁ Σωκράτης καὶ ὁ Καλλικλῆς ἔχουσι τὸ πάθος τοῦ ἔρωτος, δύνανται νὰ συνεννοηθῶσιν.

3. Ἐνταῦθα ἔχει τὴν σημασίαν τοῦ ἕκαστος.

4. Τὸ ἴδιον δέχεται τὴν σύνταξιν τοῦ ἕτερος καὶ ἄλλος, συντασσόμενον μετὰ τοῦ ἢ τοῦ διαφορικοῦ· διότι εἰς τὴν σημασίαν ταύτην περιπίπτει ἐνταῦθα.

5. Κατὰ τὸ ἔθος τῆς ἐποχῆς ταύτης οἱ νέοι, μάλιστα τῶν ἐπιφανεστέρων οἴκων, ἐξεπαιδεύοντο ὑπὸ ἀνδρῶν διακρινομένων κατὰ τὰς γνώσεις αὐτῶν. Ὁ Σωκράτης τὴν παίδευσιν τῶν νέων ἐθεώρει τὸ πρόβλημα τοῦ βίου. Ἡ σχέσις τοῦ διδασκάλου πρὸς τοὺς μαθητὰς ἦτο οὕτω τρυφερά, ὥστε ἔρως ὠνομάζετο. Ὁ δὲ Σωκράτης ἠγάπα τὸν Ἀλκιβιάδην διὰ τὴν μεγάλην αὐτοῦ εὐφυΐαν. Ἐπειδή, δὲ ὁ νέος οὗτος ἦτο καὶ εὐειδής, παίζων λέγει αὐτὸν τὰ παιδικά, ὡς καὶ ἐν Πρωταγόρ. ἐν ἀρχῇ. «Πόθεν, ὦ Σώκρατες, φαίνει, ἢ δῆλα δὴ ὅτι ἀπὸ κυνηγεσίου τοῦ περὶ τὴν Ἀλκιβιάδου ὥραν.» Ὁ δὲ Kratz παρατηρεῖ, ὅτι ὁ Σωκράτης ἐξ ἀβροφροσύνης ἐξισοῖ ἑαυτὸν πρὸς τὸν Καλλικλέα. Τοιοῦτον εἶδος ἀβροφροσύνης μόνον ὁ ἀρχαῖος πολιτισμὸς ἠδύνατο νὰ ἐπιτρέψῃ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σὺ δὲ τοῦ τε Ἀθηναίων δήμου[1] καὶ τοῦ Πυριλάμπους;[2] αἰσθάνομαι[3] οὖν σου ἑκάστοτε, καίπερ ὄντος δεινοῦ, ὅτι, ὁπόσ' ἂν φῇ σου τὰ παιδικὰ[4] καὶ ὅπως ἂν φῇ ἔχειν, οὐ δυναμένου ἀντιλέγειν, ἀλλ' ἄνω καὶ κάτω μεταβαλλομένου.[5] ἔν τε τῇ ἐκκλησίᾳ, Ε ἐάν τι σοῦ λέγοντος ὁ δῆμος ὁ Ἀθηναίων μὴ φῇ οὕτως ἔχειν, μεταβαλλόμενος λέγεις ἃ ἐκεῖνος βούλεται, καὶ πρὸς τὸν Πυριλάμπους νεανίαν τὸν καλὸν τοῦτον τοιαῦτα ἕτερα[7] πέπονθας· τοῖς γὰρ τῶν παιδικῶν βουλεύμασί[8] τε καὶ λόγοις οὐχ οἷός τ' εἶ έναν-

1. Ὁ Σωκράτης παίζει διὰ τῆς λέξεως δῆμος, ἥτις ἔχει διπλῆν σημασίαν, δηλ. σημαίνει τὸν δῆμον τῶν Ἀθηναίων καὶ τὸν Δῆμον τὸν τοῦ Πυριλάμπους υἱόν, ὅστις διὰ τὸ ἔξοχον αὐτοῦ κάλλος ἠγαπᾶτο ὑπὸ πολλῶν, ὡς γινώσκομεν ἐκ τοῦ Ἀριστοφάνους ἐν Σφηξί, 98.

Καὶ νὴ Δί' ἦν ἴδῃ γέπου γεγραμμένον
υἱὸν Πυριλάμπους ἐν θύρᾳ Δῆμον καλόν,
ἰὼν παρέγραψε πλησίον «κημὸς καλός.»

Οὕτως ὁ μὲν Καλλικλῆς σκώπτει τὸν φιλόσοφον διὰ τὰς παραδόξους φιλοσοφικὰς θεωρίας, ὁ δὲ Σωκράτης διὰ τὸν ἀπολαυστικὸν καὶ ἀκόλαστον βίον. Εὐφυέστατα δὲ παραβάλλει τὸν δῆμον τῶν Ἀθηναίων πρὸς παῖδα. Ὡς οὗτος ἔχει πολλοὺς ἐραστάς, οὕτως ὁ δῆμος πολλοὺς κόλακας ἢ ῥήτορας

2. Ὁ Πυριλάμπης ἦτο θεῖος τοῦ Χαρμίδου καὶ ἔξοχος διὰ τὸ κάλλος αὐτοῦ. Οὗτος ἐπέμφθη καὶ πρέσβυς πρὸς τὸν μέγαν βασιλέα, Πλ. Χαρμίδ. 158.

3. Τὸ αἰσθάνεσθαι ἔχει δύο συντάξεις, αἰσθάνομαί σου ὅτι οὐ δύνασαι, ἢ αἰσθάνομαί σου οὐ δυναμένου. τὰς δύο ταύτας συντάξεις ἀνέμιξεν εἰς μίαν, ὡς καὶ ἐν Ἀπολογ. 37, Β «ἀντὶ τούτου δὴ ἔλωμαι ὧν εὖ οἶδ' ὅτι κακῶν ὄντων» Ὁ Hirschig ὅμως ὀβελίζει τὸ ὅτι

4. Ἀναφέρεται καὶ εἰς τὸν δῆμον τῶν Ἀθηναίων καὶ εἰς τὸν υἱὸν τοῦ Πυριλάμπους, ὡς ἐν τοῖς ἑπομένοις γίνεται δῆλον.

5. Δηλαδὴ πρὸς πάσας τὰς διευθύνσεις, ὡς καὶ ἐν Φαίδωνι, 96, Α. «Πολλάκις ἐμαυτὸν ἄνω κάτω μετέβαλλον» καὶ Φαίδρ. 272. Β.

6. Οὐχὶ ἄνευ σκοποῦ ὁ Σωκράτης ἔλαβε τὸ παράδειγμα τοῦτο, ἐν ᾧ ἡ ἀστάθεια τῶν ῥητόρων ἐκδηλοῦται. Ὑπῆρξαν ὅμως καὶ ῥήτορες πρὸς τὰς ὀρέξεις τοῦ δήμου ἀντιστάντες ὡς ὁ Περικλῆς, ὁ Λυκοῦργος καὶ ὁ Φωκίων.

7. Δηλαδὴ ἄλλα ὁμοιάζοντα πρὸς ἐκεῖνα, ἃ πάσχεις ἐν τῇ ἐκκλησίᾳ τοῦ δήμου.

8. Βουλεύματα ἐνταῦθα εἶναι αἱ εὐτράπελοι προτάσεις τῶν παίδων. Σημειωτέον, ὅτι ἐν ἑνὶ χειρογράφῳ εὕρηται β ο υ λ ή μ α σ ι, ὅπως προτιμᾷ ὁ Hirschig.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τιοῦσθαι,[1] ὥστε, εἴ τίς σου λέγοντος ἑκάστοτε, ἃ διὰ τούτους λέγεις, θαυμάζοι, ὡς ἄτοπά ἐστιν, ἴσως εἴποις ἂν αὐτῷ, εἰ βούλοιο
482 τἀληθῆ λέγειν, ὅτι, εἰ μήτις παύσει τὰ σὰ παιδικὰ[2] τούτων τῶν λόγων, οὐδὲ σὺ παύσει ποτὲ ταῦτα λέγων. νόμιζε τοίνυν καὶ παρ' ἐμοῦ χρῆναι ἕτερα τοιαῦτα ἀκούειν, καὶ μὴ θαύμαζε ὅτι ἐγὼ ταῦτα λέγω, ἀλλὰ τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά,[3] παῦσον ταῦτα λέγουσαν. λέγει γάρ, ὦ φίλε ἑταῖρε,[4] ἀεὶ ἃ νῦν ἐμοῦ ἀκούεις, καί μοί ἐστι τῶν ἑτέρων παιδικῶν πολὺ ἥττον ἔμπλη-
κτος· ὁ μὲν γὰρ Κλεινίεως οὗτος ἄλλοτε ἄλλων ἐστὶ λόγων,[6] ἡ δὲ φιλοσοφία ἀεὶ τῶν αὐτῶν· λέγει δὲ ἃ σὺ νῦν θαυμάζεις,
Β παρῆσθα δὲ καὶ αὐτὸς λεγομένοις· ἢ οὖν ἐκείνην ἐξέλεγξον, ὅπερ ἄρτι ἔλεγον,[8] ὡς οὐ τὸ ἀδικεῖν ἐστι καὶ ἀδικοῦντα δίκην μὴ δι-

1. Τὸ αὐτὸ ἐν τοῖς ἔμπροσθεν εἶπε διὰ τῆς φράσεως, οὐ δυναμένου ἀντιλέγειν.

2 Ὡς τὰ παιδικὰ εἶναι ἡ αἰτία τῆς ἀσταθείας τοῦ Καλλικλέους, οὕτως ἡ φιλοσοφία τῆς εὐσταθείας τοῦ Σωκράτους.

3. Ὅ τι εἶναι τὰ παιδικὰ διὰ τὸν Καλλικλέα, τὸ αὐτὸ εἶναι ἡ φιλοσοφία διὰ τὸν Σωκράτη. Κατὰ κανόνα ἐν ταῖς παραβολαῖς, ὅταν ἐπαινῶμεν πρέπει νὰ λαμβάνωμεν τὴν παραβολὴν ἐκ τῶν κρειττόνων, ὅταν δὲ ψέγωμεν ἐκ τῶν ἡττόνων. Ὁ Σωκράτης συνήθως παραβαίνει τὸν κανόνα τοῦτον χάριν μετριοφροσύνης.

4. Ὀνομάζει τὸν Καλλικλέα ἑταῖρον, διότι ἀμφότεροι ἔχουσι τὸ αὐτὸ πάθος, τὸν ἔρωτα.

5 Φέρεται καὶ ἡ γραφὴ ἔκβλητος, ἥτις δικαίως ἀποδοκιμάζεται, Πλάτ. ἐν Λύσιδ. 214 C. «Τοὺς κακοὺς μηδέποτε ὁμοίους μηδ' αὐτοὺς αὑτοῖς εἶναι, ἀλλ' ἐμπλήκτους τε καὶ ἀστιβήτους . . . . ἄλλοτε ἄλλων λόγων». Κατὰ μὲν τὸν Σουίδαν· «ἔμπληκτοι, κοῦφοι, εὐμετάβλητοι», κατὰ δὲ τὸν Εὐστάθιον· «ἔμπληκτον, ἄστατον, εὐμεταβλητον».

6 Εἶναι ἀνάλογος πρὸς τὴν φράσιν τῆς αὐτῆς γνώμης εἶναι. Σημαίνει δὲ, ὅτι ὁ τοῦ Κλεινίου υἱὸς Ἀλκιβιάδης ἄλλοτε ἄλλα λέγει.

7. Ἐκ τῆς ἐξηρτημένης προτάσεως προέβη εἰς ἀνεξάρτητον. Διὰ τοῦ δὲ γίνεται ἀντίθεσις πρὸς τὴν ἔννοιαν τοῦ θαυμάζεις. Ὁ Καλλικλῆς δὲν ἔπρεπε νὰ ἐκπλαγῇ διὰ τὸ ἀποτέλεσμα τοῦ διαλόγου πρὸς τὸν Πῶλον· διότι παρὼν ἠδύνατο νὰ ἐγείρῃ ἀντιρρήσεις, ὅπου ἐνόμιζεν, ὅτι τὰ λεγόμενα δὲν ἔχουσιν ὀρθῶς.

8. Ἡ φράσις αὕτη ποιεῖ τὴν μετάβασιν ἀπὸ τοῦ προσωπικοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δόναι ἁπάντων ἔσχατον κακῶν· ἢ εἰ τοῦτο ἐάσεις ἀνέλεγκτον, μὰ τὸν κύνα[1] τὸν Αἰγυπτίων[2] θεόν, οὗ σοι ὁμολογήσει Καλλικλῆς,[3] ὦ Καλλίκλεις, ἀλλὰ διαφωνήσει[4] ἐν ἅπαντι τῷ βίῳ. καίτοι ἔγωγε οἶμαι, ὦ βέλτιστε, καὶ τὴν λύραν μοι κρεῖττον εἶναι ἀναρμοστεῖν τε καὶ διαφωνεῖν, καὶ χορὸν ᾧ χορηγοίην, καὶ πλείστους ἀνθρώπους μὴ ὁμολογεῖν μοι ἀλλ' ἐναντία λέγειν μᾶλλον, ἢ ἕνα ὄντα ἐμὲ ἐμαυτῷ ἀσύμφωνον εἶναι καὶ ἐναντία λέγειν. C

εἰς τὸ πραγματικόν. Κατὰ μὲν τὸν Cron ἡ φράσις ἀποδίδοται εἰς τὸ 480E «Οὐκοῦν ἢ ἐκεῖνα λυτέον ἢ τάδε ἀνάγκη συμβαίνειν;», ὅπερ δὲν εἶναι ὀρθόν, ὡς παρατηρεῖ ὁ Münscher· διότι ἡ φράσις αὕτη ὑπομιμνήσκει τὴν ἄρτι εἰρημένην, ἀλλὰ τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά, παῦσον ταῦτα λέγουσαν. Ἐκ τῆς ἑπομένης προτάσεως ἐξαρτᾶται ἡ τοῦ βίου ἀνατροπή, δι' ἣν ἐξεπλάγη ὁ Καλλικλῆς.

1. Περὶ τῶν τοιούτων ὅρκων ὁ Ἀθήναιος παρατηρεῖ ἐν σελ. 370. «Καὶ οὐ παράλογον εἰ κατὰ τῆς κράμβης τινὲς ὤμνυον, ὁπότε καὶ Ζήνων ὁ Κιτιεὺς ὁ τῆς στοᾶς κτίστωρ μιμούμενος τὸν κατὰ τῆς κυνὸς ὅρκον Σωκράτους καὶ αὐτὸς ὤμνυεν τὴν κάππαριν, ὡς Ἔμπιδός φησιν ἐν ἀπομνημονεύμασιν.» Τοὺς τοιούτους ὅρκους ὁ Σωκράτης ποιεῖ μετά τινος παιδιᾶς.

2. Ὁ Stallbaum γράφει Αἰγύπτιον, παραλαβὼν τὴν γραφὴν ἐκ τοῦ Ὀλυμπιοδώρου, ὅστις λέγει· «Αἰγύπτιον εἶπεν, ἐπειδὴ μάλιστα πάντων οἱ Αἰγύπτιοι τοῖς συμβόλοις ἐκέχρηντο.»

3. Κατὰ τὸν Ὀλυμπιόδωρον «Εἰ ἀνέλεγκτον ἐάσεις τὸν λόγον, ὦ Καλλίκλεις, καὶ μὴ θελήσεις ζητηθῆναι τοὺς λόγους, οὐδέποτέ σοι συμφωνήσει ὁ Καλλικλῆς ἀντὶ τοῦ οὐδέποτε σαυτῷ συμφωνήσεις, ἀλλ' ἐν ἅπαντι τῷ βίῳ διαφωνήσεις τυφλώττων. Κάλλιον δέ γε λύρας χορδὰς διαφωνῆσαι καὶ μὴ ποιεῖν ἁρμονίαν, ἤνουν χορὸν διαφωνῆσαι, καὶ ψυχὴν αὐτὴν ἑαυτῇ μάχεσθαι καὶ διαφωνεῖν.» Διὰ τοῦ κυρίου ὅμως ὀνόματος εἰκόνισε τὴν διαφωνίαν ζωηροτέραν.

4. Ὡς διάφοροι χορδαὶ τῆς λύρας ἀποτελοῦσι διαφωνίαν, οὕτω καὶ αἱ διάφοροι ἀρχαὶ τῆς ψυχῆς.

5. Ἔθηκεν εὐκτικήν, διότι χορηγοὶ ἠδύναντο νὰ γείνωσιν οὐχὶ πένητες, ὡς ὁ Σωκράτης, ἀλλὰ πλούσιοι, ὡς ὁ Καλλικλῆς. Ὡς δὲ ἡ ἐπιτυχία τοῦ χορηγοῦ κατὰ τὰ ἔθιμα τῶν Ἀθηναίων ἐθεωρεῖτο θρίαμβος, οὕτως ἡ ἀποτυχία ἐγίνετο πρόξενος μεγάλης λύπης καὶ ταπεινώσεως. Ὅμως ὁ Σωκράτης καὶ τὴν ταπείνωσιν ταύτην προτιμᾷ τῆς διαφωνίας τῶν ἀρχῶν τῆς ψυχῆς.

6. Τοῦτο ἦτο περιττόν, ἀφ' οὗ προηγήθη τὸ κρεῖττον, ἀλλὰ διὰ τὰς παρεμπεσούσας λέξεις ἐπανε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

XXXVIII ΚΑΛ. Ὦ Σώκρατες,[1] δοκεῖς νεανιεύεσθαι[2] ἐν τοῖς λόγοις ὡς ἀληθῶς δημηγόρος ὤν· καὶ νῦν ταῦτα δημηγορεῖς ταὐτὸν παθόντος Πώλου πάθος, ὅπερ Γοργίου κατηγόρει[4] πρὸς σέ[5] παθεῖν. ἔφη γάρ που Γοργίαν ἐρωτώμενον ὑπὸ σοῦ, ἐὰν ἀφίκηται παρ' αὐτὸν μὴ ἐπιστάμενος τὰ δίκαια ὁ τὴν ῥητορικὴν βουλόμενος μαθεῖν, εἰ[6] διδάξει αὐτὸν ὁ Γοργίας, αἰσχυνθῆναι αὐτὸν καὶ φάναι διδάξειν διὰ τὸ ἔθος τῶν ἀνθρώπων, ὅτι ἀγανακτοῖεν[8]

λήφθη ἡ σύγκρισις, ὡς καὶ παρὰ Ξενοφ. ἐν Κύρ. Ἀναβάσ. IV. 6, 11. Περὶ τῆς γνώμης τῶν ἄλλων καὶ καθ' ὅλου περὶ τῆς δημοσίας γνώμης πάντοτε μετὰ περιφρονήσεως λέγει ὁ φιλόσοφος.

1. Ὁ Σωκράτης ἀπέδωκε τὴν αἰτίαν τῆς ἀνατροπῆς τοῦ βίου εἰς τὴν φιλοσοφίαν καὶ ἐκάλεσε τὸν Καλλικλέα, ὅπως ἐλέγξῃ, ὅτι τὸ ἀδικεῖν καὶ τὸ ἀτιμώρητον δὲν εἶναι τὸ ἔσχατον τῶν κακῶν. Ἐντεῦθα ὁ πολιτικὸς αἴρων τὴν ὁμολογίαν τοῦ Πώλου, ὅτι τὸ ἀδικεῖν εἶναι αἰσχρότερον τοῦ ἀδικεῖσθαι (διότι ἐπὶ ταύτης τῆς ὁμολογίας ἐστηρίχθη ἡ ὅλη τοῦ Σωκράτους θεωρία), ὑποστηρίζει τὸ ἐναντίον κατὰ τὸ φυσικὸν δίκαιον καὶ ἀποτρέπει τὸν Σωκράτη ἀπὸ τῆς φιλοσοφίας, ἥτις ἦτο ἡ αἰτία τῶν παραδόξων ἀποτελεσμάτων.

2. Ὁ Σχολιαστὴς ἑρμηνεύει· «Νεανιεύεσθαι, μέγα φρονεῖν, κομπάζειν.» Τοῦτο ἐννοεῖται κατ' ἐξοχὴν περὶ τῶν κούφων καὶ ἀλαζονικῶν καὶ πολυλόγων νέων τῶν Ἀθηναίων, Φαῖδρ. 235 Α. «Καὶ ἐφαίνετο δή μοι νεανιεύεσθαι ἐπιδεικνύμενος ὡς οἷός τε ἂν ταῦτα ἑτέρως τε καὶ ἑτέρως λέγων ἀμφοτέρως εἰπεῖν ἄριστα.» Ὁ προσδιορισμὸς οὗτος τοῦ ῥήματος ἦτο ἀναγκαῖος, διότι ὁ Σωκράτης ἠδύνατο νὰ νεανιεύηται καὶ ἐν τοῖς ἔργοις.

3. Ἡ κατὰ τοῦ Σωκράτους προσβολὴ εἶναι αὐθαίρετος μήτε εἰς τὸν φιλόσοφον ἁρμόζουσα μήτε ἐν τῷ στόματι τοῦ ῥήτορος Καλλικλέους. Σημαίνει δὲ τὸν λέγοντα πολλὰ καὶ ἀποβλέποντα οὐχὶ εἰς τὰ πράγματα, ἀλλ' εἰς τὴν ἐπιδοκιμασίαν τοῦ ὄχλου.

4. Περὶ τούτου ὅρα 461, Β.

5. Δηλαδὴ ἐν τῷ μετὰ σοῦ διαλόγῳ.

6. Ἡ πρότασις αὕτη εἶναι τὸ ἀντικείμενον τοῦ ἐρωτώμενον.

7. Ἐπαναλαμβάνει τὸ ὑποκείμενον μετ' ἐμφάσεως, ὡς καὶ ἐν Ἀπολογ. 40, Ε. Ὁ προσδιορισμὸς διὰ τὸ ἔθος τῶν ἀνθρώπων δὲν ἀνήκει εἰς τὸ πλησίον κείμενον διδάξειν, ἀλλ' εἰς τὸ φάναι ἢ εἰς τὸ αἰσχυνθῆναι. Συνήθως οἱ ἄνθρωποι ἀγανακτοῦσιν, ἂν μή τις συμφωνῇ πρὸς αὐτούς. Οὕτω καὶ ὁ Πῶλος καὶ ὁ Καλλικλῆς ἀπέδωκαν τὴν αἰτίαν τῆς ὁμολογίας εἰς ἐξωτερικὰ αἴτια.

8 Εἶναι ἐπεξήγησις τοῦ διὰ τὸ ἔθος τῶν ἀνθρώπων. Οἱ σοφι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄν, εἴ τις μὴ φαίη· διὰ δὴ ταύτην τὴν ὁμολογίαν ἀναγκασθῆναι ἐναντία αὐτὸν αὑτῷ εἰπεῖν, σὲ δὲ αὐτὸ τοῦτο ἀγαπᾶν. καί σου κατεγέλα,[1] ὡς γε ἐμοὶ δοκεῖν, ὀρθῶς τότε· νῦν δὲ πάλιν αὐτὸς ταὐτὸν τοῦτο ἔπαθε, καὶ ἔγωγε κατ' αὐτὸ τοῦτο οὐκ ἄγαμαι Πῶλον, ὅτι σοι συνεχώρησε[2] τὸ ἀδικεῖν αἴσχιον εἶναι τοῦ ἀδι- Ε
κεῖσθαι· ἐκ ταύτης γὰρ αὖ τῆς ὁμολογίας αὐτὸς ὑπὸ σοῦ συμποδισθεὶς[3] ἐν τοῖς λόγοις ἐπεστομίσθη,[4] αἰσχυνθεὶς ἃ ἐνόει εἰπεῖν. σὺ γὰρ τῷ ὄντι,[5] ὦ Σώκρατες, εἰς τοιαῦτα ἄγεις φορτικὰ καὶ δημηγορικά,[6] φάσκων τὴν ἀλήθειαν διώκειν, ἃ φύσει μὲν οὐκ ἔστι καλά, νόμῳ δέ.[7] ὡς τὰ πολλὰ δὲ ταῦτα ἐναντία ἀλλήλοις ἐστίν, ἥ τε φύσις καὶ ὁ νόμος. ἐὰν οὖν τις αἰσχύνηται καὶ μὴ τολμᾷ 483

σται καὶ οἱ ῥήτορες φοβούμενοι τὴν δημοσίαν γνώμην οὐδεμίαν δυσκολίαν εὑρίσκουσι νὰ ἀποφαίνωνται παρὰ τὴν ἰδίαν γνώμην.

1. Τὸ ὑποκείμενον εἶναι ὁ Πῶλος. Οὕτως ἔχουσι τὰ χειρόγραφα, ἀλλ' ὁ Bernhardy καὶ ὁ Winckelmann τρέπουσιν εἰς καταγελᾷν, ὅπερ ἐξαρτῶσιν ἐκ τῆς ἑπομένης παρενθετικῆς προτάσεως ὡς γε μοι δοκεῖν. Ἀλλ' ὁ Stallbaum παρατηρεῖ, ὅτι ἡ φράσις αὕτη τίθεται ἀπολύτως καὶ ἄνευ ἀπαρεμφάτου.

2. Διὰ τοῦ ἰσχυρισμοῦ τούτου ὁ Καλλικλῆς καταδεικνύεται ἀνηθικώτερος καὶ αὐτοῦ τοῦ Πώλου.

3. Ὁ Ὀλυμπιόδωρος παρατηρεῖ· «Ἀπὸ μεταφορᾶς τῶν ἀλόγων ζῴων τῶν συμποδιζομένων ἐπὶ τὸ σφαγῆναι», Πλάτων ἐν Θεαιτ. 161, Ε. «Θαυμάσας τὴν σοφίαν συνεμποδίσθης ὑπ' αὐτοῦ, οὗ δή σε χειρωσάμενός τε καὶ συνδήσας ἤδη ἂν τότε ἐλύτρου.»

4. Δύο εἰκόνες συνεχύθησαν εἰς μίαν. Παράβλλ. Πλούταρχ. ἐν βίῳ Ἀλκιβιάδου Π.

5. Κατὰ τὸν Cron διὰ τῆς φράσεως ταύτης ἐπιβεβαιοῖ τὴν προσβολὴν τοῦ Πώλου τὴν κατὰ τοῦ Σωκράτους γενομένην.

6 Ὀρθῶς ὁ Σχολιαστὴς παρατηρεῖ· «Φορτικά ἐστι τὰ βάρος ἐμποιοῦντα· δημηγορικά, τὰ πρὸς τὴν τῶν πολλῶν βλέποντα δόξαν.» Ὁ Πλάτων πολλαχοῦ συνδέει τὰ δύο ταῦτα ἐπίθετα, Ἀπολογ. 32, Α· καὶ ἐν Εὐθυδήμ. 287, Α.

7. Τὴν διαφωνίαν τὴν ὑφισταμένην μεταξὺ τοῦ φυσικοῦ καὶ τοῦ θετοῦ δικαίου παρετήρησε πρῶτος Ἱππίας ὁ Ἠλεῖος, Πλάτ. ἐν Πρωταγ. 337, C. D. Ξενοφ. Ἀπομν. IV, 4, 14 «Καὶ ὁ Ἱππίας, νόμους δ', ἔφη, ὦ Σώκρατες, πῶς ἂν τις ἡγήσαιτο σπουδαῖον πρᾶγμα εἶναι ἢ τὸ πείθεσθαι αὐτοῖς, οὓς γε πολλάκις αὐτοὶ οἱ θέμενοι ἀποδοκιμάσαντες μετατίθενται;» Ἔκτοτε οἱ σοφισταὶ καὶ οἱ ὀπαδοὶ τούτων κατέστησαν τοῦτο κοινὸν τόπον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέγειν ἅπερ νοεῖ, ἀναγκάζεται ἐναντία[1] λέγειν. ὃ δὴ καὶ σὺ τοῦτο τὸ σοφὸν[2] κατανενοηκὼς κακουργεῖς ἐν τοῖς λόγοις,[3] ἐὰν μέν τις κατὰ νόμον λέγῃ, κατὰ φύσιν ὑπερωτῶν,[4] ἐὰν δὲ τὰ τῆς φύσεως, τὰ τοῦ νόμου. ὥσπερ αὐτίκα ἐν τούτοις, τῷ ἀδικεῖν τε καὶ τῷ ἀδικεῖσθαι, Ηὠλου τὸ κατὰ νόμον αἴσχιον λέγοντος, σὺ τὸν νόμον ἐδιώκαθες[5] κατὰ φύσιν.[6] φύσει μὲν γὰρ πᾶν[7] αἴσχιόν ἐστιν

1. Ἐννοεῖται τὸ ἑαυτῷ ἢ ἑαυτοῖς.

2. Τοῦτο ὁ Καλλικλῆς λέγει σκωπτικῶς καὶ ἰσοδυναμεῖ πρὸς τὸ σόφισμα. Ἡ φράσις τοῦτο τὸ σοφὸν κατὰ τὸν Cron εἶναι ἐπεξήγησις τοῦ ὃ, ὡς καὶ ἐν Θεαιτήτ. 167, B.

3. Ἐπειδὴ τὸ κακουργεῖν ἔχει εὐρυτέραν σημασίαν, μετεχειρίσθη τὸν προσδιορισμὸν τοῦτον. Σημαίνει δὲ δολιεύεσαι, δὲν ἀποκρίνεσαι πρὸς τὰ ἐρωτώμενα ἢ παρεξηγεῖς αὐτά.

4. Τοῦτο εἶναι εἶδος σοφίσματος.

5 Ὁ τύπος τοῦ ῥήματος εἶναι ἀττικός, παρὰ δὲ τοῖς ἄλλοις δὲν εἶναι πολὺ εὔχρηστος.

6. Ὁ Ἀριστοτέλης περὶ σοφιστ. ἐλέγχ. 1, 12, λέγει· «Πλεῖστος δὲ τόπος ἐστὶ τοῦ ποιεῖν παράδοξα λέγειν, ὥσπερ καὶ ὁ Καλλικλῆς ἐν τῷ Γοργίᾳ γέγραπται λέγων καὶ οἱ ἀρχαῖοι πάντες ᾤοντο συμβαίνειν παρὰ τὸ κατὰ φύσιν καὶ κατὰ τὸν νόμον. Ἐναντία γάρ εἶναι φύσιν καὶ νόμον φασί, καὶ τὴν δικαιοσύνην κατὰ τὸν νόμον μὲν εἶναι καλόν, κατὰ φύσιν δὲ οὐ καλόν. Δεῖν οὖν πρὸς μὲν τὸν εἰπόντα κατὰ φύσιν κατὰ νόμον ἁπανταῖν, πρὸς δὲ τὸν κατὰ νόμον ἐπὶ τὴν φύσιν ἄγειν, ἀμφοτέρους γὰρ εἶναι λέγειν παράδοξον. Ἦν δὲ τὸ μὲν κατὰ φύσιν αὐτοῖς τὸ ἀληθές, τὸ δὲ κατὰ νόμον τὸ τοῖς πολλοῖς δοκοῦν. »

7. Τοῖς ἑρμηνευταῖς ἡ λέξις αὕτη παρέχει πολλὰς δυσκολίας διὰ τρεῖς αἰτίας· πρῶτον δὲν περιεμένομεν οὕτω γενικὴν ἔννοιαν, ὅση ὑπάρχει ἐν τῷ πᾶν, ἐν ᾧ πρόκειται περὶ ὅλως ὡρισμένων ἐννοιῶν, τοῦ ἀδικεῖν καὶ ἀδικεῖσθαι, δεύτερον ἀντίκειται πρὸς τὴν γενικὴν ταύτην ἔννοιαν τὸ ἀδικεῖσθαι ἢ τοὐλάχιστον λίαν ἀποτόμως γίνεται ἡ μετάβασις ἐκ τοῦ γενικοῦ εἰς τὸ εἰδικὸν καὶ τρίτον ἡ ἀντίθεσις, νόμῳ δὲ τὸ ἀδικεῖν, δὲν συμφωνεῖ πρὸς ἐκείνην τὴν γενικὴν ἔννοιαν, ὡς λέγει ὁ Munscher Διὰ ταῦτα ὁ Stallbaun καὶ Sybrand προτείνουσιν, ὅπως τὸ πᾶν τραπῇ εἰς πᾶσιν, ὁ Wagner εἰς πάντως ὁ Münscher εἰς παντὶ καὶ ὁ Wohlrab εἰς τοῦτ'. Ἀλλ' ὀρθῶς παρατηρεῖ ὁ Kratz, ὅτι τὸ πᾶν δὲν πρέπει νὰ μεταβληθῇ, διότι ἐν τούτῳ κεῖται τὸ νεῦρον τοῦ πράγματος. Ἡμεῖς νομίζομεν, ὅτι τὸ πᾶν εἶναι οὕτως ἀναγκαῖον, ὥστε, εἰ μὴ τοῦ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅπερ καὶ κάκιον, τὸ ἀδικεῖσθαι, νόμῳ δὲ τὸ ἀδικεῖν· οὐδὲ γὰρ ἀν-
δρὸς[1] τοῦτό γ' ἐστὶ τὸ πάθημα, τὸ ἀδικεῖσθαι, ἀλλ' ἀνδραπόδου B
τινός,[2] ᾧ κρεῖττόν ἐστι τεθνάναι ἢ ζῆν, ὅστις ἀδικούμενος καὶ
προπηλακιζόμενος μὴ οἷός τε ἐστὶν αὐτὸς αὑτῷ βοηθεῖν μηδὲ
ἄλλῳ οὗ ἂν κήδηται. ἀλλ', οἶμαι, οἱ τιθέμενοι[3] τοὺς νόμους οἱ

το ὑπῆρχεν, ἔπρεπε νὰ προστεθῇ ὑπὸ τῶν κοιτικῶν, ὡς γίνεται δῆλον ἐκ τῶν ἑξῆς. Ὁ Πῶλος ὡμολόγησεν, ὅτι τὸ ἀδικεῖν εἶναι αἴσχιον (παρέχει γειρυτέραν ὄψιν) τοῦ ἀδικεῖσθαι. Ἀλλ' ἐνόει κατὰ τὸ θετὸν δίκαιον καὶ οὐχὶ κατὰ τὸ φυσικόν. Ὁ Σωκράτης ὅμως τὴν ὁμολογίαν ταύτην δολίως μετήνεγκεν εἰς τὸ φυσικὸν δίκαιον καὶ ἐπεστόμισε τὸν Πῶλον. Ἐνταῦθα λοιπὸν ὁ Καλλικλῆς παρατηρεῖ, ὅτι ὄντως κατὰ τὸ φυσικὸν δίκαιον πᾶν αἰσχρότερον εἶναι καὶ βλαβερώτερον (π. χ. τὸ τύπτεσθαι καὶ χείρονα ὄψιν παρέχει καὶ βλαβερώτερον εἶναι), ἐν τῷ θετῷ ὅμως νόμῳ δὲν ὑπάρχει ἡ αὐτὴ καθολικότης (πᾶν). Δηλαδὴ ὁ Καλλικλῆς διισχυρίζεται ἐνταῦθα οὐχὶ ἕν, ἀλλὰ δύο, πρῶτον, ὅτι ἡ καθολικότης ἡ ὑπάρχουσα ἐν τῷ φυσικῷ δικαίῳ δὲν ὑπάρχει ἐν τῷ θετῷ καὶ δεύτερον, ὅτι οὐχὶ τὸ ἀδικεῖν, ἀλλὰ τὸ ἀδικεῖσθαι εἶναι αἰσχρότερον κατὰ τὸ φυσικὸν δίκαιον. Βεβαίως, ὡς ἔχει τὸ χωρίον, παρέχει δυσκολίαν· διότι ὁ Πλάτων ἐδήλωσε λίαν συνεπτυγμένως τὴν ἔννοιαν καὶ εἰς τὸ ἀδικεῖσθαι, ὅπερ κεῖται ὡς παράδειγμα, ἐπήνεγκε τὴν ἀντίθεσιν. Ὥστε νομίζομεν, ὅτι ἡ δυσκολία κεῖται μᾶλλον εἰς τὸ φύσει μὲν—νόμῳ δὲ ἢ εἰς τὸ πᾶν.

1. Ὁ μὲν δοῦλος πάσχει, ὁ δὲ ἐλεύθερος πολίτης ἐνεργεῖ. Μένων δὲ ὁ τοῦ Γοργίου μαθητὴς οὕτως ἀποφαίνεται περὶ ἀρετῆς ἀνδρός· «Ὅτι αὕτη ἐστὶν ἀνδρὸς ἀρετή, ἱκανὸν εἶναι τὰ τῆς πόλεως πράττειν καὶ πράττοντα τοὺς μὲν φίλους εὖ ποιεῖν, τοὺς δ' ἐχθροὺς κακῶς, καὶ αὐτὸν εὐλαβεῖσθαι μηδὲν τοιοῦτον παθεῖν.» ἐν Μέν. 71, Ε. Ἐνταῦθα εἰσέρχεται εἰς τὴν ἐπίκρισιν τῆς θεωρίας τοῦ Σωκράτους· διότι μέχρι τοῦδε ἐγίνετο λόγος περὶ τῆς ἀπάτης, ἣν μετεχειρίσθη πρὸς τὸν Πῶλον.

2. Ἡ ἀόριστος ἀντωνυμία ἐπαυξάνει τὴν περιφρόνησιν.

3. Τὸ τιθέναι νόμον διαφέρει τοῦ τίθεσθαι νόμον· ἐκεῖνο μὲν λέγεται ἐπὶ κυριάρχου ἄρχοντος, ὅστις θέτει νόμους διὰ τοὺς ἄλλους, τὸ δὲ μέσον λέγεται περὶ τῶν δημοκρατουμένων, οἵτινες θέτουσι δι' ἑαυτοὺς νόμους. Τὸ κατηγορούμενον ἔλαβε τὸ ἄρθρον, ὅπως δειχθῇ, ὅτι ὑποκείμενον καὶ γένος ἢ εἶδος εἶναι ἰσοδύναμα, δηλ. οἱ ἀσθενεῖς καὶ οἱ νόμους τιθέμενοι εἶναι τὸ αὐτό· ὡς ἐὰν εἴπω, ὁ Σωκράτης ἐστὶν ὁ σοφός, σημαίνει, ὅτι Σωκράτης καὶ σοφὸς εἶναι τὸ ἴδιον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀσθενεῖς ἄνθρωποι εἰσι καὶ οἱ πολλοί.[1] πρὸς αὐτοὺς[2] οὖν καὶ τὸ
C αὐτοῖς συμφέρον τούς τε νόμους τίθενται καὶ τοὺς ἐπαίνους ἐπαινοῦσι καὶ τοὺς ψόγους ψέγουσιν· ἐκφοβοῦντες τοὺς ἐρρωμενεστέρους τῶν ἀνθρώπων καὶ δυνατοὺς ὄντας πλέον ἔχειν, ἵνα μὴ αὐτῶν πλέον ἔχωσι, λέγουσιν[3] ὡς αἰσχρὸν καὶ ἄδικον τὸ πλεονεκτεῖν,[4] καὶ τοῦτο ἔστι τὸ ἀδικεῖν, τὸ πλέον τῶν ἄλλων ζητεῖν ἔχειν· ἀγαπῶσι γάρ, οἶμαι,[5] αὐτοὶ ἂν τὸ ἴσον ἔχωσι φαυλότεροι[6] ὄντες.

XXXIX. Διὰ ταῦτα[7] δὴ νόμῳ μὲν τοῦτο ἄδικον καὶ αἰσχρὸν
D λέγεται, τὸ πλέον ζητεῖν ἔχειν τῶν πολλῶν, καὶ ἀδικεῖν αὐτὸ καλοῦσιν· ἡ δέ[8] γε, οἶμαι, φύσις αὐτὴ ἀποφαίνει αὐτό,[9] ὅτι δίκαιόν ἐστι τὸν ἀμείνω[10] τοῦ χείρονος πλέον ἔχειν καὶ τὸν δυνατώτερον τοῦ ἀδυνατωτέρου. δηλοῖ δὲ ταῦτα πολλαχοῦ ὅτι οὕτως ἔχει, καὶ ἐν τοῖς ἄλλοις ζῴοις[11] καὶ τῶν ἀνθρώπων ἐν ὅλαις ταῖς

1. Ἡ προσθήκη αὕτη εἶναι ὁ σπουδαιότερος ὁρισμὸς τοῦ θετοῦ δικαίου· ἐπειδὴ ὅμως θέλει νὰ ποιήσῃ ἀντίθεσιν μεταξὺ ἰσχυροτέρου καὶ ἀσθενεστέρου, ἀποδίδει εἰς τοὺς πολλοὺς δευτερεύουσαν θέσιν, ὡς ὀρθῶς παρατηρεῖ ὁ Cron.

2 Δηλαδὴ πρὸς τὸ ἴδιον συμφέρον. Ἠδύνατό τις νὰ ἐννοήσῃ καὶ τὴν μετοχὴν βλέποντες.

3. Ἄλλοι μὲν τῶν κριτικῶν ἐξαλείφουσιν, ἄλλοι δὲ πειρῶνται νὰ σώσωσιν τὸ ῥῆμα. Ὁ Keck παρατηρεῖ, ὅτι τὸ κείμενον διετηρήθη καλῶς καὶ μόνον πρὸ τοῦ ἐκφοβοῦντες πρέπει νὰ θέσωμεν ἄνω στιγμήν, ἵνα τὰ ἑπόμενα ἦναι ἐπεξήγησις.

4. Ὑπὸ πολιτικὴν ἔποψιν ἡ πλεονεξία ἀντιτίθεται πρὸς τὴν ἰσονομίαν. Τοιαῦται ἀρχαὶ ἄρδην δύνανται νὰ καταστρέψωσι τὰς πόλεις.

5. Πολλάκις τὸ παρενθετικὸν οἶμαι δίδει εἰρωνικὴν χροιὰν εἰς τὸν λόγον ὡς καὶ τὸ λατινικὸν credo.

6. Ὡς δεύτερος ὅρος συγκρίσεως νοεῖται τῶν ἐρρωμενεστέρων καὶ δυνατῶν ὄντων πλέον ἔχειν. Κατὰ τὴν Καλλίκλειον θεωρίαν τοῦτο δὲν εἶναι ἰσότης, ἀλλ' ἀνισότης· διότι ἕκαστος πρέπει νὰ λαμβάνῃ κατὰ τὴν δύναμιν αὐτοῦ.

7. Ἐν τῷ κεφαλαίῳ τῷδε συγκεφαλαιῶν τὰ προηγούμενα, ὅπως ποιήσῃ ἀντίθεσιν, πειρᾶται νὰ ἀποδείξῃ τὴν θεωρίαν αὐτοῦ.

8. Διὰ τῆς φράσεως ταύτης θέλει νὰ συγκεφαλαιώσῃ τὰ προηγούμενα.

9. Προεξαγγέλλει, ὡς τὸ τοῦτο, τὸν ἑπόμενον εἰδικὸν λόγον.

10. Τίνα σημασίαν ἀποδίδωσι τῷ ἀμείνω, ἐξηγεῖται διὰ τοῦ ἑπομένου τὸν δυνατώτερον.

11. Οὕτως ἐν τοῖς ζῴοις κρα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πόλεσι καὶ τοῖς γένεσιν,[1] ὅτι οὕτω τὸ δίκαιον κέκριται,[2] τὸν κρείττω τοῦ ἥττονος ἄρχειν καὶ πλέον ἔχειν. ἐπεὶ ποίῳ δικαίῳ[3] χρώμενος Ξέρξης ἐπὶ τὴν Ἑλλάδα[4] ἐστράτευσεν ἢ ὁ πατὴρ αὐ- Ε τοῦ ἐπὶ Σκύθας; ἢ ἄλλα μυρία[5] ἄν τις ἔχοι τοιαῦτα λέγειν ἀλλ', οἶμαι, οὗτοι,[6] κατὰ φύσιν τὴν τοῦ δικαίου ταῦτα πράττουσι, καὶ

τεῖ ὁ νόμος οὗτος, ἀλλὰ ταῦτα εἶναι ἄλογα.

1. Εὐφυῶς ὁ Καλλικλῆς ἔλαβε τὸ παράδειγμα αὐτοῦ ἐκ τῶν πόλεων καὶ τῶν γενῶν, παρ' οἷς μᾶλλον τὸ φυσικὸν δίκαιον ἄρχει. Καὶ νῦν ἔτι μεθ' ὅλην τὴν πρόοδον τοῦ πολιτισμοῦ τὸ καλούμενον δίκαιον τῶν ἐθνῶν δὲν ἀναγνωρίζεται ἐν ἁπάσῃ αὐτοῦ τῇ περιοχῇ ὑπὸ πάντων. Τὸ δίκαιον ὅμως τῶν ἀτόμων εἶναι ἀνθρωπινώτερον.

2. Ἀποφεύγει τὴν λέξιν νενόμισται.

3. Ἡ ἐρώτησις δὲν ἰσοδυναμεῖ ἐνταῦθα πρὸς ἄρνησιν, ὡς ἀλλαχοῦ, δηλ. οὐχὶ ἐπ' οὐδενὶ δικαίῳ, ἀλλὰ ἐπὶ ποίῳ ἄλλῳ δικαίῳ ἢ ἐπὶ τῷ φυσικῷ;

4. Ὁ Καλλικλῆς παρεκτρέπεται ἐν τῇ ἐκλογῇ τοῦ παραδείγματος δεικνύων, ὅτι οὐ μόνον ἠθικῶν ἀρχῶν στερεῖται, ἀλλὰ καὶ ἀγάπης πρὸς τὴν ἰδίαν πατρίδα. Τούτου ἕνεκεν εὐθὺς λαμβάνει ἄλλοθεν τὸ παράδειγμα.

5. Ἐπειδὴ ἡ φράσις αὕτη εἶναι ἀνεξάρτητος τῆς προηγουμένης συντάξεως, ὁ Stephanus διορθοῖ εἰς ἢ ἄλλα μυρία ἃ ἄν τις ἔχοι. Ἡ διόρθωσις εἶναι περιττή διότι ἐν τοιαύταις περιστάσεσιν ὁ Πλάτων συνειθίζει νὰ μεταβαίνῃ εἰς ἀνεξαρτήτους προτάσεις, ὡς ἐν Ἀπολογ. 41, C. «Ἐπὶ πόσῳ δ' ἄν τις, ὦ ἄνδρες δικασταί, δέξαιτο ἐξετάσαι τὸν ἐπὶ Τροίαν ἀγαγόντα τὴν πολλὴν στρατιὰν ἢ Ὀδυσσέα ἢ Σίσυφον, ἢ ἄλλους μυρίους ἂν εἴποι καὶ ἄνδρας καὶ γυναῖκας;» Παράβαλλ. Πλάτ. ἐν Νόμ. XII, 944, A. καὶ Δημοσθ. κατὰ Μειδ. κεφ. 7.

6. Ὁ Ξέρξης, ὁ Δαρεῖος, καὶ οἱ ὁμοίας στρατείας ποιησάμενοι. Τὴν ἑπομένην φράσιν τὴν τοῦ δικαίου ὁ Schleiermacher ἐνόμισεν ὀβελιστέαν καὶ εὗρε θερμὸν μιμητὴν τὸν Stallbaum, ὅστις λέγει, ὅτι ἔπρεπε νὰ εἴπῃ τὸ τῆς φύσεως δίκαιον, ὡς καὶ ἐν 484, A. Τοὐναντίον ὁ Kock θερμῶς ὑποστηρίζει τὴν γνησιότητα τῆς φράσεως παρατρέπων εἰς τό, ἡ δὲ φύσις αὐτὴ ἀποφαίνει αὐτό, ὅτι δίκαιόν ἐστι. Ἡμεῖς, νομίζομεν, ὅτι τὴν ὀβελιζομένην φράσιν ποιεῖ ἀναγκαίαν ἡ ἐρώτησις ἐπεὶ ποίῳ δικαίῳ, ἧς ἀπόκρισις εἶναι τὸ περὶ οὗ πρόκειται. Ἄλλως τὴν φράσιν ἔχουσι πάντα τὰ χειρόγραφα, ὡς λέγει ὁ Cron.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναὶ μὰ Δία κατὰ νόμον[1] γε τὸν τῆς φύσεως, οὐ μέντοι ἴσως κατὰ τοῦτον, ὃν ἡμεῖς[2] τιθέμεθα· πλάττοντες[3], τοὺς βελτίστους καὶ ἐρρωμενεστάτους ἡμῶν αὐτῶν, ἐκ νέων[4] λαμβάνοντες, ὥσπερ
484 λέοντας κατεπᾴδοντές[5] τε καὶ γοητεύοντες[6] καταδουλούμεθα λέγοντες, ὡς τὸ ἴσον χρὴ ἔχειν καὶ τοῦτό ἐστι τὸ καλὸν καὶ τὸ δίκαιον. ἐὰν δέ γε, οἶμαι, φύσιν ἱκανὴν[7] γένηται ἔχων ἀνήρ,[8] πάντα ταῦτα ἀποσεισάμενος[9] καὶ διαρρήξας καὶ διαφυ-

1. Εὐφυῶς μεταχειρίζεται τὴν λέξιν νόμον. Ὄχι μόνον οἱ ἄνθρωποι, ἀλλὰ καὶ ἡ φύσις ἔχει τοὺς ἑαυτῆς νόμους.

2. Πεοιφρονητικῶς λένει περὶ τῶν ἀνθεώπων ἐν ἀντιθέσει πρὸς τὴν φύτιν. Ὁ Hermann ἐξαλείφει τὸ τιθέμεθα, ἀλλ' ὁ Keck καὶ ὁ Stallbaum σώζουσι τοῦτο τιθέντες ἄνω στιγμὴν πρὸ τοῦ πλάττοντες.

3. Προσηκόντως μετεχειρίσθη τὸ ῥῆμα πλάττειν ἐπὶ παιδεύσεως νέων, Πλάτ. ἐν Πολιτ. II, 377, C. «Πλάττειν τὰς ψυχὰς αὐτῶν τοῖς μύθοις πολὺ μᾶλλον ἢ τὰ σώματα ταῖς ψυχαῖς.» καὶ ἐν Νόμ. 11, 671, E.

4. Δηλαδὴ ἐκ παιδικῆς ἡλικίας, a pueris. Συνήθως οἱ ἀρχαῖοι ἐπὶ τοιαύτης σημασίας μεταχειριζονται τὸ ῥῆμα παραλαμβάνειν, Ἀπολογ. 18, 2. «Οἱ ὑμῶν τοὺς πολλοὺς ἐκ παίδων παραλαμβάνοντες ἔπειθόν τε καὶ κατηγόρουν.» Ἀπέφυγε δὲ τὸ σύνθετον, ὅπως δηλώσῃ εἶδός τι ἐξωτερικῆς βίας.

5. Τὸ ῥῆμα σημαίνει καταπραΰνω διὰ μαγευμάτων. Διὰ τῆς παραβολῆς ταύτης ὁ πολιτικὸς θέλει μετὰ πικρίας νὰ αἰσθητοποιήσῃ τὴν πίεσιν τῆς καλουμένης φυσικῆς ἐλευθερίας. Ἡ παραβολὴ εἶναι ἐπιτυχής, διότι εὐφυῶς οἱ δυνατώτεροι πρὸς λέοντας παραβάλλονται.

6. Τὸ γοητεύειν διαφέρει τοῦ κατεπάδειν, καθ' ὅσον ἐκεῖνο μὲν γίνεται διὰ λόγων, τὸ δὲ γοητεύειν δι' ἔργων. Τὸ κατεπάδειν λέγεται καὶ περὶ τῆς διαλεκτικῆς μεθόδου τοῦ Σωκράτους, Πλάτ. ἐν Μένωνι 80, A. «Καὶ νῦν ὡς γ' ἐμοί, δοκεῖς, γοητεύεις με καὶ φαρμάττεις καὶ ἀτεχνῶς κατεπάδεις.»

7. Φύσις ἱκανὴ ὀνομάζεται ἐνταῦθα ἡ δυναμένη νὰ ὑπερνικήσῃ πάσας τὰς δυσχερείας.

8. Τοῦτο λέγεται μετ' ἐμφάσεως ἐν ἀντιθέσει πρὸς τοὺς ἀνθρώπους, οὓς παρέβαλε πρὸς τὰ ζῷα. Καθ' ὅλου ὁ Καλλικλῆς διὰ λαμπρῶν χρωμάτων εἰκονίζει τὸν ὀπαδὸν τοῦ φυσικοῦ δικαίου.

9. Τὰ τῶν νόμων δεσμὰ παραβάλλονται πρὸς τὰ τοῦ λέοντος. Τὸ ῥῆμα μεταχειρίζονται οἱ ἀρχαῖοι ἰδίως ἐπὶ ἵππων, Ξενοφ. ἐν Κύρ. Παιδ. VII, 1, 18. «Ὁ ἵππος σφαδάζων ἀποσείεται τὸν Κῦρον.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γών,[1] καταπατήσας[2] τὰ ἡμέτερα γράμματα[3] καὶ μαγγανεύματα[4] καὶ ἐπῳδὰς καὶ νόμους[5] τοὺς παρὰ φύσιν ἅπαντας, ἐπαναστὰς[6] ἀνεφάνη δεσπότης ἡμέτερος[7] ὁ δοῦλος, καὶ ἐνταῦθα ἐξέλαμψε[10] B
τὸ τῆς φύσεως δίκαιον. δοκεῖ δέ μοι καὶ Πίνδαρος[11] ἅπερ ἐγὼ λέγω ἐνδείκνυσθαι ἐν τῷ ᾄσματι[12] ἐν ᾧ λέγει ὅτι·

νόμος ὁ πάντων βασιλεὺς
θνατῶν τε καὶ ἀθανάτων·

καὶ Ἡρόδοτ. VII, 88. «Ὁ ἵππος στὰς ὀρθὸς ἀπεσείσατο τὸν Φαρνούχεα.»

1. Ἀκολουθεῖ τῇ φυσικῇ σειρᾷ τῆς ἐνεργείας τοῦ ἀφηνιάσαντος ζῴου.

2. Τοῦτο δηλοῖ αἰσθητὴν περιφρόνησιν, τὴν δὲ τοιαύτην σημασίαν τοῦ ῥήματος γινώσκει ἤδη ὁ Ὅμηρος, Ἰλιάδ. Δ 157.

3. Μετὰ περιφρονήσεως ὀνομάζονται τὰ ψηφισματα ἐν ἀντιθέσει πρὸς τοὺς ἀγράφους τῆς φύσεως νόμους. Μετά τινος εὐφυίας ὁ Walckenaer εἶκασεν, ὅτι ἀντὶ γράμματα πρέπει νὰ γραφῇ περιάμματα, ὅπερ ὑποστηριζουσιν ὁ Naber καὶ ὁ Hirschig, Ἡσύχ. «περιάπτω ἐξ οὗ τὰ γοητευτικὰ περίαπτα.» Τὸ περίαπτα ἴσως μᾶλλον ἁρμόζει, ἀλλ' ὁ Καλλικλῆς θηρεύει τὴν σύγχυσιν.

4. Ἡ λέξις εἶναι συγγενὴς πρὸς τὴν μάγος.

5. Συγχέει τὰ παραβαλλόμενα, ἵνα δειξῃ, ὅτι ταῦτα εἶναι ἰσοδύναμα. Ὁμιλεῖ δὲ μετὰ περιφρονήσεως περὶ νόμων, διότι οὗτοι ἀντίκεινται εἰς τὴν φύσιν.

6. Ἐντεῦθεν ἄρχεται ἡ ἀντίθεσις.

7. Ὁ ἀόριστος δηλοῖ ἐνταῦθα τὸ αἴφνης γινόμενον.

8. Εἶναι κατηγορούμενον καὶ ποιεῖ ἀντίθεσιν πρὸς τὸν δοῦλον. Ἂν ὄντως ὑπὸ τὸ ὄνομα τοῦ Καλλικλέους λανθάνῃ ὁ Κριτίας, τὰ κακουργήματα αὐτοῦ ἐποίει κατὰ θεωρίαν. Ὅρα Εἰσαγωγ. σελ. 100.

9. Ἡ ἀντωνυμία αὕτη γραμματικῶς ἀνήκει εἰς τὸ δεσπότης, λογικῶς δὲ καὶ εἰς τὸ δοῦλος, ὡς λέγει ὁ Cron. Ἡμεῖς εἶναι οἱ ἄνθρωποι οἱ καταδουλωσάμενοι τὸν ἐρρωμενέστερον διὰ τῶν θετῶν νόμων.

10. Πρότερον ἐσκοτίζετο ὑπὸ τῶν θετῶν νόμων.

11. Ὁ Καλλικλῆς τὴν θεωρίαν αὐτοῦ θέλει νὰ κυρώσῃ διὰ τοῦ κύρους ποιητοῦ κατὰ τὸ ἔθος τῆς ἐποχῆς. Ὁ Πίνδαρος, ὁ Σιμωνίδης, ὁ Βακχυλίδης καὶ ὁ Λᾶσος ἀνήκουσιν εἰς τὴν καθολικὴν λυρικὴν ποίησιν τῶν Ἑλλήνων.

12. Οἱ στίχοι ἀνήκουσιν εἰς ἀπολεσθὲν ποίημα ἀγνώστου εἴδους. Τὸ ἀπόσπασμα εἶχεν ὑπ' ὄψει καὶ ὁ Ἡρόδοτος εἰπών· «Καὶ ὀρθῶς μοι δοκέει Πίνδαρος ποιῆσαι, νόμον πάντων βασιλέα φήσας εἶναι.» III, 38.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὗτος δὲ δή, φησίν,[1]

ἄγει δικαιῶν τὸ βιαιότατον
ὑπερτάτᾳ χειρί· τεκμαίρομαι
ἔργοισιν Ἡρακλέος, ἐπεὶ ἀπριάτας[2]—

λέγει οὕτω πως· τὸ γὰρ ἆσμα οὐκ ἐπίσταμαι·[3] λέγει δ' ὅτι οὔτε πριάμενος οὔτε δόντος τοῦ Γηρυόνου[4] ἠλάσατο τὰς βοῦς, ὡς C τούτου[5] ὄντος τοῦ δικαίου φύσει, καὶ βοῦς καὶ τἆλλα κτήματα εἶναι πάντα τοῦ βελτίονός τε καὶ κρείττονος τὰ τῶν χειρόνων τε καὶ ἡττόνων.

XL. Τὸ μὲν οὖν ἀληθὲς οὕτως ἔχει, γνώσει δέ, ἂν ἐπὶ τὰ

1. Διὰ τῆς προσθήκης τῶν ἑπομένων στίχων προτίθεται ὁ Καλλικλῆς νὰ δείξῃ, ὅτι ὁ Πίνδαρος ἐννοεῖ τὸν κατὰ φύσιν νόμον.

2. Ὁ ἐμὸς διδάσκαλος Βοίκχιος ἔχων ὑπ' ὄψει τὴν μαρτυρίαν ἀρχαίου σχολιαστοῦ οὕτω συνεπλήρωσεν·

ἔργοισιν Ἡρακλέος· ἐπεὶ Γηρυόνα βόας
Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος
ἀναιτήτας τε καὶ ἀπριάτας ἤλασεν.

Μετὰ τὴν λέξιν ἀπριάτας ὑποτίθεται ὁ Καλλικλῆς σκεπτόμενος, ἵνα ἐνθυμηθῇ τὴν συνέχειαν τῶν στίχων. Ἐπειδὴ ὅμως δὲν ἐπέτυχε τούτου, λίδει τὴν ἔννοιαν.

3. Τὸ ἐπίστασθαι ἔχει ἐνταῦθα τὴν σημασίαν τοῦ ἐνθυμεῖσθαι, ὡς καὶ ἐν Φαίδωνι, 61, Β. «Οὓς προχείρους εἶχον καὶ ἠπιστάμην μύθους τοῦ Αἰσώπου.» καὶ Πρωταγόρ. 339, Β. «Τοῦτο ἐπίστασαι τὸ ᾆσμα;»

4. Ὁ Γηρυόνης ἦτο υἱὸς τοῦ Χρυσάορος καὶ τῆς Καλλιρρόης, ἐπλάττετο δὲ ὑπὸ τῶν ἀρχαίων ἔχων τρία σώματα, ἓξ πόδας καὶ ἓξ χεῖρας καὶ πτέρυγας. Τοῦτον τοξεύσας ὁ Ἡρακλῆς καὶ τὰς βοῦς ἁρπάσας ἤλασεν αὐτὰς εἰς Μυκήνας πρὸς τὸν Εὐρυσθέα, Αἰσχύλ. Ἀγαμν. 880 καὶ Ἡσιόδ. Θεογον 287. Φαίνεται ὁ Καλλικλῆς κακουργῶν ἐν τοῖς λόγοις καὶ παρεξηγεῖται τὸν Πίνδαρον, ὅστις ἐνέπνεετο πάντοτε ὑπὸ ἠθικῶν ἀρχῶν. Ἄλλο φαίνεται λέγων ὁ Πίνδαρος ἢ περὶ ἄλλης ἐποχῆς, καθ' ἣν ἴσχυεν ὁ φυσικὸς νόμος.» Ἄξιον ὅμως σημειώσεως, ὅτι ὁ Σωκράτης δὲν ἐλέγχει τὸν Καλλικλέα ὡς παρερμηνεύοντα τὸν ποιητήν.

5. Ἀναφέρεται εἰς τὰ ἑπόμενα, καὶ βοῦς καὶ τἆλλα κτήματα εἶναι.

6. Νομίζει, ὅτι ὁ Σωκράτης δὲν δύναται νὰ ἀναγνωρίσῃ τὴν ἀλήθειαν τῶν λόγων αὐτοῦ, διότι κωλύει τοῦτον ἡ φιλοσοφία. Τούτου ἕνεκεν μεταβαίνει εἰς τὴν ἐξέτασιν τῆς ἀξίας ταύτης. Ὁ Καλλικλῆς γινώσκων, τί πρέπει νὰ πράξῃ, λαμβάνει θέσιν ἐπιθετικὴν ἀντὶ ἀμυντικῆς. Ἐν ᾧ ὁ Σωκράτης ἐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μείζω[1] ἔλθῃς ἐάσας ἤδη φιλοσοφίαν. φιλοσοφία γάρ τοί ἐστιν, ὦ Σώκρατες, χαρίεν, ἄν τις αὐτοῦ μετρίως ἅψηται ἐν τῇ ἡλικίᾳ·[2] ἐὰν δὲ περαιτέρω τοῦ δέοντος ἐνδιατρίψῃ, διαφθορὰ τῶν ἀνθρώπων. ἐὰν γὰρ καὶ πάνυ εὐφυὴς ᾖ καὶ πόρρω[3] τῆς ἡλικίας φιλοσοφῇ, ἀνάγκη πάντων ἄπειρον γεγονέναι ἐστίν, ὧν χρὴ ἔμπειρον[4] εἶναι τὸν μέλλοντα καλὸν κἀγαθὸν[5] καὶ εὐδόκιμον ἔσεσθαι ἄνδρα· καὶ γὰρ τῶν νόμων[6] ἄπειροι γίγνονται τῶν κατὰ τὴν πόλιν, καὶ τῶν λόγων, οἷς[7] δεῖ χρώμενον ὁμιλεῖν[8] ἐν τοῖς συμβολαίοις[9] τοῖς D

λέγχει τὴν ῥητορικήν, ὁ πολιτικὸς ἐλέγχει τὴν φιλοσοφίαν. Ἐντεῦθεν, γεννᾶται ἡ ἀντίθεσις τῶν δύο βίων τοῦ ῥητορικοῦ ἢ πολιτικοῦ καὶ τοῦ φιλοσοφικοῦ ἢ ἠθικοῦ.

1. Διὰ τῆς φράσεως ταύτης ταπεινοῖ τὴν ἀξίαν τῆς φιλοσοφίας. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Μείζω φησὶν ὁ Καλλικλῆς τὴν κατ' αὐτὸν ῥητορικήν, ἴσως δὲ καὶ τὴν τυραννίδα, ὡς ὕστερον δηλώσει.»

2. Ἐννοεῖ τὴν νεανικὴν ἡλικίαν. Οἱ παῖδες καὶ οἱ νέοι ἔχουσι μεγάλην κλίσιν πρὸς φιλοσοφικὰ ἀντικείμενα. Τούτου ἕνεκεν οἱ Γερμανοὶ ὀνομάζουσι τοὺς παῖδας μικροὺς φιλοσόφους.

3. Τὸ πόρρω συντάσσεται γενικῇ πρὸς δήλωσιν τοῦ ὁρίου πέρα τοῦ ὁποίου ἐκτείνεταί τις, ὡς καὶ Πλάτ. ἐν Λύσιδ. 204, Β. «Πόρρω πορεύεσθαι τοῦ ἔρωτος». καὶ ἐν Εὐθύφρονι, 4, Α. «Πόρρω σοφίας ἐλαύνειν.»

4. Ὁ Καλλικλῆς νομίζει, ὅτι ἕκαστος ἄνθρωπος ἔχει καθῆκον νὰ διαπρέψῃ ὡς πολιτικός. Οὕτως ἔχει μονομερῆ γνώμην περὶ τοῦ ἀνθρωπίνου βίου.

5. Καλὸς κἀγαθὸς κατὰ τὴν γνώμην τοῦ Καλλικλέους εἶναι ὁ δυνάμενος διὰ πρακτικῆς ἐνεργείας νὰ ἀποκτήσῃ δόξαν καὶ τιμήν.

6. Ἐν τοῖς ἔμπροσθεν ὁ Καλλικλῆς μετὰ περιφρονήσεως ἀπεφάνθη περὶ τῶν νόμων, ἐνταῦθα ὅμως φαίνεται ἀποδίδων αὐτοῖς ἀξίαν τινά. Ἡ ἀντίφασις ὅμως αὕτη εἶναι μόνον κατὰ τὸ φαινόμενον· διότι οὗτος δὲν ἐννοεῖ, ὅτι πρέπει ὁ πολιτικὸς νὰ ὑπακούσῃ εἰς αὐτούς, ἀλλὰ μόνον νὰ μεταχειρισθῇ ὡς ὄργανον τοῦ πρακτικοῦ βίου, ὡς λέγει ὁ Cron.

7. Ἡ σύνταξις ἔχει οὑτωσί· οἷς δεῖ χρώμενον ἐν τοῖς συμβολαίοις καὶ ἰδίᾳ καὶ δημοσίᾳ ὁμιλεῖν τοῖς ἀνθρώποις.

8. Ἀντὶ ὁμιλοῦντα χρῆσθαι, ὡς καὶ μετ' ὀλίγον, διαλέγεσθαι ψελλιζόμενον ἀντὶ διαλεγόμενον ψελλίζεσθαι.

9. Διὰ μὲν τῆς πρώτης φράσεως νόμων τῶν κατὰ τὴν πόλιν ἐννοεῖ τὰ περὶ τὴν σύνταξιν τῆς πολιτείας, ἐν μέρει τὸ δημόσιον δικαιον, διὰ δὲ τῆς ἑπομένης, ὁμιλεῖν ἐν τοῖς συμβολαίοις.. τὸ ἰδιωτικὸν καὶ τὸ τῶν πόλεων πρὸς ἀλλήλας, ὡς λέγει ὁ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνθρώποις καὶ ἰδίᾳ καὶ δημοσίᾳ, καὶ τῶν ἡδονῶν[1] τε καὶ ἐπιθυμιῶν τῶν ἀνθρωπείων, καὶ συλλήβδην τῶν ἠθῶν[2] παντάπασιν ἄπειροι γίγνονται. ἐπειδὰν οὖν ἔλθωσιν εἴς τινα ἰδίαν ἢ πολιτι-
Ε κὴν πρᾶξιν, καταγέλαστοι γίγνονται,[3] ὥσπερ γε, οἶμαι, οἱ πολιτικοί,[4] ἐπειδὰν αὖ εἰς τὰς ὑμετέρας διατριβὰς[5] ἔλθωσι καὶ τοὺς λόγους,[6] καταγέλαστοί εἰσι. συμβαίνει γὰρ τὸ τοῦ Εὐριπίδου[7] λαμπρός τ' ἐστὶν ἕκαστος ἐν τούτῳ,

καὶπὶ τοῦτ'[8] ἐπείγεται,
νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος,
ἵν' αὐτὸς αὑτοῦ[9] τυγχάνῃ βέλτιστος ὤν.

Σχολιαστής· «Συμβόλαια παρὰ τοῖς ἀττικοῖς αἱ ἀσφάλειαι καὶ συγγραφαὶ καὶ συνθῆκαι πόλεων, καθ' ἃς τὸ δίκαιον ἀλλήλαις ἔνεμον.»

1. Ἐννοεῖ τὸν ἰδιωτικὸν βίον μετὰ τῶν ἀπολαύσεων αὐτοῦ.

2. Τὸ ὄνομα ἔχει εὐρυτάτην σημασίαν σημαῖνον τοὺς ὅρους, καθ' οὓς εἴθισται νὰ γίνωνται τὰ τοῦ δημοσίου καὶ ἰδιωτικοῦ βίου.

3. Τοῦτο ὑπό τινα ἔποψιν εἶναι ἀληθές, διότι ὁ θεωρητικὸς βίος τρέπων εἰς ὑψηλότερα τὴν ἀνθρωπίνην διάνοιαν ἀφαιρεῖ τὴν ἐπιτηδειότητα πρὸς τὸ παρατηρεῖν τὰς μικροτέρας τοῦ κοινωνικοῦ καὶ πολιτικοῦ βίου πράξεις

4. Ἡ ὁμολογία αὕτη ἐνταῦθα κειμένη φαίνεταί μοι ὀλίγον παράδοξος διότι ὁ Καλλικλῆς καταστρέφει, ὅ τι εὐφυῶς ἀνήνεικεν. Ἀφ' οὗ οἱ πολιτικοὶ γίνονται γελοῖοι ἐν τοῖς θεωρητικοῖς ζητήμασι, οὐδὲν τὸ παράδοξον, ὅτι καὶ οἱ φιλόσοφοι γίνονται τοιοῦτοι ἐν τῷ πρακτικῷ βίῳ. Κατὰ τὸν Cron ἐ-έθη πρὸς μετρίασιν τῆς προσβολῆς.

5. Ἐννοεῖ τὰς φιλοσοφικὰς μελέτας καὶ συζητήσεις, Πλάτ. ἐν Θεαιτ. 172, C. «Πρὸς τοὺς ἐν φιλοσοφίᾳ καὶ τῇ τοιᾷδε διατριβῇ τεθραμμένους.» καὶ Ἀπολογ. 37, D.

6. Τὰ λεγόμενα ἐν ταῖς διατριβαῖς.

7. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Τὰ ἰαμβεῖα ταῦτ ἐστὶν ἐξ Ἀντιόπης τοῦ δράματος Εὐριπίδου, ἐκ τῆς Ζήθου ῥήσεως πρὸς τὸν ἀδελφὸν Ἀμφίονα.» Ἐπειδὴ ὁ Εὐριπίδης ἦτο ἀπὸ σκηνῆς σοφιστής, οἱ σοφισταὶ καὶ οἱ ὀπαδοὶ τούτων ἔφερον ἀνὰ στόμα τας ῥήσεις τούτου τοῦ ποιητοῦ. Ἐκ τῆς Ἀντιόπης σώζονται ὀλίγα μόνον ἀποσπάσματα. (Ὅρα τὴν συλλογὴν τῶν ἀποσπασμάτων ὑπὸ Nauck ἀποσπ 183.)

8. Τὸ τοῦτο καὶ τὸ ἑπόμενον τούτῳ ἐξηγεῖται διὰ τῆς ἑπομένης τοπικῆς προτάσεως τῆς διὰ τοῦ ἵνα ἐκφραζομενης.

9. Ἡ γενικὴ τῆς αὐτοπαθοῦς ἀντωνυμίας μετὰ τῶν ὑπερθετικῶν χρησιμεύει εἰς δήλωσιν τοῦ ὑψίστου βαθμοῦ, εἰς ὃν ἔφθασέ τις ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅπου δ' ἂν φαῦλος[1] ᾖ, ἐντεῦθεν φεύγει καὶ λοιδορεῖ τοῦτο,[2] τὸ 485
δ' ἕτερον ἐπαινεῖ, εὐνοίᾳ τῇ ἑαυτοῦ, ἡγούμενος οὕτως αὐτὸς ἑαυτὸν ἐπαινεῖν. ἀλλ', οἶμαι, τὸ ὀρθότατόν ἐστιν ἀμφοτέρων μετασχεῖν· φιλοσοφίας μὲν ὅσον παιδείας[3] χάριν καλὸν μετέχειν, καὶ οὐκ αἰσχρὸν μειρακίῳ ὄντι φιλοσοφεῖν· ἐπειδὰν δὲ ἤδη πρεσβύτερος ὢν ἄνθρωπος ἔτι φιλοσοφῇ, καταγέλαστον, ὦ Σώκρατες, τὸ χρῆμα[4] γίγνεται, καὶ ἔγωγε ὁμοιότατον πάσχω[5] πρὸς τοὺς φιλο- Β
σοφοῦντας ὥσπερ πρὸς[6] τοὺς ψελλιζομένους καὶ παίζοντας. ὅταν μὲν γὰρ παιδίον ἴδω, ᾧ ἔτι προσήκει διαλέγεσθαι οὕτω, ψελ-

παραβολῇ πρὸς ἑαυτόν, Ξενοφ. Ἀπομν. I, 2, 46. «Εἴθε σοι, ὦ Περίκλεις, τότε συνεγενόμην, ὅτε δεινότατος σαυτοῦ ταῦτα ἦσθα.» καὶ Πρωταγόρ. 350, Β.

1. Φαῦλος εἶναι ὁ μὴ ἔχων εἰδικὰς γνώσεις, ὁ μὴ εὐδόκιμος. Τὰ ἐνταῦθα λεγόμενα εἶναι καὶ πλάγιαι προσβολαὶ κατὰ τοῦ Σωκράτους, ὅστις ἔψεγε τὰ ἄλλα καὶ ἐπῄνει τὴν φιλοσοφίαν.

2. Κοινῶς ἐφέρετο ἡ γραφὴ τούτῳ, ἥτις δὲν εἶναι ὀρθή, διότι τὸ λοιδορεῖν συντάσσεται αἰτιατικῇ, ὡς παρατηρεῖ ὁ Σχολιαστὴς τοῦ Ἀριστοφάνους εἰς Πλοῦτ. 456. «Τὸ λοιδοροῦμαι παθητικῶς δοτικῇ συντάσσεται, ἐνεργητικῶς δὲ αἰτιατικῇ.» Ἡρόδοτ. II, 121, 4 «Τὸν δὲ λοιδορεῖσθαι πᾶσιν.» Ξενοφ. ἐν Κύρ. Παιδ. I, 4, 8. «Οἱ δὲ φύλακες ἐλοιδόρουν αὐτόν.» Ἡ δὲ ἀντωνυμία ἀναφέρεται εἰς τὸ ὅπου δ' ἂν φαύλως ᾖ.

3. Ἐν Πρωταγόρᾳ λέγεται, 312, Β. Τούτων γὰρ σὺ ἑκάστην οὐκ ἐπὶ τέχνῃ ἔμαθες, ὡς δημιουργὸς ἐσόμενος, ἀλλ' ἐπὶ παιδείᾳ, ὡς τὸν ἰδιώτην καὶ ἐλεύθερον πρέπει.» Ὁ Καλλικλῆς θεωρεῖ τὴν φιλοσοφίαν ὡς ἐξωτερικὸν κόσμον ἐν ἀντιθέσει πρὸς τὸν Πλάτωνα, ὅστις ἐνόμιζεν, ὅτι ἡ ἐπιστήμη αὕτη εἶναι τελείωσις τοῦ ἀνθρωπίνου βίου.

4. Τοῦτο μετὰ περιφρονήσεως λέγει ὁ Καλλικλῆς.

5. Διὰ τοῦ ῥήματος πάσχειν δηλοῖ τὴν πεποίθησιν, ἣν προξενοῦσιν εἰς αὐτὸν οἱ φιλοσοφοῦντες. Ἐπειδὴ τοιαύτην γνώμην εἶχε περὶ φιλοσοφίας ὁ Κριτίας, ἀπέστη τοῦ Σωκράτους.

6. Τὸν προσδιορισμὸν τοῦτον ἀπαιτεῖ τὸ ἐπίθετον ὁμοιότατον.

7. Ὁ Deuschle καὶ ὁ Hirschig προτείνουσιν, ὅπως ἀπαλείψωμεν τὴν φράσιν, ᾧ ἔτι προσήκει διαλέγεσθαι οὕτω, ἐν ᾧ ὁ Keck τὴν ἀθετησιν θεωρεῖ ὡς ἀβάσιμον. Κατὰ τὸν Kratz δὲν δύναται νὰ συνδεθῇ τὸ ψελλιζόμενον μετὰ τοῦ οὕτω διαλέγεσθαι. Ἀλλὰ τὸ ψελλίζεσθαι δὲν σημαίνει ἀσήμως λαλεῖν καθ' Ἡσύχιον, ἀλλὰ τραυλίζειν. Λοιπὸν ὁ παῖς ὁμιλεῖ τραυλίζων. Πάντως δυσκολίαν παρέχει, ὅτι μόνον τὸ ψελλιζομενον οὐχὶ δὲ καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λιζόμενον καὶ παῖζον, χαίρω τε καὶ χαρίεν μοι φαίνεται καὶ ἐλευθέριον[1] καὶ πρέπον τῇ τοῦ παιδίου ἡλικίᾳ, ὅταν δὲ σαφῶς διαλεγομένου[2] παιδαρίου ἀκούσω, πικρόν τί μοι δοκεῖ χρῆμα εἶναι καὶ ἀνιᾷ μου τὰ ὦτα καί μοι δοκεῖ δουλοπρεπές τι εἶναι· ὅταν
C δὲ ἀνδρὸς ἀκούσῃ τις ψελλιζομένου ἢ παίζοντα ὁρᾷ, καταγέλαστον φαίνεται καὶ ἄνανδρον καὶ πληγῶν ἄξιον. ταὐτὸν οὖν ἔγωγε τοῦτο πάσχω καὶ πρὸς τοὺς φιλοσοφοῦντας. παρὰ νέῳ μὲν γὰρ μειρακίῳ ὁρῶν φιλοσοφίαν ἄγαμαι, καὶ πρέπειν μοι δοκεῖ, καὶ ἡγοῦμαι ἐλεύθερόν[3] τινα εἶναι τοῦτον τὸν ἄνθρωπον, τὸν δὲ μὴ φιλοσοφοῦντα ἀνελεύθερον καὶ οὐδέποτε οὐδενὸς ἀξιώσοντα ἑαυτὸν οὔτε καλοῦ οὔτε γενναίου πράγματος· ὅταν δὲ δὴ πρεσβύ-
D τερον ἴδω ἔτι φιλοσοφοῦντα καὶ μὴ ἀπαλαττόμενον,[4] πληγῶν μοι δοκεῖ ἤδη δεῖσθαι, ὦ Σώκρατες, οὗτος ὁ ἀνήρ. ὃ γὰρ νῦν δὴ ἔλεγον, ὑπάρχει τούτῳ τῷ ἀνθρώπῳ, κἂν πάνυ εὐφυὴς ᾖ,[5] ἀνάνδρῳ γενέσθαι φεύγοντι τὰ μέσα[6] τῆς πόλεως καὶ τὰς ἀγοράς,[7] ἐν αἷς ἔφη ὁ ποιητὴς[8] τοὺς ἄνδρας ἀριπρεπεῖς γίγνεσθαι, καταδεδυκότι[9]

τὸ παῖζον ἐπεξηγεῖ τὸ οὕτω Ὁ Heindorf ἔτρεψε τὸ παῖζον εἰς παίζειν, ὅπερ συνέδεσε μετὰ τοῦ διαλέγεσθαι.

1. Τὸ ἐλευθέριον ποιεῖ ἀντίθεσιν πρὸς τὸ δουλοπρεπές, ὡς τὸ χαρίεν πρὸς τὸ πικρόν.

2. Εἶναι τὸ ἀντίθετον τοῦ ψελλίζεσθαι.

3. Ἡ σημασία τοῦ ἐπιθέτου τούτου προσδιορίζεται διὰ τοῦ ἑπομένου κώλου, ἐν ᾧ ἐξετάζεται τὸ πρᾶγμα ὑπὸ ἀρνητικὴν ἔποψιν. Ἡ φιλοσοφία ἀσκεῖ τὰς διανοητικὰς δυνάμεις τοῦ νέου, ὅπερ δὲν συμβαίνει ἐν τῷ πολιτικῷ βίῳ.

4. Λείπει τὸ ἀντικείμενον, τῆς φιλοσοφίας. Αἱ πληγαὶ κατὰ τὴν γνώμην τῶν ἀρχαίων ἦσαν ἄξιαι τῶν δούλων. Ὁ Καλλικλῆς τὸ φιλοσοφεῖν παρὰ τὴν ἡλικίαν θεωρεῖ οἱονεὶ δουλοπρεπὲς καὶ ἄξιον πληγῶν.

5. Διὰ τῆς φράσεως ταύτης ὑπαινίσσεται τὸν Σωκράτη.

6. Οἱ φιλόσοφοι ὡς ἡσυχίας δεόμενοι ἀποφεύγουσι τοὺς θορύβους τῶν κεντρικῶν τόπων τῆς πόλεως.

7. Μεταχειρίζεται τὴν λέξιν κατὰ τὴν Ὁμηρικὴν σημασίαν· ἡ ἀγορὰ παρὰ μὲν τοῖς Ἀθηναίοις ὠνομάζετο ἐκκλησία, παρὰ δὲ τοῖς Δωριεῦσιν ἁλία.

8. Ὁ κατ' ἐξοχὴν ποιητής, δηλ. ὁ Ὅμηρος, ὅστις ἐν Ἰλιάδ. I, 440, λέγει·

οὐδ' ἀγορέων, ἵνα τ' ἄνδρες ἀριπρεπέες τελέθουσιν.

9. Τοῦτο λέγεται ἐν ἀντιθέσει πρὸς τὴν κίνησιν τῶν μέσων τῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ τὸν λοιπὸν βίον βιῶναι μετὰ μειρακίων ἐν γωνίᾳ τριῶν ἢ τεττάρων ψιθυρίζοντα, ἐλεύθερον δὲ καὶ μέγα καὶ ἱκανὸν[2] μηδέποτε φθέγξασθαι. Ε

XLI. Ἐγὼ δέ,[3] ὦ Σώκρατες, πρὸς σὲ ἐπιεικῶς[4] ἔχω φιλικῶς· κινδυνεύω οὖν πεπονθέναι νῦν ὅπερ ὁ Ζῆθος πρὸς τὸν Ἀμφίονα[5] ὁ Εὐριπίδου, οὗπερ ἐμνήσθην. καὶ γὰρ ἐμοὶ τοιαῦτ' ἄττα ἐπέρχεται πρὸς σὲ λέγειν, οἷάπερ ἐκεῖνος πρὸς τὸν ἀδελφόν, ὅτι ἀμελεῖς, ὦ

πόλεως καὶ τῆς ἀγορᾶς. Τὸν τοιοῦτον βίον τῶν φιλοσόφων πολλοὶ τῶν ἀρχαίων παρετήρησαν, Ἐπίκτ. I, 29, σελ. 161. «Οὐ θέλεις τὰ μὲν λογάρια τὰ περὶ τούτων ἄλλοις ἀφεῖναι, ταλαιπώροις ἀνθρωπαρίοις, ἵν' ἐν ἀγωνίᾳ καθεζόμενοι μισθάρια λαμβάνωσι.» καὶ Φώτ. 1072. «Τοιγαροῦν οἱ ἐν γωνίᾳ καθήμενοι λόγιοι καὶ φιλοσοφοῦντες πολλὰ μάλα σεμνῶς περὶ δικαιοσύνης καὶ σωφροσύνης ἐκβαίνειν ἐπὶ τὰς πράξεις ἀναγκαζόμενοι ἀσχημονοῦσιν· ὡς ἅπας λόγος, ἂν ἀπῇ τὰ ἔργα, μάταιόν τι φαίνεται καὶ κενόν.»

1. Τῇ ἀληθείᾳ μετὰ χάριτος ὁ Καλλικλῆς κωμῳδεῖ τοὺς φιλοσόφους τῆς ἐποχῆς.

2. Εἰς τὸ ἐπίθετον τοῦτο προσέκρουσαν πολλοὶ τῶν κριτικῶν, ἐξ ὧν ὁ Heindorf εἶχαζεν, ὅτι μᾶλλον ἥρμοζε νὰ γραφῇ νεανικόν. Τοιαύτην σημασίαν, οἵαν ἀπαιτεῖ ἡ ἔννοια τοῦ χωρίου, ἔχει ἀλλαχοῦ τὸ ἐπίθετον, Πλάτ. Πολιτ. 6, 503, C. «Νεανικοί τε καὶ μεγαλοπρεπεῖς τὰς διανοίας.» Εἰς δὲ τὸν Κορᾶνν ἤρεσκε νὰ τραπῇ εἰς καλόν. Ἡμεῖς ἠθέλομεν τρέψει εἰς ἀνδρικόν, ὅπως ποιῇ ἀντίθεσιν πρὸς τὸ προηγούμενον ἐπίθετον ἄνανδρος. Ἐν τῇ οἰκίᾳ κάθηνται αἱ γυναῖκες καὶ οὐχὶ οἱ ἄνδρες, ἐν Νομ. IX, 879 B «καταδεδυκὼς δὲ ἐν τῇ οἰκίᾳ τὰ πολλὰ ὡς γυνὴ ζῇ». Τὸ νεανικὸν καθ' ἡμᾶς ἥκιστα ἁρμόζει ἐνταῦθα. Ἀφ' οὗ διάγει μετὰ μειρακίων, δύναται νὰ λέγῃ λόγον νεανικόν, ἀλλὰ δὲν δύναται νὰ λέγῃ καὶ ἀνδρικόν.

3. Ἀφ' οὗ ὁ Καλλικλῆς ἐπραγματεύθη περὶ φιλοσοφίας καθ' ὅλου, μεταβαίνει εἰδικῶς εἰς τὸ πρόσωπον τοῦ Σωκράτους, πρὸς ὃν ὁμιλεῖ μετὰ φιλοπροσηγόρου εἰρωνείας.

4. Τὸ ἐπίρρημα τοῦτο προσδιορίζει τὸ φιλικῶς.

5. Πάνυ εὐφυῶς ὁ Καλλικλῆς μεταχειρίζεται τὸν μῦθον τοῦτον, ἵνα δείξῃ τὴν ἀντίθεσιν τοῦ θεωρητικοῦ βίου πρὸς τὸν πρακτικόν. Ὁ Ἀμφίων καὶ ὁ Ζῆθος ἦσαν δίδυμοι ἀδελφοί, τέκνα τοῦ Διὸς καὶ τῆς Ἀντιόπης. Ταύτην ἤγαγεν εἰς Θήβας ὁ θεῖος αὐτῆς Λύκος, οὗ ἡ γυνὴ Δίρκη ἀπανθρώπως μετεχειρίσθη. Ἀλλ' αὕτη αὐστηρῶς βραδύτερον ὑπὸ τῶν υἱῶν τῆς Ἀντιόπης ἐτιμωρήθη. Οἱ υἱοὶ ταύτης ἀνετρέφοντο καὶ ἠνδροῦντο ὑπὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώκρατες, ὧν δεῖ σε ἐπιμελεῖσθαι,[1] καὶ φύσιν[2] ψυχῆς ὧδε γενναίαν μειρακιώδει[3] τινὶ διαπρέπεις[4] μορφώματι, καὶ οὔτ' ἂν δίκης
486 βουλαῖσι[5] προσθεῖ' ἂν ὀρθῶς λόγον, οὔτ' εἰκὸς ἂν καὶ πιθανὸν λάκοις.[6] οὐθ' ὑπὲρ ἄλλου νεανικὸν βούλευμα βουλεύσαιο. καίτοι,[7] ὦ φίλε Σώκρατες—καί μοι μηδὲν ἀχθεσθῇς· εὐνοίᾳ γὰρ ἐρῶ τῇ

τὴν προστασίαν ποιμένος, ἐξ ὧν ὁ μὲν Ἀμφίων ἠσχολεῖτο περὶ τὴν κιθαρῳδίαν, ὁ δὲ εὔρωστος Ζῆθος περὶ τὴν θήραν καὶ τὰ βουφόρβια. Ἡ λύρα τοῦ Ἀμφίονος, ἥτις ἦτο δῶρον τοῦ Ἀπόλλωνος, ἐκίνει καὶ αὐτοὺς τοὺς λίθους. Ἐκ τῶν δύο τούτων ἀδελφῶν ὁ ἕτερος κατεφρόνει τῶν ἔργων τοῦ ἑτέρου. Ὅτε δὲ κατέλαβον τὴν ἀρχὴν τῶν Θηβῶν, ἔκτισαν τὰ τείχη τῆς πόλεως, ὁ μὲν Ζῆθος διὰ τῆς σωματικῆς αὐτοῦ δυνάμεως, ὁ δὲ Ἀμφίων διὰ τῆς μουσικῆς ἁρμονίας. Ὅρα Ὀδύσσ. Λ, 260. Ὡς αἱ δυνάμεις τῶν δύο ἀδελφῶν συνεβάλοντο πρὸς οἰκοδομὴν τῶν τειχῶν, οὕτω καὶ ἡ πολιτικὴ ἐνέργεια μετὰ τῆς φιλοσοφικῆς θεωρίας πρέπει νὰ συνδέηται πρὸς ἵδρυσιν καὶ ἐδραίωσιν πάσης πολιτείας.

1. Κατὰ τὸν Σχολιαστήν· «Ὁ τῶν στίχων δὲ νοῦς οὗτος· ὁ Ζῆθος φησὶ τῷ Ἀμφίονι, μουσικῷ ὄντι· Ῥῖψον τὴν λύραν, κέχρησο δὲ ὅπλοις. Οὕτω καὶ Καλλικλῆς λέγει Σωκράτει. Ἄφες φιλοσοφίαν, ἐλθὲ δὲ ἐπὶ τὴν πόλιν καὶ δίκαζε.» Οἱ στίχοι κατὰ τὴν εἰκασίαν τοῦ Nauck (Fragmenta tragicorum Graecorum, σελ. 329) εἶχον ὡς ἑξῆς·

. . ἀμελεῖς, ὧν σε φροντίζειν ἐχρῆν·

ψυχῆς ἔχων γὰρ ὧδε γενναίαν φύσιν
γυναικομίμῳ διαπρέπεις μορφώ-
ματι,
. . . . . κοὔτ' ἂν ἀσπίδος κύτει
ὀρθῶς ὁμιλήσειας οὔτ' ἄλλων ὕπερ
νεανικὸν βούλευμα βουλεύσαιό τι.

2. Ἐπειδὴ τὸ ῥῆμα διαπρέπειν ἔχει ἀμετάβατον σημασίαν, ἡ αἰτιατικὴ αὕτη παρέσχε πράγματα τοῖς ἑρμηνευταῖς καὶ κριτικοῖς, ἐξ ὧν ἄλλοι μὲν λαμβάνουσι τὴν αἰτιατικὴν ἐπιρρηματικῶς, ἄλλοι δέ, ὡς ὁ Nauck καὶ ὁ Cron, νοοῦσι τὴν μετοχὴν ἔχων, ὅπερ πιθανώτερον.

3. Τὸ ἐπίθετον τοῦτο ἐσχημάτισεν ὁ Καλλικλῆς ἀντὶ τοῦ Εὐριπιδείου γυναικομίμῳ.

4. Ἐπειδὴ ἡ εἰρημένη αἰτιατικὴ παρέχει δυσκολίαν, ὁ Pierson τρέπει εἰς φθείρεις ἢ διαφθείρεις, ὅπερ ἀπίθανον, διότι καταστρέφει τὴν ποιητικὴν καὶ εἰρωνικὴν χροιὰν τοῦ λόγου τοῦ Καλλικλέους.

5. Τὰ τοιαῦτα ὑπῆρχον ἐν Ἀθήναις ἐπὶ Καλλικλέους, οὐχὶ ὅμως καὶ ἐπὶ Ζήθου.

6. Τὰ χειρόγραφα ἔχουσι λάβοις, ὅπερ ἐνταῦθα δὲν ἁρμόζει. Δικαίως ἐπαινεῖται ὑπὸ τοῦ Stallbaum καὶ Cron ἡ εἰκασία τοῦ Bonitz, ὅστις ἔτρεψεν εἰς λάκοις.

7. Κατὰ τὸν Kratz περιεμενομεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σῇ[1] —οὐκ αἰσχρὸν δοκεῖ σοι εἶναι οὕτως ἔχειν, ὡς ἐγὼ σὲ οἶμαι ἔχειν καὶ τοὺς ἄλλους τοὺς πόρρω[2] ἀεὶ φιλοσοφίας ἐλαύνοντας; νῦν γὰρ εἴ τις σοῦ λαβόμενος ἢ ἄλλου ὁτουοῦν τῶν τοιούτων εἰς τὸ δεσμωτήριον ἀπαγάγοι,[3] φάσκων ἀδικεῖν μηδὲν ἀδικοῦντα, **B**
οἶσθ' ὅτι[4] οὐκ ἂν ἔχοις ὅ τι χρήσαιο σαυτῷ, ἀλλ' ἰλιγγιᾷς ἂν καὶ χασμῷο οὐκ ἔχων ὅτι εἴποις, καὶ εἰς τὸ δικαστήριον ἀναβάς,[5] κατηγόρου τυχὼν πάνυ φαύλου καὶ μοχθηροῦ,[6] ἀποθάνοις ἄν, εἰ βούλοιτο θανάτου σοι τιμᾶσθαι.[7] καίτοι πῶς σοφὸν τὴν φράσιν οὕτωσί· καί τοι οὕτως ἔχεις, ὡς ἐγώ σε οἶμαι ἔχειν, ἀλλ' ἔτρεψε τὸν λόγον εἰς ἐρωτηματικόν.

1. Ἡ κτητικὴ ἀντωνυμία ἰσοδυναμεῖ πρὸς τὴν γενικὴν τῆς προσωπικῆς, ἥτις ἤθελεν εἶναι γενικὴ ἐξ ἀντικειμένου, δηλ. ἐπειδὴ εὐνοῶ σε.

2. Ἔχει μὲν ποιητικήν τινα χροιὰν ἡ φράσις, ὅμως εὑρηται παρὰ τοῖς πεζογράφοις, Πλάτ. ἐν Ἀπολογ. 20, Ε. «Τοὺς πόρρω ἀεὶ φιλοσοφίας ἐλαύνοντας» καὶ ἐν Εὐθύφρον. 4, Α.

3. Ἐνταῦθα οἱονεὶ προφητικῶς γίνεται ὑπαινιγμὸς εἰς τὴν δίκην καὶ καταδίκην τοῦ Σωκράτους. Ὄντως ὑπῆρχε κατηγορία τις ἀπαγωγὴ ὀνομαζομένη, καθ' ἣν ὁ ἐπ' αὐτοφώρῳ συλληφθεὶς ἀπήγετο ὑπὸ τῶν ἕνδεκα εἰς τὸ δεσμωτήριον. Τὰ ἐνταῦθα ὅμως λεγόμενα εἶναι ῥητορικὴ ὑπερβολή.

4. Ἡ φράσις αὕτη προϋποτίθησι τὴν ἀναγνώρισιν τῆς ἀληθείας παρ' ἐκείνου, μεθ' οὗ διαλέγεται.

5. Τὸ ἰλιγγιῶ σημαίνει εὑρίσκομαι εἰς ἀμηχανίαν ἤ, ὡς λέγομεν, δὲν ἔχω τὸν νοῦν μου εἰς τὸ κεφάλι, ὡς Ἀριστοφάν. ἐν Ἀχάρν. 582. «Ὑπὸ τοῦ δεους γὰρ τῶν ὅπλων εἰλιγγιῶ» καὶ 1218. Χασμᾶσθαι σημαίνει ἐκπλήττεσθαι, ἐξίστασθαι. Διὰ τῶν ῥημάτων τούτων δραματικώτερον εἰκονίζει τὴν ἀμηχανίαν τοῦ ἀδίκως ἀπαγομένου εἰς τὸ δικαστήριον.

6. Σύνηθες ῥῆμα περὶ τῶν δικαζομένων. Ὅρα Ἀπολογ. 33, D.

7. Ὁ Κορᾶῆς εἰκάζει, ὅτι ἁρμόζει νὰ γραφῇ καὶ πάνυ· ἡ εἰκασία δὲν εἶναι ἀτυχής.

8. Ὁ διὰ τῶν ἐπιθέτων τούτων γινόμενος ὑπαινιγμὸς ἐν τῷ στόματι τοῦ Καλλικλέους διεγείρει τὴν προσοχὴν τοῦ ἀναγνώστου.

9. Ἂν ἡ ποινὴ δὲν ὡρίζετο ὑπὸ τοῦ νόμου, ὁ διώκων καὶ ὁ φεύγων ὥριζον αὐτήν. Ὁ μὲν διώκων δὲν ὥριζε μεγάλην τιμήν, ὅπως μὴ οἱ δικασταὶ προτιμήσωσι τὴν τοῦ φεύγοντος, ὁ δὲ φεύγων δὲν ὥριζε πολὺ μικρὰν διὰ τὸν ἀντίστροφον λόγον, ἐν Ἀπολογ. 36, Β. «Τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτου. Εἶεν· ἐγὼ δὲ δὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φὸν[1] τοῦτό ἐστιν, ὦ Σώκρατες, εἴτις *εὐφυῆ λαβοῦσα τέχνη φῶτα ἔθηκε*[2] *χείρονα*, μήτε αὐτὸν αὑτῷ δυνάμενον βοηθεῖν, μηδ' ἐκσῶσαι ἐκ τῶν μεγίστων κινδύνων μήτε ἑαυτὸν μήτε ἄλλον μη-
C δένα, ὑπὸ δὲ τῶν ἐχθρῶν περισυλᾶσθαι[3] πᾶσαν τὴν οὐσίαν, ἀτεχνῶς δὲ ἄτιμον ζῆν ἐν τῇ πόλει; τὸν δὲ τοιοῦτον, εἴ τι καὶ ἀγροικότερον εἰρῆσθαι, ἔξεστιν ἐπὶ κόρρης τύπτοντα[4] μὴ διδόναι δίκην. ἀλλ', ὦ 'γαθέ, *ἐμοὶ πείθου*,[5] *παῦσαι* δ' ἐλέγχων,[6] πραγμάτων δ' *εὐμουσίαν*[7] *ἄσκει*, καὶ ἄσκει ὑπόθεν *δόξεις φρονεῖν*, *ἄλλοις*

τίνος ὑμῖν ἀντιτιμήσομαι, ὦ ἄνδρες Ἀθηναῖοι;»

1. Καὶ ἐνταῦθα ὁ σοφιστὴς παρῳδεῖ στίχους τῆς Ἀντιόπης τοῦ Εὐριπίδου, οἵτινες κατ' εἰκασίαν εἶχον οὕτως·

πῶς γὰρ σοφὸν τοῦτ'ἔστιν εἴτις εὐφυῆ
λαβοῦσα τέχνη φῶτ'ἔθηκε χείρονα;

2. Ποιητικὴ χρῆσις τῆς λέξεως ἀντὶ τοῦ ἐποίησεν.

3. Τὸ περισυλῶ σημαίνει ἁρπάζω ἀπὸ ὅλα τὰ μέρη καὶ οὕτως ἰσοδυναμεῖ πρὸς τὸ λῃστεύω. Τὸ ἀπαρέμφατον τοῦτο καὶ τὸ ζῆν, κατὰ τὸν Stallbaum, τὸν Jahn καὶ τὸν Kratz ἐξαρτῶνται ἐκ τοῦ ἔθηκε, κατὰ δὲ τὸν Cron κεῖνται ἀνακολούθως.

4. Ὁ Εὐστάθιος εἰς Ἰλιάδ. Ν, σελ. 923, παρατηρεῖ· «Κόρρην δέ, φησί, καὶ κόρσην Ἀττικοὶ τὴν ὅλην κεφαλὴν σὺν τῷ αὐχένι λέγουσι. Διὸ καὶ προπηλακισμὸς ἰσχυρός, φασί, τὸ ἐπὶ κόρρης καὶ μείζων τοῦ κονδύλου.» Ἐνταῦθα κατ'ἄλλον τύπον ὁ Καλλικλῆς μορμολύττεται. Διὰ τοιούτων ὑπερβολῶν πειρᾶται νὰ ἐκπλήξῃ τὸν Σωκράτη.

5. Ὁ Καλλικλῆς ἐξακολουθεῖ ἔχων ὑπ' ὄψει στίχους τῆς Ἀντιόπης τοῦ Εὐριπίδου·

. . . . . ἀλλ' ἐμοὶ πιθοῦ·
παῦσαι μελῳδῶν, πολεμίων δ' εὐμουσίαν
ἄσκει· τοιαῦτ' ἄειδε καὶ δόξεις φρονεῖν,
σκάπτων, ἀρῶν γῆν, ποιμνίοις ἐπιστατῶν,
ἄλλοις τὰ κομψὰ ταῦτ' ἀφεὶς σοφίσματα
ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις.

6. Τὸ ἐλέγχειν ποιεῖ ἐνταῦθα ἀντίθεσιν πρὸς τὰ πράγματα. Ὁ δὲ Ὀλυμπιόδωρος παρατηρεῖ· «Ὁ Ζῆθος, ὁ ἀδελφὸς αὐτοῦ, ἔλεγεν αὐτῷ, ὅτι ῥᾴψον τὴν λύραν καὶ κέχρησο ὅπλοις. Ἐκεῖνος εἶπε τῷ Ἀμφίονι, ὅτι πολέμων δὲ εὐμουσίαν ἄσκει, οὗτος δέ φησι πραγμάτων . . . .»

7. Ἡ λέξις εὐμουσία ἥρμοζεν εἰς τὸ στόμα τοῦ Ζήθου, διότι ὁ ἀδελφὸς αὐτοῦ ἦτο μουσικός. Ὡς δὲ ὁ Ζῆθος τὴν εὐμουσίαν μεταφέρει εἰς τὰ πολεμικά, οὕτως ὁ Καλλικλῆς εἰς τὰ πράγματα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ κομψὰ ταῦτ' ἀφείς, εἴτε λῆρήματα χρὴ φάναι εἶναι εἴτε[1] φλυαρίας, ἐξ ὧν κενοῖσιν ἐγκατοικήσεις δόμοις·[2] ζηλῶν οὐκ ἐλέγχοντας ἄνδρας τὰ μικρὰ ταῦτα,[3] ἀλλ' οἷς ἔστι καὶ βίος[4] καὶ δόξα καὶ ἄλλα πολλὰ ἀγαθά.[5] D

XLII. ΣΩ. Εἰ χρυσῆν[6] ἔχων ἐτύγχανον τὴν ψυχήν, ὦ Καλλίκλεις, οὐκ ἂν οἴει με ἄσμενον εὑρεῖν τούτων τινὰ τῶν λίθων,[7] ᾗ βασανίζουσι τὸν χρυσόν, τὴν ἀρίστην,[8] πρὸς ἥντινα ἔμελλον προσαγαγὼν αὐτήν, εἴ μοι ὁμολογήσειεν[9] ἐκείνη καλῶς τεθεραπεῦθαι[10] τὴν ψυχήν, εὖ εἴσεσθαι ὅτι ἱκανῶς ἔχω καὶ οὐδέν μοι δεῖ ἄλλης βασάνου;

ΚΑΛ. Πρὸς τί[11] δὴ τοῦτ' ἐρωτᾷς, ὦ Σώκρατες; E

1. Διὰ τοῦ εἴτε—εἴτε ὁ Καλλικλῆς θέλει νὰ δείξῃ τὴν ἄκραν αὐτοῦ περιφρόνησιν εἰς τὴν φιλοσοφίαν, ἤγουν ἀδιαφορεῖ, ἂν τις ὀνομάσῃ τὰ τῆς φιλοσοφίας λῆρήματα ἢ φλυαρίας, ἐν ὅμως ἐκ τῶν δύο εἶναι κατὰ τὴν γνώμην τοῦ πολιτικοῦ.

2. Παροιμιακῶς περὶ τῶν τεχνῶν, αἵτινες δὲν δίδουσιν οὐδὲ τὸν ἄρτον. Ἡ παρῳδία ἁρμόζει εἰς τὴν πενίαν τοῦ φιλοσόφου.

3. Δηλαδὴ τὰ ἀντικείμενα τῆς φιλοσοφικῆς ἐρεύνης ἐν ἀντιθέσει πρὸς τὰ ὑψηλὰ πράγματα τοῦ πολιτικοῦ ἀνδρός.

4. Σημαίνει πλοῦτον, ὡς καὶ ἐν τῇ καθ' ἡμᾶς γλώσσῃ· ἐλέχθη δὲ ἐν ἀντιθέσει πρὸς τὸ κενοῖσι δόμοις.

5. Βεβαίως ἀγαθὰ κατὰ τὴν γνώμην τοῦ Καλλικλέους εἶναι τὰ ἀντικείμενα τοῦ ἀπολαυστικοῦ βίου.

6. Ἴσως οὐδαμοῦ ἀλλαχοῦ ἡ Σωκρατικὴ εἰρωνεία εἶναι οὕτω χαρίεσσα, ὡς ἐνταῦθα. Πρὸς τὴν ψευδῆ σοφίαν καὶ εὔνοιαν τοῦ Καλλικλέους ὁ Σωκράτης ἀντεπεξέρχεται μετὰ ἠρέμου μεγαλοπρεπείας καὶ λεπτῆς εἰρωνείας. Ἐπειδὴ ὁ Καλλικλῆς τὸ κριτήριον, τῆς ἀληθείας ἔθηκεν ἐν τῇ κεφαλῇ αὐτοῦ, εἰρωνεύεται τοῦτον ὁ φιλόσοφος.

7. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ἰστέον, ὅτι τὴν λίθον, δι' ἧς δοκιμάζουσι τὸν χρυσόν, οἱ μὲν ἰδίως βάσανον, οἱ δὲ Λυδίαν καλοῦσιν.» Μετὰ τῆς προσθήκης ὅμως τοῦ οὐσιαστικοῦ λίθον.

8. Ἡ αἰτιατικὴ αὕτη εἶναι παράθεσις εἰς τὸ τινά.

9. Μεταφορικῶς τὸ ῥῆμα ἐλήφθη καὶ ἐπὶ τῆς Λυδίας λίθου.

10. Τὰ περὶ θεραπείας τῆς ψυχῆς ἀνέπτυξεν ἱκανῶς ἐν τοῖς ἔμπροσθεν, 464, Β. Διὰ τῆς φράσεως ταύτης ὁ Σωκράτης ὑπαινίσσεται, ὅτι τὸ περὶ τοῦ βίου ζήτημα εἶναι ψυχολογικόν, ὡς λέγει ὁ Cron.

11. Ἐπειδὴ ὁ Σωκράτης ἄρχεται τοῦ λόγου πόρρωθεν, συχνάκις διεγείρει ἀπορίας καὶ ἐρωτήσεις παρ' ἐκείνων, μεθ' ὧν διαλέγεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Ἐγώ σοι ἐρῶ· νῦν οἶμαι ἐγώ σοι ἐντετυχηκὼς τοιούτῳ ἑρμαίῳ[1] ἐντετυχηκέναι.

ΚΑΛ. Τί δή;

ΣΩ. Εὖ οἶδ' ὅτι, ἄν[2] μοι σὺ ὁμολογήσῃς περὶ ὧν ἡ ἐμὴ ψυχὴ δοξάζει, ταῦτ' ἤδη[3] ἐστὶν αὐτὰ τἀληθῆ. ἐννοῶ γάρ, ὅτι τὸν μέλ-
487 λοντα βασανιεῖν ἱκανῶς ψυχῆς πέρι ὀρθῶς τε ζώσης καὶ μή τρία ἄρα δεῖ ἔχειν, ἃ σὺ πάντα ἔχεις, ἐπιστήμην τε καὶ εὔνοιαν καὶ παρρησίαν. ἐγὼ γὰρ πολλοῖς ἐντυγχάνω,[4] οἳ ἐμὲ οὐχ οἷοί τε εἰσὶ βασανίζειν, διὰ τὸ μὴ σοφοὶ εἶναι ὥσπερ σύ· ἕτεροι δὲ σοφοὶ μέν εἰσιν, οὐκ ἐθέλουσι δέ μοι λέγειν τὴν ἀλήθειαν διὰ τὸ μὴ κήδεσθαί μου ὥσπερ σύ· τῷ δὲ ξένῳ[5] τῷδε, Γοργίας
B τε καὶ Πῶλος, σοφῷ μὲν καὶ φίλῳ ἑστὸν ἐμῷ, ἐνδεεστέρω δὲ παρρησίας καὶ αἰσχυντηροτέρω[6] μᾶλλον τοῦ δέοντος· πῶς

1. Ἕρμαιον σημαίνει τὸ ἀνέλπιστον ὄφελος, τὸ ἀπροσδόκητον κέρδος, ὡς καὶ παρὰ Φαίδωνι, 107, C. «Ἕρμαιον ἂν ἦν τοῖς κακοῖς ἀποθνοῦσι τοῦ τε σώματος ἅμα ἀπηλλάχθαι καὶ τῆς αὑτῶν κακίας μετὰ τῆς ψυχῆς.» Μεθ' ἱκανῆς εἰρωνείας λέγει τὸν Καλλικλέα ἕρμαιον.

2. Κατὰ σύστασιν τοῦ Bekker σχεδὸν πάντες οἱ νεώτεροι ἐκδόται ἔτρεψαν τὸ ἂν εἰς ἀν. Ὁ Cron ὅμως δὲν δέχεται τὴν διόρθωσιν· διότι καὶ τὸ ὁμολογεῖν δὲν ἀπαιτεῖ αἰτιατικήν, ἀλλὰ δύναται νὰ συνταχθῇ μετὰ τῆς περὶ καὶ γενικῆς καὶ τὸ ἑπόμενον ταῦτα δὲν ζητεῖ ἀπολύτως τὸ ἄ.

3. Δηλαδὴ δὲν ἔχω ἀναγκην πλέον ἄλλης ἀποδείξεως.

4. Ἐννοεῖται πάλιν τὸ ὀρθῶς. Ὁ Deuschle τὸ ἄρα ἔτρεψεν εἰς ἅμα, ὅπερ, ὡς ὀρθῶς λέγει ὁ Keck, ἐνταῦθα εἶναι περιττόν· διότι ὁ λέγων, ὅτι ὁ κριτὴς πρέπει νὰ ἔχῃ τρεῖς ἰδιότητας, ἐννοεῖ, ὅτι ταύτας πρέπει νὰ ἔχῃ συγχρόνως καὶ ὅτι οὐδεμία πρέπει νὰ λείπῃ. Τοὐναντίον τὸ ἄρα μετὰ τὸ τρία ἁρμόζει ἐνταῦθα· δηλ. κεῖται ἐν τῇ φύσει τοῦ πράγματος, δὲν ἔχει ἀνάγκην ἀποδείξεως ἄλλης, ὡς λέγει ὁ Cron.

5. Εἰρωνικῶς ὀνομάζει παρρησίαν τὰς καθ' ἑαυτοῦ προσβολάς. Τοῦτο εἶναι μᾶλλον ἀναισχυντία.

6. Ἡ φράσις αὕτη ὑπομνήσκει τὰ ἐν τῇ Ἀπολογίᾳ, 21, B. «Ἦλθον ἐπί τινα τῶν δοκούντων σοφῶν εἶναι, ὡς ἐντεῦθα, εἴπερ που, ἐλέγξων τὸ μαντεῖον καὶ ἀποφανῶν τῷ χρησμῷ ὅτι οὗτοσὶ ἐμοῦ σοφώτερός ἐστι, σὺ δ' ἐμὲ ἔφησθα.»

7. Σοφὸν λέγει τὸν Καλλικλέα, διότι ἔλαβε θέσιν διδασκάλου.

8. Ἀμφότεροι ἦσαν Σικελοί.

9. Ἐπειδὴ ὁ Καλλικλῆς εἶπεν, ὅτι ὁ Γοργίας καὶ ὁ Πῶλος ἐξ αἰ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ οὔ;[1] ὦ γε εἰς τοσοῦτον αἰσχύνης ἐληλύθατον, ὥστε διὰ τὸ αἰσχύνεσθαι τολμᾷ[2] ἑκάτερος αὐτῶν αὐτὸς αὑτῷ[3] ἐναντία λέ- B γειν ἐναντίον[4] πολλῶν ἀνθρώπων, καὶ ταῦτα περὶ τῶν μεγίστων.[5] σὺ δὲ ταῦτα[6] πάντα ἔχεις, ἃ οἱ ἄλλοι οὐκ ἔχουσι· πεπαίδευσαί τε γὰρ ἱκανῶς,[7] ὡς πολλοί[8] ἂν φήσαιεν Ἀθηναίων, καὶ ἐμοὶ εἶ εὔνους. τίνι τεκμηρίῳ χρῶμαι; ἐγώ σοι ἐρῶ· οἶδα ὑμᾶς ἐγώ, ὦ C Καλλίκλεις, τέτταρας ὄντας κοινωνοὺς γεγονότας σοφίας,[9] σέ τε καὶ Τίσανδρον[10] τὸν Ἀφιδναῖον καὶ Ἄνδρωνα τὸν Ἀνδροτίωνος καὶ Ναυσικύδην τὸν Χολαργέα· καὶ ποτε ὑμῶν ἐγὼ ἐπῄκουσα[11]

δοῦς ὡμολόγησαν πράγματα, ἅπερ δὲν ὤφειλον νὰ ὁμολογήσωσι καὶ ἐντεῦθεν ὁ Σωκράτης περιέπλεξεν αὐτοὺς εἰς ἀντιφάσεις, ἐνταῦθα πάνυ εὐφυῶς τὴν παρρησίαν τοῦ Καλλικλέους χαρακτηρίζει ὡς ἀναισχυντίαν.

1. Ὁ Σωκράτης πειρᾶται, ἵνα τὴν εἰρωνείαν ἐπιβεβαιώσῃ καὶ ἀντικειμενικῶς.

2. Τὸ τολμᾶν μετὰ τοῦ αἰσχύνεσθαι ἀποτελεῖ σχῆμα ὀξύμωρον· διότι ἡ αἰσχύνη καὶ ἡ αἰδὼς δὲν παράγουσι τόλμην.

3. Ἔθηκε τὰς τρεῖς ἀντωνυμίας κατὰ σειράν, ἵνα δείξῃ ὡς οἷόν τε ἀποτόμως τὴν ἀντίφασιν.

4. Ἐνταῦθα σημαίνει τὸ ἐνώπιον πολλῶν ἀνθρώπων, οἵτινες ἦσαν ἀκροαταὶ τοῦ διαλόγου.

5. Ὁ Σωκράτης ὀνομάζει τὰ τῆς φιλοσοφίας τὰ μέγιστα ἐν ἀντιθέσει πρὸς τὸν Καλλικλέα, ὅστις ὠνόμασε ταῦτα μικρά.

6. Ἐκεῖνα, ἃ ἠρίθμησε πρὸ ὀλίγου.

7. Ὀρθῶς μετεχειρίσθη τὸν προσδιορισμὸν τοῦτον, διότι ἡ παίδευσις κατὰ τὴν γνώμην τοῦ Καλλικλέους ἔχει ὅρια, ἅπερ δὲν πρέπει νὰ ὑπερβῇ τις.

8. Δηλαδὴ κατὰ τὴν κοινὴν γνώμην τοῦ πλήθους, ὅπερ τοὺς ῥήτορας καὶ τοὺς παραπλησίους σοφοὺς ἐνόμιζεν.

9. Ἐπειδὴ τὰ τρία ἄλλα πρόσωπα εἶναι σχεδὸν ἄγνωστα, εἰκάζομεν, ὅτι πρὸς περιφρόνησιν τάσσει τὸν Καλλικλέα ἐν τούτοις.

10. Ὁ μὲν Τίσανδρος μόνον ἐνταῦθα μνημονεύεται, ὁ δὲ Ἄνδρων ἐν τῷ Πρωταγόρᾳ 315, C, παρίσταται ὡς ἀκροατὴς τοῦ Ἱππίου. Τὸν Ναυσικύδην γινώσκομεν ἐκ τῶν ἀπομνημονευμάτων τοῦ Ξενοφῶντος, II, 7, 6. «Εἶτ' οὐκ οἶσθ' ὅτι ἀφ' ἑνὸς μὲν τούτων, ἀλφιτοποιίας, Ναυσικύδης οὐ μόνον ἑαυτόν τε καὶ τοὺς οἰκέτας τρέφει, ἀλλὰ πρὸς τούτοις καὶ ὡς πολλὰς καὶ βοῦς περιποιεῖται τοσαύτας, ὥστε καὶ τῇ πόλει πολλάκις λειτουργεῖν.» Αἱ Ἀφιδναὶ καὶ οἱ Χολαργεῖς ἦσαν ἀττικοὶ δῆμοι.

11. Ἐκεῖνος ἐπακούει, ὅστις ἐκτὸς τοῦ κύκλου τῶν διαλεγομέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βουλευομένων, μέχρι ὅποι τὴν σοφίαν ἀσκητέον εἴη, καὶ οἶδα ὅτι ἐνίκα[1] ἐν ὑμῖν τοιάδε τις δόξα, μὴ προθυμεῖσθαι εἰς τὴν
D ἀκρίβειαν[2] φιλοσοφεῖν, ἀλλὰ εὐλαβεῖσθαι παρεκελεύεσθε ἀλλήλοις, ὅπως[3] μὴ πέρα τοῦ δέοντος σοφώτεροι γενόμενοι λήσετε διαφθαρέντες.[4] ἐπειδὴ οὖν σου ἀκούω ταὐτὰ ἐμοὶ συμβουλεύοντος, ἅπερ τοῖς σεαυτοῦ ἑταιροτάτοις,[5] ἱκανόν μοι τεκμήριόν ἐστιν, ὅτι ὡς ἀληθῶς μοι εὔνους εἶ. καὶ μὴν ὅτι γε οἷος παρρησιάζεσθαι καὶ μὴ αἰσχύνεσθαι, αὐτός τε φὴς καὶ ὁ λόγος, ὃν ὀλίγον πρότε-
E ρον ἔλεγες, ὁμολογεῖ σοι. ἔχει δὴ[6] οὑτωσὶ δῆλον ὅτι τούτων πέρι νυνί· ἐάν τι σὺ ἐν τοῖς λόγοις ὁμολογήσῃς μοι, βεβασανισμένον τοῦτ' ἤδη ἔσται ἱκανῶς ὑπ' ἐμοῦ τε καὶ σοῦ, καὶ οὐκέτι αὐτὸ δεήσει ἐπ' ἄλλην βάσανον ἀναφέρειν.[7] οὐ γὰρ ἄν ποτε αὐτὸ συνεχώρησας[8] σὺ οὔτε σοφίας ἐνδείᾳ οὔτ' αἰσχύνης

νων εὑρισκόμενος ἀκούει τὰ λεγόμενα, ὡς λέγει ὁ Hirschig. Ὅρα Ξενοφ. ἐν Κύρ. ἀναβάσ. 7, 1, 14, καὶ Πλάτ. ἐν Φαίδρ. 268 B. Ὁ αὐτὸς ἀνὴρ ἀντὶ τοῦ μέχρι ὅποι γράφει μέχρι ὅπου, ὅπερ δὲν εἶναι μὲν ἄτοπον, ἀλλ' οὐχὶ καὶ ἀναγκαῖον φαίνεται.

1. Ἡ φράσις ἔχει κωμικὴν χροιάν, διότι πολιτικὸς μετ' ἀλφιτοποιοῦ καὶ ἄλλων ἴσως ὁμοίων συζητοῦσι καὶ οἱονεὶ ψηφίζουσι περὶ φιλοσοφίας, ἣν ὅμως ἀγνοοῦσιν.

2. Ἡ εἰς μετὰ αἰτιατικῆς σημαίνει τὸ τέρμα τῆς προθυμίας. Οἱ βουλευόμενοι ἐφρόνουν, ὅτι πρέπει νὰ γινώσκωσι μόνον τὰ κεφάλαια καὶ οὐχὶ τὰ καθ' ἕκαστον τῆς φιλοσοφίας, ὡς ποιοῦσιν οἱ ἐγκυκλοπαιδικοί.

3. Τὸ ὅπως φέρεται εἰς μέλλοντα τῆς ὁριστικῆς μετὰ τὰ ῥήματα εὐλαβεῖσθαι, φοβεῖσθαι καὶ τὰ τοιαῦτα.

4. Ἐν τοῖς ἔμπροσθεν ὁ Καλλικλῆς ἔλεγε περὶ φιλοσοφίας· «Ἐὰν δὲ περαιτέρω τοῦ δέοντος ἐνδιατρίψῃ, διαφθορὰ τῶν ἀνθρώπων.» 484, C. Οἱ ἀλφιτοποιοὶ πάντοτε κατὰ τὸ μᾶλλον ἢ ἧττον τοιαύτην γνώμην περὶ φιλοσοφίας ἔχουσιν.

5. Τὸ ὑπερθετικὸν τοῦτο εὑρίσκεται καὶ ἐν Φαίδωνι, 89. D.

6. Ὁ Σωκράτης μεταβαίνει εἰς τὸ συμπέρασμα τοῦ λόγου, ὅστις ἤρξατο ἐν 486 E. Αἱ λέξεις κατὰ γραμματικὴν ἀκρίβειαν ἔχουσι οὑτωσί, δῆλον δή, ὅτι οὑτωσὶ ἔχει νυνὶ περὶ τούτων.

7. Τὸ ὑποκείμενον εἶναι ἡμᾶς. Τὰ εἰρημένα σκοποῦσιν, ὅπως ἀποφράξωσι τὴν θύραν, δι' ἧς ἠδύνατο νὰ διαφύγῃ ὁ Καλλικλῆς ὡς ὁ Γοργίας καὶ ὁ Πῶλος, οἵτινες εἰκονίσθησαν ὡς αἰσχυντηροί.

8. Μετεχειρίσθη τὸν παρῳχημένον τῆς ὁριστικῆς μετὰ τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρουσίᾳ,[1] οὐδ' αὖ ἀπατῶν ἐμὲ συγχωρήσαις ἄν·[2] φίλος γάρ μοι εἶ, ὡς καὶ αὐτὸς φῄς. τῷ ὄντι οὖν ἡ ἐμὴ καὶ σὴ ὁμολογία τέλος ἤδη ἔξει τῆς ἀληθείας.[3] πάντων δὲ καλλίστη ἐστὶν ἡ σκέψις, ὦ Καλλίκλεις, περὶ τούτων ὧν σὺ δή μοι ἐπετίμησας, ποῖόν τινα[4] χρὴ εἶναι τὸν ἄνδρα καὶ τί ἐπιτηδεύειν καὶ μέχρι τοῦ, καὶ 488
πρεσβύτερον καὶ νεώτερον[5] ὄντα. ἐγὼ γὰρ εἴ τι μὴ ὀρθῶς πράττω κατὰ τὸν βίον[6] τὸν ἐμαυτοῦ, εὖ ἴσθι τοῦτο ὅτι οὐχ ἑκὼν ἐξαμαρτάνω ἀλλ' ἀμαθίᾳ[7] τῇ ἐμῇ· σὺ οὖν, ὥσπερ ἤρξω[8] νουθετεῖν με, μὴ ἀποστῇς, ἀλλ' ἱκανῶς μοι ἔνδειξαι, τί ἐστι τοῦτο, ὃ ἐπιτηδευτέον μοι,[9] καὶ τίνα τρόπον κτησαίμην ἂν αὐτό, καὶ ἐάν με λάβῃς νῦν μέν σοι ὁμολογήσαντα, ἐν δὲ τῷ ὑστέρῳ χρόνῳ μὴ ταῦτα πράττοντα ἅπερ ὡμολόγησα, πάνυ με ἠγοῦ βλακα[10] εἶναι

ἄν, διότι μετατίθεται εἰς τὸν χρόνον, καθ' ὃν θὰ ἐπέλθῃ ὁμολογία ἐν ἀμφοτέροις, ὡς ὀρθῶς λέγει ὁ Jahn.

1. Ἓν μόνον χειρόγραφον ἔχει περιουσίᾳ, ὅπερ διατηροῦσιν ὁ Hermann καὶ ὁ Hirschig, ἀλλ' ὡς ὀρθῶς παρατηρεῖ ὁ Stallbaum, ὅτι τὸ παρουσίᾳ ἀντιτίθεται πρὸς τὸ ἐνδείᾳ.

2. Κατὰ τὸν Hirschig πρέπει νὰ ἀπορρίψωμεν τὴν φράσιν συγχωρήσας ἄν· διότι ἀρκεῖ τὸ προηγούμενον συνεχώρησας, ἔνθα καὶ τὸ σοφίας ἐνδείᾳ = ἔχων ἐπιστήμην.

3. Δηλαδὴ ἡ πλήρης ἀλήθεια, ὡς τέλος γάμοιο, τέλος θανάτοιο παρ' Ὁμήρῳ.

4. Ἡ ἀόριστος ἀντωνυμία συντάσσεται μετὰ ἐπιθέτων καὶ ἀντωνυμιῶν ποιότητος, πλήθους καὶ μεγέθους σημαντικῶν, ὅταν ταῦτα ἦναι ἄνευ οὐσιαστικῶν ἢ ἔχωσι θέσιν κατηγορουμένου, Ἡρόδοτ. 4, 198 «Δοκέει μοι οὐδ' ἀρετὴν εἶναί τις ἡ Λιβύη σπουδαίη.» Πλατ. ἐν Πολιτ. II, 358, Β. «Ἐγώ τις, ὡς ἔοικε, δυσμαθής.» Θουκυδ. 6, 1.

5. Ὁ Σωκράτης λέγει ταῦτα, διότι ὁ Καλλικλῆς ἐποίησε διάκρισιν τῶν ἡλικιῶν ἐν τῇ παιδεύσει, 485, Α.

6. Ἐνταῦθα δὲν σημαίνει τὸν χρόνον, καθ' ὃν εὑρίσκεταί τις ἐν τῇ ζωῇ, ἀλλὰ τὸν τρόπον τῆς ζωῆς.

7. Ἡ ἀμαθία ποιεῖ ἀντίθεσιν πρὸς τὸ ἑκών. Ὁ Σωκράτης ἐπίστευεν, ὅτι οὐδεὶς ἑκὼν εἶναι κακός. Κατ' αὐτὸν οἱ κακοὶ εἶναι ἀμαθεῖς.

8. Τὸ ἤρξω μετὰ ἀπαρεμφάτου προσεγγίζει εἰς τὴν σημασίαν τοῦ ἐπειρῶ.

9. Ἐνταῦθα προπαρασκευάζεται τὸ ζήτημα περὶ τοῦ Πῶς βιωτέον.

10. Ἡ λέξις εἶναι συγγενὴς πρὸς τὸ μαλάσσω καὶ μαλακός, ἡ δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ μηκέτι ποτέ με νουθετήσῃς ὕστερον, ὡς μηδενὸς ἄξιον ὄντα.
B ἐξ ἀρχῆς δέ μοι ἐπανάλαβε,[1] πῶς φῂς τὸ δίκαιον ἔχειν καὶ σὺ καὶ Πίνδαρος τὸ κατὰ φύσιν; ἄγειν[2] βίᾳ τὸν κρείττω τὰ τῶν ἥττόνων καὶ ἄρχειν τὸν βελτίω τῶν χειρόνων καὶ πλέον ἔχειν τὸν ἀμείνω τοῦ φαυλοτέρου; μή τι ἄλλο λέγεις τὸ δίκαιον εἶναι, ἢ ὀρθῶς μέμνημαι;

XLIII. ΚΑΛ. Ἀλλὰ[3] ταῦτα ἔλεγον καὶ τότε καὶ νῦν λέγω.

ΣΩ. Πότερον δὲ τὸν αὐτὸν βελτίω καλεῖς σὺ καὶ κρείττω;
C οὐδὲ γάρ τοι τότε[4] οἷός τ' ἦ μαθεῖν σου[5] τί ποτε λέγεις. πότερον τοὺς ἰσχυροτέρους κρείττους καλεῖς καὶ δεῖ ἀκροᾶσθαι[6] τοῦ ἰσχυροτέρου τοὺς ἀσθενεστέρους, οἷόν μοι δοκεῖς καὶ τότε ἐνδείκνυσθαι, ὡς αἱ μεγάλαι πόλεις ἐπὶ τὰς σμικρὰς κατὰ τὸ φύσει δίκαιον ἔρχονται, ὅτι κρείττους εἰσὶ καὶ ἰσχυρότεραι, ὡς τὸ κρεῖττον καὶ ἰσχυρότερον καὶ βέλτιον ταὐτὸν ὄν, ἢ[7] ἔστι βελτίω μὲν εἶναι, ἥττω δὲ καὶ ἀσθενέστερον, καὶ κρείττω μὲν εἶναι, μοχθη-
D ρότερον δέ· ἢ ὁ αὐτὸς ὅρος[8] ἐστὶ τοῦ βελτίονος καὶ τοῦ κρείττο-

κατασκευὴ αὐτῆς ἔχει ἀναλογίαν πρὸς τὴν βροτὸς ἐκ τοῦ μορτός, μροτὸς βροτός.

1. Ἐπὶ ἀνακεφαλαιώσεως συνηθέστερον ὁ Πλάτων μεταχειρίζεται τὸ ῥῆμα ἀναλαμβάνειν. Ὅρα 506, C καὶ Ἀπολογ. 19, Δ.

2. Ὁ Σωκράτης μετά τινος ἐλευθερίας ἐπαναλαμβάνει τὴν ἔννοιαν τῶν Πινδαρικῶν στίχων.

3. Ὁ ἀλλὰ προϋποτίθησι σιωπηθεῖσαν ἄρνησιν, δηλ. δὲν ἔλεγον ἄλλο τι, ἀλλὰ ταῦτα. Ὁ Καλλικλῆς ὁμιλεῖ ἐνταῦθα μετὰ συνειδήσεως, ὅτι δὲν ἀποσύρει ἐκεῖνο, ὅπερ ἅπαξ εἶπε. Δεικνύει δὲ ἐνταῦθα σταθερὸν χαρακτῆρα, ἐν ᾧ πολλάκις μεταβάλλεται διὰ τὴν διαλεκτικὴν τοῦ Σωκράτους δεινότητα. Ἐν τῷ κεφαλαίῳ τούτῳ τὸ φυσικὸν δίκαιον ταὐτίζει ὁ φιλόσοφος μετὰ τοῦ θετοῦ καὶ δὴ τὸ ἀδικεῖν ἀποδείκνυται οὐ μόνον νόμῳ αἴσχιον, ὡς ὡμολογήθη, ἀλλὰ καὶ φύσει.

4. Ἀναφέρεται εἰς τὰ εἰρημένα ἐν 483 D καὶ E.

5 Τὸ μανθάνειν συντάσσεται καὶ μετὰ ἁπλῆς γενικῆς, Σοφοκλ. ἐν Φιλοκτ. 370.

6. Ἐνταῦθα ἔχει τὴν σημασίαν τοῦ ὑπακούειν, ὡς καὶ παρ' Ἀριστοφάν. ἐν Ὄρν. 1223. «Κούδέπω γνώσεσθ' ὅτι ἀκροατέ' ὑμῖν ἐν μέρει τῶν κρειττόνων.»

7. Τοῦτο εἶναι τὸ δεύτερον μέρος τῆς ἐρωτήσεως, ἧς ἤρξατο ἐκ τοῦ πότερον. Ὁ Σωκράτης ἐρωτᾷ, ἂν κρείττονες ἦναι οἱ σωματικῶς ἰσχυρότεροι ἢ οἱ ὑπὸ ἄλλας ὄψεις καλλίτεροι.

8. Ἢ βελτίων καὶ κρειττων ἔ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νος; τοῦτό μοι αὐτὸ σαφῶς διόρισον,[1] ταὐτὸν ἢ ἕτερόν ἐστι τὸ κρεῖττον καὶ τὸ βέλτιον καὶ τὸ ἰσχυρότερον;

ΚΑΛ. Ἀλλ' ἐγώ σοι σαφῶς λέγω, ὅτι ταὐτόν ἐστιν.[2]

ΣΩ. Οὐκοῦν οἱ πολλοὶ τοῦ ἑνὸς κρείττους εἰσὶ κατὰ φύσιν; οἳ[3] δὴ καὶ τοὺς νόμους τίθενται ἐπὶ τῷ ἑνί,[4] ὥσπερ καὶ σὺ ἄρτι ἔλεγες.[5]

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Τὰ τῶν πολλῶν ἄρα νόμιμα τὰ τῶν κρειττόνων ἐστίν.

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν τὰ τῶν βελτιόνων; οἱ γὰρ κρείττους βελτίους Ε πολὺ[6] κατὰ τὸν σὸν λόγον.

ΚΑΛ. Ναί.

χουσι τὸν αὐτὸν ὁρισμόν, τὴν αὐτὴν σημασίαν..

1. Ὁ σαφὴς ὁρισμὸς ἀποκρούει πᾶσαν παρανόησιν. Κατὰ τὸν ἡμέτερον Λιβαδᾶν· « Ἐρωτηθείς ποτε ὁ Λεϊβνιτιος «Πόθεν αἱ ἔριδες;» « Ἐκ τῶν ὀνομάτων, ἢ τῶν ἀφῃρημένων ἐννοιῶν ἀπεκρίνατο· οἱ κέρδεσιν ἡττώμενοι σοφισταὶ καὶ οἱ πολλοί, οἱ μηδὲν εἰδότες καὶ μηδὲν ἐπιστάμενοι, οὐδεμίαν ἔχοντες πλήρη συνείδησιν τοῦ τε βάθους καὶ τοῦ πλάτους ἑκάστης ἐννοίας, συγχέουσι ταύτην πρὸς ἄλλας κατ' ἐπίφασιν μὲν ὁμοίας, κατ' οὐσίαν δὲ πάνυ ἀλλήλων διαφερούσας· οὕτω δὲ διαγωνίζονται ὑπὲρ τοῦ μὴ ὀρθοῦ ὡς ὀρθοῦ, ὑπὲρ τοῦ ἀνοήτου ὡς ἐλλόγου, ὑπὲρ τοῦ ψεύδους ὡς ἀληθοῦς, ὑπὲρ τοῦ δικαίου ὡς ἀδίκου, ὑπὲρ τοῦ αἰσχροῦ ὡς καλοῦ.»

2. Διὰ τῆς ταὐτίσεως τῶν κρειττόνων μετὰ τῶν βελτιόνων καταρρίπτει ὁ Καλλικλῆς ὅτι μετὰ μεγαλορρημοσύνης ἀνήγειρε. Συλλογισμός. Κρείττονες (φυσικῶς ἰσχυρότεροι) καὶ βελτίονες εἶναι τὸ αὐτό. Οἱ πολλοὶ εἶναι κρείττονες καὶ δὴ βελτίονες τοῦ ἑνός. Ἆρα οἱ νόμοι τῶν πολλῶν εἶναι τῶν κρειττόνων καὶ βελτιόνων, ἄρα τὸ θέσει δίκαιον εἶναι καὶ φύσει δίκαιον.

3. Ἡ ἀναφορικὴ ἀντωνυμία ἐνέχει αἰτιολογικὴν σημασίαν. Διὰ τοῦ δὴ θέλει νὰ δείξῃ τὸ ἀντικειμενικῶς ἀληθές.

4. Δηλαδὴ οἱ ὑπὸ τῶν πολλῶν τιθέμενοι νόμοι ἔχουσι κῦρος ἐπὶ τοῦ ἑνός.

5 Ὁ Καλλικλῆς εἶπε μέν, ὅτι οἱ πολλοὶ τίθενται τοὺς νόμους, ἀλλ' ἐχαρακτήρισε τούτους ὡς ἀσθενεῖς.

6. Ἥκιστα ἁρμοζει τὸ πολύ· καὶ ὁ μὲν Κοραῆς εἰκάζει πάλιν, ὁ δὲ Hermann που, ὅπερ καὶ ὁ Stallbaum ἐπιδοκιμάζει.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ε ΣΩ. Οὐκοῦν τὰ τούτων νόμιμα κατὰ φύσιν καλά, κρειττόνων γε ὄντων;

ΚΑΛ. Φημί.

ΣΩ. Ἆρ' οὖν οἱ πολλοὶ νομίζουσιν οὕτως, ὡς ἄρτι αὖ σὺ ἔλεγες, δίκαιον εἶναι τὸ ἴσον ἔχειν καὶ αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι; ἔστι ταῦτα ἢ οὔ; καὶ ὅπως μὴ ἀλώσει ἐνταῦθα σὺ αἰσχυνόμενος·[1]
489 νομίζουσιν, ἢ οὔ, οἱ πολλοὶ τὸ ἴσον ἔχειν ἀλλ' οὐ τὸ πλέον δίκαιον εἶναι, καὶ αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι; μὴ φθόνει μοι[2] ἀποκρίνασθαι τοῦτο, Καλλίκλεις, ἵν', ἐάν μοι ὁμολογήσῃς, βεβαιώσωμαι[3] ἤδη παρὰ σοῦ, ἅτε ἱκανοῦ[4] ἀνδρὸς διαγνῶναι ὡμολογηκότος.

ΚΑΛ. Ἀλλ' οἵ γε πολλοὶ νομίζουσιν οὕτως.

ΣΩ. Οὐ νόμῳ ἄρα μόνον ἐστὶν αἴσχιον τὸ ἀδικεῖν τοῦ ἀδι-
Β κεῖσθαι, οὐδὲ δίκαιον τὸ ἴσον ἔχειν, ἀλλὰ καὶ φύσει· ὥστε κινδυνεύεις οὐκ ἀληθῆ λέγειν ἐν τοῖς πρόσθεν οὐδὲ ὀρθῶς ἐμοῦ κατηγορεῖν λέγων, ὅτι ἐναντίον ἐστὶν ὁ νόμος καὶ ἡ φύσις, ἃ δὴ καὶ ἐγὼ γνοὺς κακουργῶ[5] ἐν τοῖς λόγοις, ἐὰν μέν τις κατὰ φύσιν λέγῃ, ἐπὶ τὸν νόμον ἄγων, ἐὰν δέ τις κατὰ τὸν νόμον, ἐπὶ τὴν φύσιν.

1. Ἐνταῦθα ὁ Σωκράτης σκώπτει τὸν Καλλικλέα ἐλέγξαντα ἐν τοῖς ἔμπροσθεν τὸν Γοργίαν καὶ τὸν Πῶλον, ὅτι ἐξ αἰσχύνης περιέπεσαν εἰς ἀντιφάσεις, 482, C, D.

2. Ὁ πρὸ ὀλίγου δημηγορῶν πολιτικὸς ἐλεγχόμενος εὐθὺς ἐν ἀρχῇ σιωπᾷ. Τὸ μὴ φθόνει καὶ μὴ φθονήσῃς ἐπὶ θερμῆς παρακλήσεως τίθεται.

3. Τὸ βεβαιοῦμαι σημαίνει ἐνισχύομαι εἰς τὴν γνώμην μου· συντάσσεται δὲ μετὰ τῆς παρὰ καὶ γενικῆς, ὡς τὰ ῥήματα διδόναι καὶ λαμβάνειν, ἐν Πολιτ. V, 461, Ε. «Δεῖ δὴ τὸ μετὰ τοῦτο βεβαιώσασθαι παρὰ τοῦ λόγου.» Τοιαύτην σύνταξιν δέχονται καὶ τὰ συγγενῆ ἔννοιαν ἔχοντα ῥήματα. Συμπόσ. 199, Β. «Ἵνα ἀνομολογησάμενος παρ' αὐτοῦ οὕτως ἤδη λέγω.»

4. Λέγει ταῦτα ὁ Σωκράτης· διότι ἐν 487 Ε εἰκόνισε τὸν Καλλικλέα ὡς κριτήριον τῆς ἀληθείας.

5. Ὁ Σωκράτης ἐνταῦθα παρῳδεῖ τοὺς λόγους τοῦ Καλλικλέους, ὅστις ἐν 483 Α, ἔλεγε πρὸς τὸν Σωκράτη· «Ὁ δὴ καὶ σὺ τοῦτο τὸ σοφὸν κατανενοηκὼς κακουργεῖς ἐν τοῖς λόγοις, ἐὰν μέν τις κατὰ νόμον λέγῃ, κατὰ φύσιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

XLIV. ΚΑΛ. Οὑτοσὶ[1] ἀνὴρ οὐ παύσεται φλυαρῶν.[2] εἰπέ μοι,[3] ὦ Σώκρατες, οὐκ αἰσχύνει,[4] τηλικοῦτος ὤν, ὀνόματα[5] θηρεύων, καὶ ἐάν τις ῥήματι[6] ἁμάρτῃ, ἔρμαιον τοῦτο ποιούμε- C
νος; ἐμὲ γὰρ οἴει ἄλλο τι λέγειν τὸ κρείττους εἶναι ἢ τὸ βελτίους;[7] οὐ πάλαι σοι λέγω, ὅτι ταὐτόν φημι εἶναι τὸ βέλτιον καὶ τὸ κρεῖττον; ἢ οἴει με λέγειν, ἐὰν[8] συρφετὸς συλλεγῇ δούλων καὶ παντοδαπῶν[9] ἀνθρώπων μηδενὸς ἀξίων[10] πλὴν ἴσως

ὑπερωτῶν, ἐὰν δὲ τὰ τῆς φύσεως τὰ τοῦ νόμου.»

1. Ἀγαναχτήσας ἀποτείνει τὸν λόγον εἰς τοὺς παρόντας, ὡς λέγει ὁ Σχολιαστής. «Ὅρα τὴν πρὸς ἑτέρους τοῦ λόγου ἀποστροφήν, ὅσην τοῦ Καλλικλέους καὶ κατὰ τὸ σχῆμα θρασύτητα δείκνυσι.» Τὸ αὐτὸ σχῆμα ποιεῖ ὁ Σωκράτης ἐν 505, C.

2. Ὁ Καλλικλῆς τὴν ὅλην φιλοσοφικὴν ἐνέργειαν ὡς φλυαρίαν ἐθεώρησεν ἐν 486, C

3. Ἀσύνδετον πρὸς ἔνδειξιν τοῦ πάθους.

4. Ἡ ἐρώτησις κεῖται ῥητορικῶς ἀντὶ προστακτικῆς. Ἡ λεξιθηρία ἀνήκει εἰς νεωτέρους καὶ οὐχὶ εἰς γέροντας, οἷος ὁ Σωκράτης.

5. Ὁ Πλάτων διῄρει πάσας τὰς λέξεις μόνον εἰς δύο τάξεις, εἰς ὀνόματα καὶ εἰς ῥήματα. Ἡ φράσις αὕτη ἦτο συνήθης τοῖς ἀρχαίοις καὶ ἐσήμαινε τὸ μὴ ἀποβλέπειν εἰς τὸ πνεῦμα τοῦ λόγου, ἀλλ' εἰς τὰς λέξεις. Ἀνδοκ. Λόγ. I, ἔκδ. Reisk, σελ. 5. «Ὑμῶν δέομαι—μήτε ὑπονοεῖν τὰ λεγόμενα, μήτε ῥήματα θηρεύειν.» καὶ Θεαιτ. 60. «Ὀνομάτων θηρεύσεις διευλαβεῖσθαι ἀλλήλων.» καὶ Πλάτ. ἐν Νόμ. I, 627.

6. Ἐνταῦθα σημαίνει τὸ λεχθέν, τὴν ἔκφρασιν.

7 Σοφιστεύεται ὁ Καλλικλῆς· διότι ἐν 488D εἶπε διάφορον τοῦ ἐνταῦθα λεγομένου· ἐκεῖ εἶπεν, ὅτι, ὅσοι εἶναι σωματικῶς ἰσχυρότεροι, οὗτοι εἶναι οἱ βελτίονες, οἱ καλλίτεροι. Ἐνταῦθα ὅμως λέγει, ὅτι οἱ καλλίτεροι, δηλ. οἱ φρονιμώτεροι εἶναι οἱ ἔχοντες μεγαλειτέραν δύναμιν.' Ἐν ᾧ δὲ ἀναισχύντως σοφιστεύεται, λέγει, ὡσεὶ ἐξ ἀρχῆς τὴν αὐτὴν εἶχε γνώμην.

8. Διὰ τῆς φράσεως ταύτης ὑποδεικνύει, ὅτι ἀνήκει εἰς τοὺς καλοὺς κἀγαθούς, οἵτινες περὶ τὸ τέλος τοῦ Πελοποννησιακοῦ πολέμου κατώρθωσαν νὰ λάβωσι τὴν ἀρχὴν τῆς πόλεως. Συρφετὸς λέγεται ὁ κοινὸς ὄχλος ἐν ἀντιθέσει πρὸς τοὺς καλοὺς κἀγαθούς.

9. Ὁ Πλάτων τοὺς παντοδαποὺς ἀλλαχοῦ ἀντιτίθησι πρὸς τοὺς σπουδαίους, ἐν Νόμ. IV, 707.

10. Ἐνταῦθα περιεμένομεν γενικήν, ἀντὶ ὅμως ταύτης ἐτέθη δοτική. Ἡ σύνταξις ἔχει οὑτωσί· πλὴν ἴσως ἀξίων τῷ ἰσχυρίσασθαι σώματι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ σώματι ἰσχυρίσασθαι,[1] καὶ οὗτοι φῶσιν,[2] αὐτὰ ταῦτα εἶναι νόμιμα;

ΣΩ. Εἶεν, ὦ σοφώτατε Καλλίκλεις· οὕτω λέγεις;

D ΚΑΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Ἀλλ' ἐγὼ μέν, ὦ δαιμόνιε,[3] καὶ αὐτὸς πάλαι τοπάζω[4] τοιοῦτόν τί σε λέγειν τὸ κρεῖττον, καὶ ἀνερωτῶ γλιχόμενος σαφῶς εἰδέναι ὅ τι λέγεις. οὐ γὰρ δήπου σύ[5] γε τοὺς δύο βελτίους ἡγεῖ τοῦ ἑνός, οὐδὲ τοὺς σοὺς δούλους βελτίους σοῦ, ὅτι ἰσχυρότεροί εἰσιν ἢ σύ. ἀλλὰ πάλιν ἐξ ἀρχῆς εἰπέ, τί ποτε λέγεις τοὺς βελτίους, ἐπειδὴ οὐ τοὺς ἰσχυροτέρους; καί, ὦ θαυμάσιε, πραότερόν με προδίδασκε,[6] ἵνα μὴ ἀποφοιτήσω παρὰ σοῦ.

E ΚΑΛ. Εἰρωνεύει,[7] ὦ Σώκρατες.

ΣΩ. Μὰ τὸν Ζῆθον,[8] ὦ Καλλίκλεις, ᾧ σὺ χρώμενος πολλὰ νῦν δὴ εἰρωνεύου πρός με· ἀλλ' ἴθι εἰπέ, τίνας λέγεις τοὺς βελτίους εἶναι;

1. Ὁ Κοραῆς τὸ ῥῆμα ἑρμηνεύει οὕτως· «τὴν τοῦ σώματος ἰσχὺν ἐπιδείξασθαι, τολμῶντάς τι τῶν μὴ δεόντων.» Σημαίνει δέ, νὰ ἰσχύσωσι διὰ τῆς ῥώμης τοῦ σώματος.

2. Ὁ Heindorf εἴκαζεν, ὅτι ὁ Πλάτων ἔγραψε «Καὶ οὗτοι φῶσιν ἅττα, ταῦτα εἶναι νόμιμα;» διότι τὸ ῥῆμα στερεῖται ἀντικειμένου. Ἀλλ' ὁ Thiersch παρατηρεῖ, ὅτι ἐνεργητικὰ ῥήματα ἐν ἡμελημένῃ φράσει τίθενται ἄνευ αἰτιατικῆς ὡς ἀμετάβατα, ὅπερ δέχεται καὶ ὁ Stallbaum.

3. Δαιμόνιον ὀνομάζεται πᾶν τὸ ποιοῦν αἴσθησιν ὡς διὰ θείας ἐνεργείας γενόμενον καὶ ἐξηγούμενον. Ἐντεῦθεν τό, ὦ δαιμόνιε, εἶναι προσφώνησις πρὸς δήλωσιν παντοίων αἰσθημάτων, ὡς θαυμασμοῦ, ἐκπλήξεως, περιφρονήσεως, εἰρωνείας καὶ παραπλησίων.

4. Κυρίως τοπάζω σημαίνει, σκοπεύω, ἀποβλέπω εἴς τινα τόπον καὶ ἐντεῦθεν προκύπτει ἡ σημασία τοῦ τεκμαίρομαι καὶ ὑπονοῶ.

5. Τοῦτο λέγεται μετ' ἐμφάσεως, δηλ. ὁ εὐγενὴς καὶ ὑπερήφανος, ὡς σύ. Οἱ εὐγενεῖς καταφρονοῦσι συνήθως τῆς σωματικῆς ῥώμης.

6. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Περιττεύει ἡ πρόθεσις Ἀττικῶς.» Φαίνεται ὅμως, ὅτι σημαίνει, εἰς τὰ πρόσω δίδασκε. Διὰ τοῦ ῥήματος τούτου καὶ διὰ τοῦ ἀποφοιτᾷν εἰρωνεύεται τὸν διδασκαλικὸν τόνον τοῦ Καλλικλέους.

7. Ἐπειδὴ ἐν τέλει ὁ Σωκράτης ἐνέτεινε τὴν εἰρωνείαν, δὲν ἦτο δύσκολον εἰς τὸν λεπτὸν πολιτικὸν νὰ ἐννοήσῃ ταύτην.

8. Ἐν ἑνὶ μετρίῳ χειρογράφῳ προτάσσεται τῆς φράσεως ταύτης

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΛ. Τοὺς ἀμείνους ἔγω γε.

ΣΩ. Ὁρᾷς ἄρα, ὅτι σὺ αὐτὸς ὀνόματα λέγεις,[1] δηλοῖς δὲ οὐδέν; οὐκ ἐρεῖς, τοὺς βελτίους καὶ κρείττους πότερον τοὺς φρονιμωτέρους[2] λέγεις ἢ ἄλλους τινάς;

ΚΑΛ. Ἀλλὰ ναὶ μὰ Δία τούτους λέγω, καὶ σφόδρα γε.

ΣΩ. Πολλάκις ἄρα εἷς φρονῶν μυρίων μὴ φρονούντων κρείττων 490
ἐστὶ κατὰ τὸν σὸν λόγον, καὶ τοῦτον ἄρχειν δεῖ, τοὺς δ'[3] ἄρχεσθαι, καὶ πλέον ἔχειν τὸν ἄρχοντα τῶν ἀρχομένων· τοῦτο γάρ μοι δοκεῖς βούλεσθαι λέγειν—καὶ οὐ ῥήματα[4] θηρεύω—,εἰ ὁ εἷς τῶν μυρίων κρείττων.

ΚΑΛ. Ἀλλὰ ταῦτ' ἔστιν ἃ λέγω. τοῦτο γὰρ οἶμαι ἐγὼ τὸ δίκαιον εἶναι φύσει, τὸ βελτίω ὄντα καὶ φρονιμώτερον καὶ ἄρχειν καὶ πλέον ἔχειν τῶν φαυλοτέρων.

τὸ οὐ, ὅπερ δέχεται ὁ Ast, ὁ Hirschig καὶ ὁ Stallbaum, διότι ἄνευ τούτου ἡ πρότασις δὲν εἶναι ἀρνητική, ὡς ἀπαιτεῖ ὁ λόγος. Ἀλλὰ κατὰ τὸν Kratz καὶ τὸν Cron ἡ ἄρνησις ἐκ τῆς συνεχείας τοῦ λόγου παρέχεται. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ὄμνυσι κατὰ τοῦ Ζήθου, ὡς τινος τῶν ἡρώων ὄντος, ἢ ὡς χαριζόμενος τῷ Καλλικλεῖ, ἐπειδὴ τῇ τούτου ῥήσει πρὸ μικροῦ εἰς παραίνεσιν ἐχρήσατο.» Τὴν πρώτην ἑρμηνείαν δέχεται ὁ Jahn λέγων, ὅτι ὁ Ζῆθος ἦτο υἱὸς τοῦ Διός. Νομίζομεν, ὅτι ὁ Σωκράτης δὲν ὁρκίζεται εἰς τοῦτον, ἀλλ' εἰς τὸν Εὐριπίδειον Ζῆθον, οὗ τὸν βίον ὕμνησεν ὁ Καλλικλῆς, ὡς μαρτυρεῖ καὶ ἡ ἑπομένη ἀναφορικὴ πρότασις.

1. Ἐπειδὴ ὁ Καλλικλῆς ἤλεγξε τὸν Σωκράτη πρὸ μικροῦ ὡς θηρεύοντα ὀνόματα, ἐνταῦθα ὁ φιλόσοφος ἀποδίδει τὸ ἴσον. Τοῦτο μαρτυρεῖ, ὅτι ἐν τῇ ἐποχῇ τοῦ Σωκράτους τὰ ἐπίθετα ἀμείνους καὶ κρείττους δὲν εἶχον διάφορον σημασίαν.

2. Ἀφ' οὗ βελτίονες δὲν εἶναι οἱ σωματικῶς ἰσχυρότεροι, ἦτο φυσικὸν νὰ ἀπίδῃ εἰς τοὺς διανοητικῶς τοιούτους.

3. Δηλαδὴ τοὺς μὴ φρονοῦντας.

4. Δὲν ἁρμόζει ἐνταῦθα ἡ δοτικὴ ῥήματι, ἣν ἔχουσι τὰ πλεῖστα τῶν χειρογράφων. Διότι τὸ ἐν Θεαιτ. 166D, εἰς ὃ παραπέμπει ὁ Hermann «τὸν δὲ λόγον αὖ μὴ τῷ ῥήματί μου δίωκε» δὲν ἐξηγεῖ τόδε τὸ χωρίον· διότι ἐκεῖ μὲν τὸ διώκειν ἔχει τὸ ἀντικείμενον, ἐνταῦθα δὲ λείπει, ὡς ὀρθῶς λέγει ὁ Kratz. Ὡσαύτως δὲν ἁρμόζει ἡ ἀνάλυσις τοῦ Deuschle εἰς ῥῆμά τι οὔτε ἡ τροπὴ τοῦ Badham εἰς ῥημάτια. Προτι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

B XLV ΣΩ. Ἔχε[1] δὴ αὐτοῦ. τί ποτε αὖ νῦν λέγεις; ἐὰν ἐν τῷ αὐτῷ ὦμεν, ὥσπερ νῦν, πολλοὶ ἀθρόοι[2] ἄνθρωποι, καὶ ἡμῖν ἢ ἐν κοινῷ[3] πολλὰ σιτία καὶ ποτά, ὦμεν δὲ παντοδαποί, οἱ μὲν ἰσχυροί,[4] οἱ δὲ ἀσθενεῖς, εἷς δὲ ἡμῶν ἢ φρονιμώτερος περὶ ταῦτα, ἰατρὸς ὤν, ἢ δέ, οἷον εἰκός,[5] τῶν μὲν ἰσχυρότερος, τῶν δὲ ἀσθενέστερος, ἄλλο τι ἢ οὗτος, φρονιμώτερος ἡμῶν ὤν, βελτίων καὶ κρείττων ἔσται εἰς ταῦτα;[6]

ΚΑΛ. Πάνυ γε.

C ΣΩ. Ἦ οὖν τούτων τῶν σιτίων πλέον ἡμῶν ἑκτέον αὐτῷ, ὅτι βελτίων ἐστίν, ἢ τῷ μὲν ἄρχειν[7] πάντα ἐκεῖνον δεῖ νέμειν, ἐν δὲ

μητέον τὸ ῥήματα, ὅπερ ἔχουσι μὲν ὀλίγα χειρόγραφα, ὅμως εἶναι πιθανώτερον· διότι ἐσχηματίσθη κατὰ τὰ ὀνόματα θηρεύειν ἐν 489B.

1 Τὴν φράσιν ταύτην μεταχειρίζεται, ἵνα δείξῃ, ὅτι εἶναι ἀνάγκη ἐποχῆς, ὡς ἐν 460A καὶ ἐν Πρωταγόρ. 349. E. «Ἔχε δὴ— ἄξιον γάρ τοι ἐπισκέψασθαι ὃ λέγεις.» Ἐπειδὴ ὁ ὁρισμὸς τοῦ Καλλικλέους, ὅτι κρείττονες εἶναι οἱ φρονιμώτεροι, εἶναι ἀτελής, ἐνταῦθα ὁ Σωκράτης ἐπιθυμεῖ νὰ μάθῃ τὸ περὶ τὶ εἶναι φρονιμώτεροι.

2. Τὸ πολλοὶ ἀθρόοι δὲν πρέπει νὰ θεωρηθῇ ὡς πλεοναστικὸν ἢ ὡς ἐκ παραλλήλου σχῆμα, διότι σημαίνει πολλοὺς καὶ συνηθροισμένους, ὡς Πλάτ. ἐν Πολιτ. VI, 492. Δημοσθ. κατὰ Μειδίου, 557 «Πολλοὺς ἀθρόους ὑμῶν ἅμα ἑλᾷ.» καὶ Περὶ συμμορ. 186, B. «Ἀθρόα πολλὰ λαμβάνει.»

3. Ὑποτίθησι κοινόν τι ἀγαθόν, ὅπερ πρόκειται εἰς διανομήν.

4. Ἔθηκε τὸ ἐπίθετον τοῦτο, διότι ἠδύνατό τις νὰ περιμένῃ, ὅτι ἐν τῇ διανομῇ τῶν σιτίων καὶ τῶν ποτῶν οἱ ἰσχυροὶ ἔμελλον νὰ λάβωσι ποσὰ ἀνάλογα τῆς ἰσχύος αὐτῶν, ὡς λέγει ὁ Cron.

5. Ἡ φράσις αὕτη ἰσοδυναμεῖ πρὸς τὴν παρ' ἡμῖν, ὡς εἶναι φυσικόν.

6. Ἡ εἰς μετὰ αἰτιατικῆς ἐνταῦθα σημαίνει τὴν σχέσιν ἢ ἀναφοράν, ὡς καὶ Εὐριπίδ. ἐν Ὀρέστ. 553. «Ἐγὼ δὲ τἄλλα μακάριος πέφυκ' ἀνήρ, πλὴν εἰς θυγατέρας.» Σοφοκλ. ἐν Οἰδ. ἐπὶ Κολ. 1121. Δὲν διαφέρει δὲ τῆς περὶ ταῦτα.

7. Εἶναι δοτικὴ αἰτιολογικὴ καὶ ἰσοδύναμος πρὸς τό, τῷ βελτίω εἶναι. Διὰ τῆς φράσεως ταύτης ὁ Σωκράτης θέλει νὰ ἐπιστήσῃ τὴν προσοχὴν τοῦ Καλλικλέους, ὅτι ἔργον τοῦ ἄρχοντος εἶναι οὐχὶ τὸ αὐτὸν πλέον ἔχειν, ἀλλὰ τὸ διανέμειν τοῖς ἄλλοις κατὰ τὸ προσῆκον μέτρον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ ἀναλίσκειν τε αὐτὰ καὶ καταχρῆσθαι[1] εἰς τὸ ἑαυτοῦ σῶμα οὐ πλεονεκτητέον, εἰ μὴ μέλλει ζημιοῦσθαι,[2] ἀλλὰ τῶν μὲν πλέον, τῶν δ' ἔλαττον ἑκτέον· ἐὰν δὲ τύχῃ πάντων ἀσθενέστατος ὤν, πάντων ἐλάχιστον τῷ βελτίστῳ,[3] ὦ Καλλίκλεις; οὐχ οὕτως, ὦ 'γαθέ;[4]

ΚΑΛ. Περὶ[5] σιτία λέγεις καὶ ποτὰ καὶ ἰατροὺς καὶ φλυαρίας[6]· ἐγὼ δὲ οὐ ταῦτα λέγω. D

ΣΩ. Πότερον οὖν τὸν φρονιμώτερον βελτίω λέγεις; φάθι ἢ μή.[7]

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Ἀλλ' οὐ τὸν βελτίω πλέον δεῖν ἔχειν;

ΚΑΛ. Οὐ σιτίων γε οὐδὲ ποτῶν.

ΣΩ. Μανθάνω,[8] ἀλλ' ἴσως ἱματίων, καὶ δεῖ τὸν ὑφαντικώτατον[9]

1. Ἡ κατὰ πρόθεσις ἡ ἐν τῷ ῥήματι ὑπάρχουσα σημαίνει τὸ ὅλως διόλου, ὡς Ἰλιάδ. Α, 691. «Κατὰ δ' ἔκταθεν ὅσσοι ἄριστοι.» καὶ Μ, 13, «Κατὰ μὲν Τρώων θάνον ὅσσοι ἄριστοι.»

2. Μεταφορὰ ἐκ τῶν διαπραττόντων ἐγκληματικὴν πρᾶξιν.

3. Ποιεῖ ἀντίθεσιν πρὸς τὸ ἐλάχιστον· ἐννοεῖται δ' ἔξωθεν τὸ ἑκτέον.

4. Λείπει τὸ ῥῆμα ἔχει.

5. Ἡ περὶ δὲν πρέπει νὰ ἐξαλειφθῇ, ὡς ἐνόμισεν ὁ Hirschig· διότι εἶναι συνήθης τοῖς ἀρχαίοις, ὡς Πλ. ἐν Φαίδωνι, 109, Β. «Τῶν περὶ τὰ τοιαῦτα εἰωθότων λέγειν.» ἐν Νόμ. VI, C. «Περὶ μὲν δικαστήρια εἴρηκεν.» Ξενοφ 'Απομν. Ι,1.

6. Οἱ ἀρχαῖοι ἀναμιγνύουσι τὰς λέξεις φλυαρία, λῆρος, φλήναφος, καὶ τὰ τοιαῦτα μετὰ λέξεων δηλουσῶν σπουδαιοτέραν ἔννοιαν. Οὗτοι σκοποῦσι νὰ ταπεινώσωσι τὰ σπουδαῖα καὶ οὕτως ἀποτελοῦσιν ἀπροσδόκητόν τι σχῆμα, ὡς ὁ Δημοσθένης, τόμ. Ι, 175, ἔκδ. Reisk. «Δημοσίᾳ μὲν ἡ πόλις ἡμῶν τὰς ὁδοὺς ἀγαπᾷ κατασκευάζουσα καὶ κρήνας καὶ κονιάματα καὶ λήρους.» καὶ σελ. 157. «Λιμένων καὶ νεωρίων καὶ τειχῶν καὶ φόρων καὶ τοιούτων φλυαριῶν ἐμπεπλήκασι τὴν πόλιν.» καὶ Πλάτ. ἐν Φαίδωνι 66, C. «Ἐρώτων δὲ καὶ ἐπιθυμιῶν καὶ φόβων καὶ εἰδώλων παντοδαπῶν καὶ φλυαρίας ἐμπίπλησι.» καὶ Γοργ 519, Α.

7 Φαίνεται, ὅτι ὁ Καλλικλῆς ὀργισθεὶς σιωπᾷ καὶ τούτου ἕνεκεν ὁ Σωκράτης μεταχειρίζεται τὴν φράσιν ταύτην.

8. Εἰρωνικῶς, ὡσεὶ ὁ Σωκράτης ἠδύνατο ἐκ τῆς ἀρνήσεως τοῦ Καλλικλέους νὰ μάθῃ, τί οὗτος ἐννοεῖ, ὡς λέγει ὁ Cron.

9. Φαίνεται, ὅτι ὁ Σωκράτης ἐκ προθέσεως ἐπιμένει ἐν τῷ ταπεινῷ τούτῳ εἴδει τῶν παραδειγμάτων. Διὰ τῆς τοιαύτης ἀντιθέσεως τῶν χαρακτήρων τὸ μέρος τοῦτο τοῦ διαλόγου γίνεται δραματικώτατον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μέγιστον ἱμάτιον ἔχειν καὶ πλεῖστα καὶ κάλλιστα ἀμπεχόμενον περιιέναι;[1]

ΚΑΛ. Ποίων ἱματίων;[2]

ΣΩ. Ἀλλ' εἰς ὑποδήματα δῆλον ὅτι δεῖ πλεονεκτεῖν τὸν φρο-
Ε νιμώτατον[3] εἰς ταῦτα καὶ βέλτιστον. τὸν σκυτοτόμον ἴσως μέγιστα δεῖ ὑποδήματα καὶ πλεῖστα ὑποδεδεμένον περιπατεῖν.

ΚΑΛ. Ποῖα ὑποδήματα; φλυαρεῖς ἔχων.[4]

ΣΩ. Ἀλλ' εἰ μὴ τὰ τοιαῦτα[5] λέγεις, ἴσως τὰ τοιάδε· οἷον γεωργικὸν ἄνδρα περὶ γῆν φρόνιμόν τε καὶ καλὸν καὶ ἀγαθόν,[6] τοῦτον δὴ ἴσως δεῖ πλεονεκτεῖν τῶν σπερμάτων καὶ ὡς πλείστῳ σπέρματι χρῆσθαι εἰς τὴν αὑτοῦ γῆν.

ΚΑΛ. Ὡς[7] ἀεὶ ταὐτὰ λέγεις, ὦ Σώκρατες.

1. Προσέθηκε τὸ ῥῆμα τοῦτο, ἵνα δείξῃ τὴν ὑπερηφάνειαν τοῦ ὑφαντικωτάτου.

2. Ὁ Καλλικλῆς ὑποτίθεται μετὰ μεγάλης ἀγανακτήσεως τοῦτο λέγων. Μεταχειρίζεται ὁ Πλάτων τὴν ἀντωνυμίαν ποῖος πρὸς ἔνδειξιν εἰρωνείας ἢ ἐκπλήξεως, ὡς ἐν Θεκιτ. 180, Β. «Σωκρ. ἀλλ' οἶμαι, τὰ τοιαῦτα τοῖς μαθηταῖς ἐπὶ σχολῆς φράζουσι.... Θεόδ. Ποίοις μαθηταῖς; οὐδὲ γίγνεται τῶν τοιούτων (δηλ. τῶν Ἡρακλειτείων) ἕτερος ἑτέρου μαθητής.» Ἡ δὲ γενικὴ ἐτέθη κατὰ τὴν προηγουμένην «ἀλλ' ἴσως ἱματίων.»

3. Ἔχουσι μὲν τὰ ἄριστα χειρόγραφα τὸν φρονιμώτερον, ὅπερ διατηρεῖ ὁ Stallbaum, ἀλλ' ὁ ὑπερθετικὸς βαθμὸς ἁρμόζει ἐνταῦθα. Ὡς πρὸ ὀλίγου εἶπε τὸν ὑφαντικώτατον, οὕτως ἐνταῦθα ἔπρεπε νὰ εἴπῃ τὸν σκυτοτομικώτατον, ἀνθ' οὗ ἔθηκε τὸν φρονιμώτατον εἰς ὑποδήματα.

4. Συνήθης φράσις εἰλημμένη ἐκ τοῦ κοινοῦ βίου, ἥτις εὑρηται συχνάκις παρὰ τοῖς κωμικοῖς, Ἀριστοφ. ἐν Νεφέλ. 509. «Τί κυπτάζεις ἔχων περὶ τὴν θύραν;» Ἡ μετοχὴ κατ' ὀλίγον συνέβη διὰ τῆς χρήσεως νὰ μὴ διατηρῇ τὴν σημασίαν, ἣν ἔχει τὸ ῥῆμα· κυρίως ὅμως σημαίνει, ὅτι ἔχει τις διαρκῶς, ὡς ἐνταῦθα ὁ Σωκράτης τὴν φλυαρίαν. Ἡ μετοχὴ ἔχων πλεοναστικῶς κεῖται καὶ ἐπὶ τοῦ πρώτου προσώπου, ὡς Ἀριστοφ. ἐν Νεφέλ. 131. «Τί ταῦτ' ἔχων στραγγεύομαι;» καὶ Ἐκκλ. 853. «Τί γάρ ἐστιν' ἔχων;»

5. Τὸ μὲν τοιαῦτα ἀναφέρεται εἰς τὰ προηγούμενα, τὸ δὲ τοιάδε εἰς τὰ ἑπόμενα. Ἔθηκε δὲ τὸ ἄρθρον, ἵνα δηλώσῃ τὰς τάξεις τῶν ἀντικειμένων.

6. Καλὸς καὶ ἀγαθὸς εἶναι ἐνταῦθα ὁ εἰς τὸν ὕψιστον βαθμὸν ἔχων ἀνεπτυγμένην τὴν εἰδικότητα, περὶ ἧς ὁ λόγος, ὡς λέγει ὁ Jahn.

7. Διὰ δὲ τῆς προσβολῆς ταύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Οὐ μόνον γε,[1] ὦ Καλλίκλεις, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν.

ΚΑΛ. Νὴ τοὺς θεούς, ἀτεχνῶς γε ἀεὶ σκυτέας τε καὶ κναφέας 491
καὶ μαγείρους[2] λέγων καὶ ἰατροὺς οὐδὲν παύει, ὥσπερ περὶ τούτων ἡμῖν ὄντα τὸν λόγον.

ΣΩ. Οὐκοῦν σὺ ἐρεῖς περὶ τίνων[3] ὁ κρειττων τε καὶ φρονιμώτερος πλέον ἔχων δικαίως πλεονεκτεῖ; ἢ οὔτε ἐμοῦ ὑποβάλλοντος ἀνέξει[4] οὔτ' αὐτὸς ἐρεῖς;

ΚΑΛ. Ἀλλ' ἔγω γε καὶ πάλαι λέγω. πρῶτον μὲν τοὺς κρείττους[5]

της ὁ πολιτικὸς σκοπεῖ νὰ κόψῃ τὸ δίκτυον, εἰς ὃ περιεπλέχθη.

1. Ἐννοεῖται λέγων ταὐτά. Ἐν τοῖς Ἀπομνημονεύμασι τοῦ Ξενοφῶντος, IV, 4, 6 ὁ σοφιστὴς Ἱππίας ἐλέγχει τὸν Σωκράτη κατὰ παραπλήσιον τρόπον. «Καὶ ὁ μὲν Ἱππίας ἀκούσας ταῦτα ὥσπερ ἐπισκώπτων αὐτόν, Ἔτι γὰρ σύ, ἔφη, ὦ Σώκρατες, ἐκεῖνα τὰ αὐτὰ λέγεις, ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα; Ὅ δέ γε τούτου δεινότερον, ἔφη, ὦ Ἱππία, οὐ μόνον ἀεὶ τὰ αὐτὰ λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν· σὺ δ' ἴσως διὰ τὸ πολυμαθὴς εἶναι περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις.»

2. Ἐπειδὴ ὁ Σωκράτης ἐλάμβανε τὰ παραδείγματα ἐκ τῶν τοιούτων βιομηχανικῶν τάξεων, οἱ εἰς ταῦτα ἀποβλέποντες καὶ οὐχὶ εἰς τὰς λογικὰς ἀποδείξεις κατεφρόνουν τοῦ Σωκράτους, ὡς τοῦτο λέγει σαφέστερον ὁ Πλάτων ἐν Συμποσίῳ, 221, Ε. «Εἰ ἐθέλει τις τοῦ Σωκράτους ἀκούειν λόγων, φανεῖεν ἂν πάνυ γελοῖοι τὸ πρῶτον. Ὀνους γὰρ κανθηλίους λέγει καὶ χαλκέας τινὰς καὶ σκυτοτόμους καὶ βυρσοδέψας, καὶ ἀεὶ διὰ τῶν αὐτῶν ταὐτὰ φαίνεται λέγειν. Ὥστε ἄπειρος καὶ ἀνόητος ἄνθρωπος πᾶς ἂν τῶν λόγων καταγελάσειε....» Τὰ αὐτὰ ἔλεγεν ὁ Κριτίας περὶ Σωκράτους καὶ τοῦτο εἶναι τεκμήριόν τι, ὅτι ὁ τῶν τριάκοντα κρύπτεται ὑπὸ τὸ ὄνομα τοῦ Καλλικλέους. Ὅρα Εἰσαγωγ. σελ. 102.

3. Τὸ πλεονεκτεῖν συντάσσεται μετὰ τῆς περὶ καὶ αἰτιατικῆς, ὡς ἐν Λάχητ. 183, Α. «Οἷς οὐδὲν ἄλλο μέλλει ἢ τοῦτο ζητεῖν, ὅτι ἂν μαθόντες πλεονεκτοῖεν τῶν ἄλλων περὶ τὸν πόλεμον.» Ἐνταῦθα ὅμως ἐτέθη γενικὴ κατά τι εἶδος ἕλξεως, ὅπως συμφωνήσῃ πρὸς τὸ προηγούμενον περὶ τούτων, ὡς λέγει ὁ Cron.

4. Τὸ ἀνέχεσθαι συντάσσεται μετὰ αἰτιατικῆς, Ἰσοκρ. ἐν Παν. 65, Β. «Τοὺς βαρβάρους οὕτω διέθεμεν, ὥστε μὴ μόνον παύσασθαι στρατείας ἐφ' ἡμᾶς ποιουμένους, ἀλλὰ καὶ τὴν αὐτῶν χώραν ἀνέχεσθαι πορθουμένην.» Ἀλλὰ καὶ ἡ γενικὴ δὲν εἶναι ἀσυνήθης τοῖς ἀρχαίοις, Πλάτ. Ἀπολ. 31, Β. «Ἀνέχεσθαι τῶν οἰκείων ἀμελουμένων.»

5. Ἡ φράσις αὕτη ἰσοδυναμεῖ πρὸς τήν, τούτους, οἳ κρείττους

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἳ εἰσιν οὐ σκυτοτόμους λέγω οὐδὲ μαγείρους, ἀλλ' οἳ ἂν εἰς τὰ τῆς πόλεως πράγματα φρόνιμοι ὦσιν, ὄντινα ἂν τρόπον εὖ οἰκοῖτο, καὶ μὴ μόνον φρόνιμοι, ἀλλὰ καὶ ἀνδρεῖοι,[1] ἱκανοὶ ὄντες ἃ ἂν νοήσωσιν ἐπιτελεῖν, καὶ μὴ ἀποκάμνωσι διὰ μαλακίαν τῆς ψυχῆς.

XLVI. ΣΩ. Ὁρᾷς, ὦ βέλτιστε Καλλίκλεις, ὡς οὐ ταὐτὰ σὺ τ' ἐμοῦ κατηγορεῖς καὶ ἐγὼ σοῦ; σὺ μὲν γὰρ ἐμὲ φὴς ἀεὶ ταὐτὰ λέγειν, καὶ μέμφει[2] μοι· ἐγὼ δὲ σοῦ τοὐναντίον, ὅτι οὐδέποτε
C ταὐτὰ λέγεις περὶ τῶν αὐτῶν, ἀλλὰ τοτὲ μὲν τοὺς βελτίους τε καὶ κρείττους τοὺς[1] ἰσχυροτέρους ὡρίζου, αὖθις δὲ τοὺς φρονιμωτέρους, νῦν δ' αὖ ἕτερόν τι ἥκεις ἔχων· ἀνδρειότεροί τινες ὑπὸ σοῦ λέγονται οἱ κρείττους καὶ οἱ βελτίους. ἀλλ', ὦ 'γαθέ, εἰπὼν ἀπαλλάγηθι, τίνας ποτὲ λέγεις τοὺς βελτίους τε καὶ κρείττους καὶ εἰς ὅτι.

ΚΑΛ. Ἀλλ' εἴρηκά γε ἔγωγε τοὺς φρονίμους εἰς τὰ τῆς πό-
D λεως πράγματα καὶ ἀνδρείους. τούτους γὰρ προσήκει τῶν πόλεων ἄρχειν, καὶ τὸ δίκαιον τοῦτ' ἔστι, πλέον ἔχειν[3] τούτους τῶν ἄλλων, τοὺς ἄρχοντας τῶν ἀρχομένων.

ΣΩ. Τί δέ; αὑτῶν,[4] ὦ ἑταῖρε; ἢ τί ἄρχοντας ἢ ἀρχομένους;

ΚΑΛ. Πῶς λέγεις;

εἰσίν. Ἡ ἀναφορικὴ πρότασις δὲν εἶναι πλεοναστική, ὡς νομίζει ὁ Cron, διότι σημαίνει τούτους, οἱ ὁποῖοι ὄντως ὑπάρχουσιν.

1. Ἐν ᾧ ὁ Καλλικλῆς ὥρισε τοὺς κρείττονας ὡς τοὺς φρονίμους περὶ τὰ πράγματα τῆς πόλεως, αἴφνης παρεισήγαγε καὶ τοὺς ἀνδρείους ἐν τῇ ἐννοίᾳ τῶν βελτιόνων. Λοιπὸν λέγει πάντοτε διάφορα περὶ τῶν αὐτῶν.

2. Ἐν τῷδε τῷ κεφαλαίῳ καίπερ ἐλεγχόμενος ὁ Καλλικλῆς διὰ τὸ ἀσταθὲς τῆς ἑρμηνείας τῶν κρειττόνων, δὲν κολάζεται, ἀλλὰ αὖθις τοὺς κρείττονας ὡς τοὺς ἀκολαστοτέρους καὶ μᾶλλον ἀτυνειδήτους ὁρίζει. Αἴσχιστα δὲ συμπληροῖ καὶ τὴν ἔννοιαν τοῦ φυσικοῦ δικαίου.

3. Τὸ μέμφεσθαι συνηθέστερον συντάσσεται μετὰ αἰτιατικῆς.

4. Ἔχει τὸ ἄρθρον, διότι ὑποκείμενον καὶ κατηγορούμενον ἐνταῦθα εἶναι τὰ αὐτά.

5. Εἶναι ἐπεξήγησις τοῦ τοῦτο.

6. Σύγχυσις ὑπάρχει ἐν τοῖς χειρογράφοις, σύγχυσις ἐν τοῖς κριτικοῖς καὶ σύγχυσις ἐν τοῖς ἑρμηνευταῖς. Τὰ χειρόγραφα δὲν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Ἕνα ἕκαστον λέγω αὐτὸν ἑαυτοῦ ἄρχοντα· ἢ τοῦτο μὲν οὐδὲν δεῖ, αὐτὸν ἑαυτοῦ ἄρχειν, τῶν δὲ ἄλλων;

ΚΑΛ. Πῶς ἑαυτοῦ ἄρχοντα λέγεις;

παρέχουσιν ἡμῖν ἀσφαλὲς ἔδαφος ὡς λέγει ὁ Cron. Ὁπωσδήποτε τίθεται ὡς βάσις ἡ ἀνάγνωσις τοῦ Stephanus· Τί δὲ αὐτῶν, ὦ ἑταῖρε; ἢ τί ἄρχοντας, ἢ ἀρχομένους; Πάντως προήγαγε τὴν κριτικὴν θεραπείαν τοῦ χωρίου ὁ ὀξυνούστατος Heindorf, ὅπτις ἔθηκεν ἐρωτηματικὸν μετὰ τὸ τί δὲ καὶ ἔγραψεν αὐτῶν ἀντὶ αὐτῶν, ἡ δὲ τελευταία εἰκασία τοῦ ἀνδρὸς ἐκυρώθη καὶ διὰ τῆς ἀναγνώσεως τοῦ Κλαρκιανοῦ χειρογράφου, ὅπερ ὁμολογεῖται ὡς τὸ ἄριστον. Κατὰ τὸν Keck ἡ γραφὴ τοῦ ἀρίστου χειρογράφου εἶναι· Τί δὲ αὐτῶν, ὦ ἑταῖρε; ἢ τί ἄρχοντας ἢ ἀρχομένους; Τὸ κείμενον τοῦτο πολλαχῶς καὶ ποικιλοτρόπως ὑπὸ τῶν κριτικῶν μεταβάλλεται. Ὁ μὲν Bekker καὶ ὁ Hirschig ἐξαλείφουσι τὴν δύσκολον φράσιν ἢ τί ἄρχοντας ἢ ἀρχομένους, ὁ δὲ Hermann γράφει· Τί δὲ αὐτῶν, ὦ ἑταῖρε; τί οἴει; ἄρχοντας ἢ ἀρχομένους; Ὁ δὲ Stallbaum κατὰ τὴν ἑρμηνείαν τοῦ Ὀλυμπιοδώρου προτείνει νὰ γραφῇ· Σω. Τί δὲ αὐτῶν, ὦ ἑταῖρε; Καλλ. Τί δή; Σω. Τί ἄρχοντας ἢ ἀρχομένους; Παραλείποντες ἄλλας τινὰς διορθώσεις μνημονεύομεν τῆς ὑπὸ τοῦ διαπρεποῦς λογίου κ. Ι. Οἰκονομίδου γενομένης, ἣν ὀφείλομεν τῇ δημοσιεύσει τοῦ κ. Λιβαδᾶ. Οὗτος ἔγραψε· Τί δέ; αὐτῶν, ὦ ἑταῖρε, ἄρχοντας ἢ τῶν ἀρχομένων; Ἡ γραφὴ αὕτη εἶναι ὄντως ἀξία νὰ κατέχῃ σπουδαίαν θέσιν ἐν τῇ ἱστορίᾳ τῆς κριτικῆς τοῦδε τοῦ χωρίου. Ὁ ἡμέτερος Λιβαδᾶς συνίστησι διὰ τῆς φράσεως τὴν διόρθωσιν, «ἥτις καθιστᾷ περιττὴν πᾶσαν ἀφαίρεσιν ἢ προσθήκην ἢ διανομήν, καὶ δι' ἧς βαίνει τακτικώτατα ὅλη τοῦ χωρίου ἡ ἔννοια ἄνευ πλαγίων καὶ βεβιασμένων ἐξηγήσεων.» Τὸ πρῶτον μέρος τῆς παρατηρήσεως ἴσως ἐλέχθη μετά τινος ὑπερβολῆς (διότι καὶ ἀφαίρεσις καὶ προσθήκη καὶ διάφορος διανομὴ ἐγένετο, ὡς γίνεται δῆλον ἐκ τῆς παραβολῆς ταύτης τῆς γραφῆς πρὸς τὴν τῶν ἀρίστων χειρογράφων), ὅμως τὸ δεύτερον μέρος εἶναι ἀκριβέστερον, ὡς γίνεται καταληπτόν, ἂν τις λάβῃ ὑπ' ὄψει, ὁπόσαι βεβιασμέναι ἐξηγήσεις ἐδόθησαν τῷ χωρίῳ. π. χ. ὁ Schmidt νομίζει, ὅτι ἐκ τῶν ἡγουμένων πρέπει νὰ ἐννοήσωμεν τὴν φράσιν πλέον ἔχειν προσήκει. Ὡσαύτως εὑρίσκουσιν οἱ ἑρμηνευταὶ μεγάλην δυσκολίαν ἐν τῇ ἑρμηνείᾳ τῆς δευτέρας φράσεως καὶ δὴ ὁ Kratz ἐξηγεῖ ὡς βραχυλογίαν τοῦ ἐτυμολογικοῦ σχήματος, δηλ. τίνα ἀρχὴν ἄρχοντας ἢ ἀρχομένους, ὅπερ λίαν βεβιασμέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Οὐδὲν ποικίλον,[1] ἀλλ' ὥσπερ οἱ πολλοί,[2] σώφρονα ὄντα καὶ ἐγκρατῆ αὐτὸν ἑαυτοῦ, τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν ἄρχοντα
Ε τῶν ἐν ἑαυτῷ.

ΚΑΛ. Ὡς ἡδὺς εἶ![3] τοὺς ἠλιθίους λέγεις, τοὺς σώφρονας.[4]

1. Ἡ σμικρολογία ἀπεδίδετο τῷ Σωκράτει καὶ τοῖς διαλεκτικοῖς, ὡς λέγει ὁ Σχολιαστής· «Οὕτως ἀπέσκωπτον οἱ σοφιστικοὶ ῥήτορες τοὺς διαλεκτικούς. Καὶ Ἱππίας γοῦν Περιτμήματα αὐτοὺς ἐκάλεσε.» Ὅρα Πλάτ. ἐν Ἱππ. τῷ μείζον. 304.

2. Ἡ δοτικὴ δεικνύει τὸ πρόσωπον, ὅπερ ἐνδιαφέρεται, ὡς καὶ παρὰ Θουκυδίδ. III, 42. «Τοὺς τε λόγους ὅστις διαμάχεται μὴ διδασκάλους τῶν πραγμάτων γίγνεσθαι, ἢ ἀξύνετός ἐστιν ἢ ἰδία τι αὐτῷ διαφέρει.»

3. Ἐνταῦθα ἡ λέξις σημαίνει βλάβην, ζημίαν. Ἐν ἄλλαις λέξεσι δὲν βλάπτεσαι σὺ ἀπὸ τὰς ἀνοησίας τοῦ Σωκράτους, ἀλλ' ὁ ἴδιος.

4. Τὸ ὑπέχω ἐνταῦθα ἔχει τὴν αὐτὴν σημασίαν καὶ σύνταξιν τοῦ παρέχω, δηλ. ἄφες τὸν Σωκράτη νὰ σὲ ἐξελέγξῃ, ὡς θέλει. Παρελείφθη ἡ ἀντωνυμία σεαυτόν.

5. Ὑπακούσας εἰς τὸν Γοργίαν ἐξακολουθεῖ τὴν συζήτησιν, ἀλλ' ἡ ἀγανάκτησις αὐτοῦ δὲν κατέπαυσε καὶ ταύτην διὰ λέξεων δηλοῖ. Πόσον καλῶς γινώσκει ὁ Πλάτων τὰ διάφορα στάδια τῶν ἀνθρωπίνων παθῶν! Ὁ Καλλικλῆς ἐν τοῖς ἔμπροσθεν, 485, D. τὴν φιλοσοφίαν ἐν ἀντιθέσει πρὸς τὴν πολιτικὴν ἐθεώρησε σμικράν.

6. Διὰ τῆς φράσεως ταύτης θέλει νὰ ταπεινώσῃ τὸν φιλόσοφον λέγων αὐτὸν ἀνάξιον πρὸς συζήτησιν καὶ ἐξακολουθεῖ μόνον χάριν τοῦ Γοργίου.

7. Κατὰ τὸν Σχολιαστήν· «Δηλονότι μυστήρια. Διττὰ ἦν τὰ μυστήρια παρ' Ἀθηναίοις καὶ τὰ μὲν μικρὰ ἐκαλεῖτο, ἅπερ ἐν ἄστει ἐτέλουν, τὰ δὲ μεγάλα, ἅπερ Ἐλευσῖνι ἤγετο. Καὶ πρότερον ἔδει τὰ μικρὰ μυηθῆναι, εἶτα τὰ μεγάλα· ἄλλως δὲ τῶν μεγάλων μετασχεῖν οὐκ ἦν θεμιτόν». Ἡ εἰρωνεία εἶναι ἐπιτυχής, καθ' ὅσον παραβάλλει τὰς μεγάλας ἰδέας πρὸς τὰ μεγάλα μυστήρια, τὰς δὲ μικρὰς πρὸς τὰ μικρά, ἅπερ ἐκαλοῦντο μύησις, κάθαρσις, προτέλεια. Παράβαλλ. καὶ Σοφιστ. 218, C. Ὡς δὲν ἦτο ἐπιτετραμμένον νὰ μυηθῇ τις τὰ μεγάλα μυστήρια, ἂν δὲν προηγοῦντο τὰ μικρά, οὕτω δὲν δύναταί τις νὰ μάθῃ τὰ μεγάλα πρὶν μάθῃ τὰ μικρά. Τὸ κῦρος τῆς ἀληθείας ταύτης εἶναι αἰώνιον. Ὅσοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λιπες, ἀποκρίνου, εἰ οὐχ ἅμα παύεται διψῶν ἕκαστος ἡμῶν καὶ ἡδόμενος.

ΚΑΛ. Φημί.

ΣΩ. Οὐκοῦν καὶ πεινῶν καὶ τῶν ἄλλων ἐπιθυμιῶν καὶ ἡδονῶν ἅμα παύεται;[1]

ΚΑΛ. Ἔστι ταῦτα.

D ΣΩ. Οὐκοῦν καὶ τῶν λυπῶν καὶ τῶν ἡδονῶν ἅμα παύεται;[2]

ΚΑΛ. Ναί.

ΣΩ. Ἀλλὰ μὴν τῶν ἀγαθῶν καὶ κακῶν οὐχ ἅμα παύεται, ὡς σὺ ὡμολόγεις·[3] νῦν δὲ οὐχ ὁμολογεῖς;

ΚΑΛ. Ἔγωγε· τί οὖν δή;[4]

ΣΩ. Ὅτι[5] οὐ ταὐτὰ γίγνεται, ὦ φίλε, τἀγαθὰ τοῖς ἡδέσιν οὐδὲ τὰ κακὰ τοῖς ἀνιαροῖς[6]. τῶν μὲν γὰρ ἅμα παύε-

νομίζουσιν, ὅτι γινώσκουσι τὰ γενικὰ ἄνευ τῶν εἰδικῶν, πλανῶνται.

8. Τὸ ἐπίθετον εἶναι ἀνάλογον πρὸς τὴν ἱερότητα τῶν μυστηρίων.

9. Δηλ. ἀποκρίνου ἐκεῖθεν, ὅθεν ἀπέλιπες, ὡς καὶ ἐν Φαίδωνι 78, Β. «Ὅθεν δὲ ἀπελίπομεν, ἐπανέλθωμεν.» καὶ ἐν Εὐθυδήμ. 41.

1. Τὸ παύεσθαι συντάσσεται ὁτὲ μὲν μετὰ μετοχῆς, ὁτὲ δὲ μετὰ γενικῆς· ἐνταῦθα ἔχει καὶ τὰς δύο συντάξεις, ὡς καὶ ἐν 482, Α. «Εἰ μήτις παύσει τὰ σὰ παιδικὰ τούτων τῶν λόγων, οὐδὲ σὺ παύσει ποτὲ ταῦτα λέγων.»

2. Ὑποκείμενον εἶναι ἕκαστος ἡμῶν, ὡς καὶ ἐν τοῖς ἡγουμένοις.

3. Τοῦτο ὡμολόγησεν ὁ Καλλικλῆς ἐν τοῖς ἔμπροσθεν, 496, Β.

4. Ὁ Πλάτων μεταχειρίζεται τὴν φράσιν, ὅπως δείξῃ, ὅτι τὸ πρόσωπον, ὅπερ λέγει ταύτην, δὲν ἐννοεῖ τὰς συνεπείας τῆς γνώμης τοῦ ἄλλου προσώπου, ὡς καὶ 483, Β. Ἰσοδυναμεῖ πρὸς τὸ παρ' ἡμῖν, τί θέλεις νὰ εἴπῃς μὲ τοῦτο;

5. Ἐννοεῖται τὸ ῥῆμα λέγω, ἐξ οὗ ἐξαρτᾶται ὁ εἰδικὸς οὗτος λόγος. Τὸ γίγνεται ἐνταῦθα κεῖται ἐπὶ λογικῆς ἐννοίας, ὡς καὶ πρὸ ὀλίγου, 497, Α.

6. Αἱ δύο αὗται δοτικαὶ ἀνήκουσιν εἰς τὸ ταὐτά, ὅπερ ἀπαιτεῖ τοιαύτην συντακτικὴν πτῶσιν. Τοῦτο προὔκειτο νὰ ἀποδείξῃ, ὡς εἴρηται ἐν 495D. Ὁλόκληρος ἡ ἀνήθικος θεωρία (ἂν ἦναι ἀξία τοῦ ὀνόματος) τοῦ Πώλου καὶ τοῦ Καλλικλέους παράγεται ἐκ τῆς ταὐτίσεως τοῦ ἡδέος μετὰ τοῦ ἀγαθοῦ. Ὀρθῶς ὅμως ὁ κ. Λιβαδᾶς παρατηρεῖ· «Τὸν «Γοργίαν» κινδυνεύουσι νὰ παρανοήσωσιν οἱ λησμονοῦντες, ὅτι ἡ θέσις, ἣν θέλει νὰ ἀνασκευάσῃ ὁ Σωκράτης, δὲν εἶναι ὅτι «ἡ ἡδονὴ εἶναι ἢ ἐνδέχεται νὰ ἦναι ἀγαθόν», ἀλλ' ὅτι «τὸ ἀγαθὸν συνίσταται εἰς τὴν ἡδο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται[1], τῶν δὲ οὔ, ὡς ἑτέρων ὄντων.[2] πῶς οὖν ταὐτὰ ἂν εἴη τὰ ἡδέα τοῖς ἀγαθοῖς ἢ τὰ ἀνιαρὰ τοῖς κακοῖς; ἐὰν δὲ βούλῃ, καὶ τῇ δ' ἐπίσκεψαι·[3] οἶμαι γάρ σοι οὐδὲ ταύτῃ ὁμολογεῖσθαι.[4] ἆθρει δέ· τοὺς ἀγαθοὺς οὐχὶ ἀγαθῶν παρουσίᾳ ἀγαθοὺς καλεῖς, ὥσπερ τοὺς καλοὺς οἷς ἂν κάλλος παρῇ; Ε

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Τί δέ; ἀγαθοὺς ἄνδρας καλεῖς τοὺς ἄφρονας καὶ δειλούς; οὐ γὰρ ἄρτι γε,[5] ἀλλὰ τοὺς ἀνδρείους καὶ φρονίμους ἔλεγες· ἢ οὐ τούτους ἀγαθοὺς καλεῖς;

ΚΑΛ. Πάνυ μὲν οὖν.

ΣΩ. Τί δέ; παῖδα ἀνόητον χαίροντα ἤδη εἶδες;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Ἄνδρα δὲ οὔπω εἶδες ἀνόητον χαίροντα;

ΚΑΛ. Οἶμαι[6] ἔγωγε· ἀλλὰ τί τοῦτο;[7]

ΣΩ. Οὐδέν·[8] ἀλλ' ἀποκρίνου.

ΚΑΛ. Εἶδον.

ΣΩ. Τί δέ; νοῦν ἔχοντα λυπούμενον καὶ χαίροντα; 498

ΚΑΛ. Φημί.

ΣΩ. Πότεροι δὲ μᾶλλον χαίρουσι καὶ λυποῦνται, οἱ φρόνιμοι ἢ οἱ ἄφρονες;

νήν». Ἐν ἄλλοις λέξεσι θέλει μόνον νὰ δείξῃ, ὅτι οἱ δύο τῆς κρίσεως ὅροι δὲν μεταστρέφονται.... «πᾶν ἀγαθὸν ἡδύ, ἀλλ' οὐχὶ πᾶν ἡδὺ ἀγαθόν» ὡς ἐδογμάτιζον οἱ περὶ τὸν Ἀρίστιππον.»

1. Πάλιν τὸ ὑποκείμενον εἶναι ἕκαστος ἡμῶν.

2. Ἡ αὐτὴ ἔννοια ἀναπτύσσεται ἐντονώτερον διὰ τῆς ἑπομένης ἐρωτηματικῆς προτάσεως.

3. Διὰ τῆς φράσεως ταύτης ὁ φιλόσοφος μεταβαίνει εἰς νέαν ἀπόδειξιν. Τὸν συλλογισμὸν ὅρα ἐν Εἰσαγωγ. σελ. 62.

4. Τὸ ῥῆμα εἶναι παθητικὸν καὶ ἔχει ὑποκείμενον αὐτὸ ἢ τὸν λόγον.

5. Ἐννόησον ἐκ τῶν ἡγουμένων τὴν φράσιν, τοὺς ἄφρονας καὶ δειλοὺς ἐκάλεις ἀγαθοὺς ἄνδρας.

6. Ἐκ τῆς ἐρωτήσεως τοῦ Σωκράτους ἐννοεῖται τὸ ἀπαρέμφατον ἰδεῖν.

7. Ἐννοεῖται τὸ διαφέρει, ὅπερ παρέλειπεν ἡ κοινὴ συνήθεια, ὡς καὶ 448, Β. «Τί δὲ τοῦτο, ἐάν σοι ἱκανῶς.»

8. Ὁ Σωκράτης δὲν θέλει νὰ δηλώσῃ τὸν σκοπὸν αὐτοῦ, ὅπως μὴ ὁ Καλλικλῆς ἐννοήσας, ποῦ φέρει ὁ λόγος, τραπῇ εἰς σόφισμά τι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΛ. Οἶμαι ἔγωγε οὐ πολύ τι διαφέρειν.[1]

ΣΩ. Ἀλλ' ἀρκεῖ καὶ τοῦτο.[2] ἐν πολέμῳ δὲ ἤ γε εἶδες ἄνδρα δειλόν;

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Τί οὖν; ἀπιόντων τῶν πολεμίων πότεροί σοι ἐδόκουν μᾶλλον χαίρειν, οἱ δειλοὶ ἢ οἱ ἀνδρεῖοι;

B ΚΑΛ. Ἀμφότεροι ἔμοιγε μᾶλλον·[3] εἰ δὲ μή, παραπλησίως γε.

ΣΩ. Οὐδὲν διαφέρει. χαίρουσι δ' οὖν καὶ οἱ δειλοί;

ΚΑΛ. Σφόδρα γε.

ΣΩ. Καὶ οἱ ἄφρονες, ὡς ἔοικεν.

ΚΑΛ. Ναί.

ΣΩ. Προσιόντων[4] δὲ οἱ δειλοὶ μόνοι λυποῦνται ἢ καὶ οἱ ἀνδρεῖοι;

ΚΑΛ. Ἀμφότεροι.[5]

1. Δηλαδὴ τοὺς φρονίμους καὶ τοὺς ἄφρονας ἐν τῷ λυπεῖσθαι καὶ χαίρειν. Κακῶς ἀποκρίνεται ἐνταῦθα ὁ Καλλικλῆς, διότι ἡ πεῖρα διδάσκει, ὅτι οἱ ἄφρονες ἄγαν χαίρουσι καὶ ἄγαν λυποῦνται, ἐν ᾧ τὰ πάθη τῶν φρονίμων εἶναι μέτρια.

2. Ὁ φιλόσοφος νομίζει ἱκανόν, ὅτι ὁ πολιτικὸς δὲν ἔδωκε χείρονα ἀπόκρισιν. Διὰ τοῦτο δὲν ἐπιμένει νὰ ἐλέγξῃ αὐτὸν ἀποδεικνύων, ὅτι πολὺ διαφέρουσιν.

3. Τὴν ἑρμηνείαν τοῦ Ἄγγλου Routh ἐδέξατο ὁ Stallbaum καὶ ὁ Κοραῆς, ὅστις γράφει· «Παίζων τοῦτο λέγει. Καὶ οἱ δειλοὶ ἐδόκουν μοι χαίρειν μᾶλλον τῶν ἀνδρείων, καὶ οἱ ἀνδρεῖοι μᾶλλον τῶν δειλῶν· ὥσπερ ἐξηγήσαντο οἱ πρὸ ἡμῶν.» Ἀλλ' ὁ Ast καὶ ὁ Schmidt καταπολεμοῦσι ταύτην, οὐχὶ ἀτόπως. Ὁ Cron ἑρμηνεύει· «Οὐδεὶς ἐκ τῶν δύο περισσότερον, ἀλλ' ὁ εἷς σχεδὸν ἐπίσης, ὡς ὁ ἕτερος». Ἡμεῖς νομίζομεν, ὅτι τὸ μᾶλλον δὲν προσδιορίζει τὸ νοούμενον χαίρειν, ἀλλὰ τὸ ἐδόκουν καὶ λέγεται ἐν ἀντιθέσει πρὸς τὸ ἑπόμενον, δηλ. μᾶλλον ἐφαίνοντο εἰς ἐμὲ τουλάχιστον, ὅτι ἔχαιρον ἐν ἴσῳ βαθμῷ, εἰ δὲ μὴ κατ' ἴσον, τοὐλάχιστον οὐχὶ κατὰ πολὺ διαφέροντα. Εἶναι ἡ προηγουμένη ἀπόκρισις, οὐ πολύ τι διαφέρειν, κατὰ διάφορον τρόπον ἐκπεφρασμένη. Ὁ Καλλικλῆς δίδει τοιαύτας ἀποκρίσεις, καθ' ἃς οὐδέποτε δύναται νὰ ἐξελεγχθῇ. Ὅτι δὲ οὗτος δὲν φρονεῖ οὕτω, δεικνύουσιν αἱ ἑπόμεναι αὐτοῦ ἀποκρίσεις.

4. Ἐννοεῖται τῶν πολεμίων.

5. Πάλιν παρὰ συνείδησιν καὶ τὴν κοινὴν πεποίθησιν ἀποκρίνεται ὁ Καλλικλῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Ἆρα ὁμοίως;

ΚΑΛ. Μᾶλλον ἴσως οἱ δειλοί.[1]

ΣΩ. Ἀπιόντων δ' οὐ μᾶλλον χαίρουσιν;

ΚΑΛ. Ἴσως.

ΣΩ. Οὐκοῦν[2] λυποῦνται μὲν καὶ χαίρουσι καὶ οἱ ἄφρονες καὶ οἱ φρόνιμοι καὶ οἱ δειλοὶ καὶ οἱ ἀνδρεῖοι παραπλησίως, ὡς σὺ φῄς, μᾶλλον δὲ οἱ δειλοὶ τῶν ἀνδρείων; C

ΚΑΛ. Φημί.

ΣΩ. Ἀλλὰ μὴν οἵ γε φρόνιμοι καὶ οἱ ἀνδρεῖοι ἀγαθοί,[3] οἱ δὲ δειλοὶ καὶ ἄφρονες κακοί;

ΚΑΛ. Ναί.

ΣΩ. Παραπλησίως ἄρα χαίρουσι καὶ λυποῦνται οἱ ἀγαθοὶ καὶ οἱ κακοί;

ΚΑΛ. Φημί.

ΣΩ. Ἆρ' οὖν παραπλησίως εἰσὶν ἀγαθοὶ καὶ κακοὶ οἱ ἀγαθοί τε καὶ οἱ κακοί;[4] ἢ καὶ ἔτι μᾶλλον ἀγαθοὶ[5] καὶ κακοί εἰσιν οἱ κακοί;

1. Ὁ Καλλικλῆς δὲν ἠδυνήθη νὰ ἐξακολουθήσῃ ψευδόμενος, ἀλλ' ἄρχεται μετριάζων τὴν αὐτοῦ ἰσχυρογνωμοσύνην.

2. Ἡ πρότασις αὕτη σκοπεῖ νὰ συγκεφαλαιώσῃ τὰ προηγούμενα συλλογιστικῶς.

3. Τοῦτο δὲν ἠδύνατο νὰ ἀρνηθῇ ὁ Καλλικλῆς, διότι ἐν τοῖς ἔμπροσθεν ὡμολόγησεν, 491, B.

4. Τὸ χωρίον τοῦτο γίνεται δύσληπτον· διότι τὰ αὐτὰ ἐπίθετα, ἀγαθοὶ καὶ κακοί, ὡς ὑποκείμενα ἔχουσι διάφορον σημασίαν ἐκείνης ἣν ἔχουσιν ὡς κατηγορούμενα· ὡς ὑποκείμενα μὲν σημαίνουσι τοὺς ἀνδρείους καὶ δειλούς, ὡς κατηγορούμενα δὲ τοὺς λυπουμένους καὶ χαίροντας.

5. Κοινῶς μετὰ τὴν λέξιν ταύτην ὑπῆρχεν ἡ προσθήκη οἱ ἀγαθοί. Αὕτη ὅμως δίδει ἔννοιαν ἀντίθετον τῆς προσδοκωμένης. Οἱ δειλοὶ (κακοὶ) εἶναι μᾶλλον ἀγαθοί, διότι οὗτοι μᾶλλον χαίρουσιν, ὡς ἄρτι ὡμολόγησεν ὁ Καλλικλῆς, καὶ εἶναι μᾶλλον κακοί, διότι οὗτοι μᾶλλον λυποῦνται. Διὰ τοῦτο ὁ ἀρχαῖος ἐκεῖνος Routh καὶ μετὰ τοῦτον ὁ Heindorf ἐξήλειψαν τὴν φράσιν οἱ ἀγαθοί, καὶ μετ' αὐτοὺς πάντες οἱ ἐκδόται ἐδέξαντο τὴν γνώμην αὐτῶν. Ἐν τοῖς νεωτέροις ὅμως ὁ Schmidt ἐπεχείρησε νὰ ἐξαλείψῃ τὴν καὶ κακοί, ὥστε ἡ ὅλη φράσις ἤθελε μείνει, ἢ καὶ ἔτι μᾶλλον ἀγαθοί εἰσιν οἱ κακοί. Τὴν διόρθωσιν ταύτην ἐποίησεν ὁ κριτικὸς οὗτος ἀπιδὼν εἰς τὸν ἑπόμενον συλλογισμόν, 499, A. «Οὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

D LIII ΚΑΛ. Ἀλλὰ μὰ Δί' οὐκ οἶδ'[1] ὅτι λέγεις.

ΣΩ. Οὐκ οἶσθ' ὅτι τοὺς ἀγαθοὺς ἀγαθῶν φὴς παρουσίᾳ εἶναι ἀγαθούς, κακοὺς δὲ κακῶν; τὰ δὲ ἀγαθὰ εἶναι τὰς ἡδονάς, κακὰ δὲ τὰς ἀνίας;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Οὐκοῦν τοῖς χαίρουσι πάρεστι τἀγαθά,[2] αἱ ἡδοναί,[3] εἴπερ χαίρουσιν;

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν ἀγαθῶν παρόντων[4] ἀγαθοί εἰσιν οἱ χαίροντες;

ΚΑΛ. Ναί.

ΣΩ. Τί δέ; τοῖς ἀνιωμένοις οὐ πάρεστι τὰ κακά, αἱ λῦπαι;

ΚΑΛ. Πάρεστιν.

E ΣΩ. Κακῶν δέ γε παρουσίᾳ φὴς σὺ εἶναι κακοὺς τοὺς κακούς· ἢ οὐκέτι φής;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Ἀγαθοὶ ἄρα οἳ ἂν χαίρωσι, κακοὶ δὲ οἳ ἂν ἀνιῶνται;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οἳ[5] μέν γε μᾶλλον μᾶλλον, οἱ δ' ἧττον ἧττον, οἱ δὲ παραπλησίως παραπλησίως;

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν φὴς παραπλησίως χαίρειν καὶ λυπεῖσθαι τοὺς

κοῦν ὁμοίως γίγνεται κακὸς καὶ ἀγαθὸς τῷ ἀγαθῷ ἢ καὶ μᾶλλον ἀγαθὸς ὁ κακός». Ἀλλ' ἡ φράσις καὶ κακοὶ ἀντιπροσωπεύει τὴν ἔννοιαν, ὅτι οἱ δειλοὶ μᾶλλον λυποῦνται, ὡς πρὸ ὀλίγου ὡμολόγησεν ὁ Καλλικλῆς.

1. Τὴν φράσιν ταύτην ὁ Καλλικλῆς οὔτε παίζων, οὔτε σοφιστευόμενος, ἀλλὰ σπουδάζων λέγει. Διότι ὄντως αἱ ἔννοιαι πολὺ συνεπυκνώθησαν. Ἐντεῦθεν ὁ φιλόσοφος λαμβάνει ἀφορμήν, ἵνα τὴν ἀπόδειξιν συμπληρώσῃ καὶ δείξῃ τὴν βάσιν, ἐφ' ἧς ἐρείδεται, ὡς ὀρθῶς λέγει ὁ Cron.

2. Πρὸ ὀλίγου, 497, Ε ὁ Σωκράτης ἔλεγε· «Τοὺς ἀγαθοὺς οὐχὶ ἀγαθῶν παρουσίᾳ ἀγαθοὺς καλεῖς, ὥσπερ τοὺς καλοὺς οἷς ἂν κάλλος παρῇ;» καὶ ὁ Καλλικλῆς ὡμολόγει.

3. Εἶναι ἐπεξήγησις τοῦ τἀγαθά, διότι ὁ Καλλικλῆς ταὐτίζει τὴν ἡδονὴν μετὰ τοῦ ἀγαθοῦ.

4. Ἔχει τὴν αὐτὴν σημασίαν τῷ ἀγαθῶν παρουσίᾳ.

5. Ὁ Heindorf ἔγραφε ταῦτα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φρονίμους καὶ τοὺς ἄφρονας καὶ τοὺς δειλοὺς καὶ τοὺς ἀνδρείους, ἢ καὶ μᾶλλον ἔτι τοὺς δειλούς;

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Συλλόγισαι δὴ κοινῇ μετ' ἐμοῦ, τί ἡμῖν συμβαίνει ἐκ τῶν ὡμολογημένων· καὶ δὶς γάρ[1] τοι καὶ τρὶς φασι καλὸν εἶναι τὰ καλὰ λέγειν τε καὶ ἐπισκοπεῖσθαι. ἀγαθὸν μὲν εἶναι τὸν φρόνιμον καὶ ἀνδρεῖόν φαμεν. ἦ γάρ; 499

ΚΑΛ. Ναί.

ΣΩ. Κακὸν δὲ τὸν ἄφρονα καὶ δειλόν;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἀγαθὸν δὲ αὖ τὸν χαίροντα;

ΚΑΛ. Ναί.

ΣΩ. Κακὸν δὲ τὸν ἀνιώμενον;

ΚΑΛ. Ἀνάγκη.[2]

ΣΩ. Ἀνιᾶσθαι δὲ καὶ χαίρειν τὸν ἀγαθον καὶ κακὸν ὁμοίως, ἴσως δὲ καὶ μᾶλλον τὸν κακόν;

ΚΑΛ. Ναί.

ἀναφορικὰς ἀντωνυμίας, τὴν δὲ γραφὴν αὐτοῦ ἐδέξαντο πολλοὶ ἐκδόται, ὅπερ πλῆρες ἤθελεν εἶναι. «Οἱ μέν γε μᾶλλον χαίροντες ἢ ἀνιώμενοι μᾶλλον ἀγαθοὶ ἢ μᾶλλον κακοί εἰσιν κτλ.» Ἐν ἄλλαις λέξεσιν τὸ ἀγαθὸν ἐξαρτᾶται ἐκ τοῦ ποσοῦ τῆς χαρᾶς, π. χ. ὅσοι χαίρουσι περισσότερον, εἶναι περισσότερον ἀγαθοὶ καὶ ὅσοι χαίρουσιν ὀλιγώτερον, εἶναι ὀλιγώτερον ἀγαθοί.

1. Ἐνταῦθα ὁ Σωκράτης ἢ μᾶλλον εἰπεῖν ὁ Πλάτων πειρᾶται νὰ δικαιολογήσῃ τὰς πολλὰς αὐτοῦ ἐπαναλήψεις. Τὴν παροιμίαν ταύτην τὸ πρῶτον μετεχειρίσθη ὁ Ἐμπεδοκλῆς, ὡς λέγει ὁ Σχολιαστής· «Ὅτι χρὴ περὶ τῶν καλῶν πολλάκις λέγειν. Ἐμπεδοκλέους τὸ ἔπος, ἀφ' οὗ καὶ ἡ παροιμία. Φησὶ γάρ·

Καὶ δὶς γάρ, ὃ δεῖ, καλόν ἐστιν ἐνίσπειν.»

Ὅρα καὶ ἐν Φιλήβ. σελ. 59 καὶ ἐν Νόμ. XII, 956, Ε. Ὁ πρῶτος καὶ ἔχει ἐπιδοτικὴν σημασίαν, δηλ. ὄχι μόνον ἅπαξ, ἀλλὰ καὶ δίς, ὡς καὶ ἐν Φαίδωνι, 63, Ε. «Ἐνίοτε ἀναγκάζεσθαι καὶ δὶς καὶ τρὶς πίνειν τούς τι τοιοῦτον ποιοῦντας.» καὶ Λάχητ. 186, Α. Τὸ δὲ τοι συχνάκις τίθεται μάλιστα παρὰ τοῖς τραγικοῖς ἐπὶ παροιμιῶν. Ὅρα Πλ. ἐν Συμπ. 219, Α.

2. Ἡ ὁμολογία τοῦ Καλλικλέους προκύπτει ἐκ τῆς συνεπείας· ἀφ' οὗ ὁ χαίρων εἶναι ἀγαθός, ἔπε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Οὐκοῦν[1] ὁμοίως γίγνεται κακὸς καὶ ἀγαθὸς τῷ ἀγαθῷ ἢ
B καὶ μᾶλλον ἀγαθὸς ὁ κακός; οὐ ταῦτα συμβαίνει καὶ τὰ πρότερα ἐκεῖνα,[2] ἐάν τις ταὐτὰ φῇ ἡδέα τε καὶ ἀγαθὰ εἶναι; οὐ ταῦτα ἀνάγκη,[3] ὦ Καλλίκλεις;

LIV. ΚΑΛ. Πάλαι τοί[4] σου ἀκροῶμαι, ὦ Σώκρατες, καθομολογῶν,[5] ἐνθυμούμενος, ὅτι, κἂν παίζων[6] τίς σοι ἐνδῷ ὁτιοῦν, τούτου ἄσμενος ἔχει[7]

ται, ὅτι ὁ ἀνιώμενος εἶναι κακός.

1. Ἡ ταὐτισις τοῦ ἀγαθοῦ μετὰ τοῦ ἡδέος ἤγαγεν εἰς τὸ ἄτοπον, ὅτι ὁ κακὸς (ἐπειδὴ ὁμοίως λυπεῖται καὶ ὁμοίως χαίρει τῷ ἀγαθῷ) εἶναι ὁμοίως κακὸς καὶ ὁμοίως ἀγαθὸς πρὸς τὸν ἀγαθόν (δηλ. δὲν ὑπάρχει διαφορὰ μεταξὺ ἀγαθοῦ καὶ κακοῦ)· ἂν δ' ὑπάρχῃ διαφορά, ὁ κακὸς εἶναι μᾶλλον ἀγαθὸς τοῦ ἀγαθοῦ (διότι ὁ δειλὸς μᾶλλον χαίρει).

2. Τίνα ἆρά γε ἐννοεῖ; Ὁ μὲν Jahn ἐννοεῖ τὰ ἐν 497A, ὁ δὲ Kratz τὰ ἐν 496D, ὁ δὲ Ast τὰ περὶ κιναίδων εἰρημένα ἐν 494E, ὡς καὶ ὁ Κοραῆς καὶ ὁ Cron.

3. Περὶ τούτου ὁ Πλάτων λέγει καὶ ἐν Φιλήβῳ, 55, B. «Πῶς οὐκ ἄλογόν ἐστι — τὸν μὴ χαίροντα, ἀλγοῦντα δὲ ἀναγκάζεσθαι φάναι κακὸν εἶναι τότε, ὅταν ἀλγῇ, κἂν ᾖ ἄριστος πάντων, καὶ τὸν χαίροντα αὖ, ὅσῳ μᾶλλον χαίρει, τοσοῦτον διαφέρειν πρὸς ἀρετήν;»

4. Κοινῶς ἐφέρετο ἡ γραφή, πάλαι τί σου, ἣν κατέλιπον οἱ ἐκδόται· διότι τὸ τοὶ σημαίνει βεβαίωσιν μετὰ θαυμασμοῦ ἢ ἀγανακτήσεως, ὡς λέγει ὁ Stallbaum. Ἡ σημασία αὕτη ἁρμόζει ἐνταῦθα, ὡς ἐν Φαίδωνι, 63, A. «Ἀεί τοι, ἔφη, ὁ Κέβης λόγους τινὰς ἀνευρᾷ.»

5. Ἀγνοοῦμεν, διά τι τῷ Κοραῇ ἐφάνη ὕποπτος ἡ μετοχὴ καὶ εἴκαζεν, ὅτι πρέπει νὰ διορθωθῇ εἰς κἀθ' ὁμολογῶ, ἢ ἁπλούστερον καὶ πιθανώτερον, ὡς λέγει, εἰς καὶ ὁμολογῶ. Ἐπειδὴ ὅμως τὸ χωρίον ἔχει καλῶς, οἱ κριτικοὶ δὲν ἀπέδωκαν σπουδαιότητα εἰς τὴν εἰκασίαν.

6. Ὁ Καλλικλῆς εἶναι ἐξ ἐκείνων, οἵτινες δὲν συζητοῦσι χάριν τῆς ἀληθείας, ἀλλὰ τὰ πάντα μετέρχονται, ἵνα μὴ ἡ ἀπάτη αὐτῶν καταδειχθῇ. Οὕτως παίζων ὁ πολιτικὸς ἔδιδε τὰς τελευταίας παρὰ συνείδησιν ἀποκρίσεις, ἀλλὰ καὶ δὲν ἠδύνατο σπουδάζων νὰ διαφύγῃ τὸν ἔλεγχον. Πάλιν ἐνταῦθα εἶναι ὁ κοινὸς σοφιστικὸς τρόπος τῶν μαθητῶν καὶ τῶν φίλων τοῦ Γοργίου, οἵτινες διὰ τῆς παιδιᾶς ἢ τοῦ γέλωτος ἐπειρῶντο νὰ διαφθείρωσι τὴν σπουδαιότητα τῶν ἀντιπάλων.

7. Τὸ ἔχομαι σημαίνει κρατοῦμαι στερεῶς ἀπό τινος πράγματος, καθ' ὅσον τοῦτο θεωρῶ σπουδαῖον, πολύτιμον καὶ ἐνίοτε ὡς ἄγκυραν αὐτοῦ τοῦ βίου, Θουκυδ. I, 140. «Τῆς μὲν γνώμης, ὦ Ἀ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὥσπερ τὰ μειράκια.[1] ὡς[2] δὴ σὺ οἴει ἐμὲ ἢ καὶ ἄλλον ὁντινοῦν ἀνθρώπων οὐχ ἡγεῖσθαι τὰς μὲν βελτίους ἡδονάς, τὰς δὲ χείρους.

ΣΩ. Ἰού[3] ἰού, ὦ Καλλίκλεις, ὡς πανοῦργος[4] εἶ, καί μοι ὥσπερ C παιδὶ[5] χρῇ, τοτὲ μὲν αὖ[6] φάσκων οὕτως ἔχειν, τοτὲ δὲ ἑτέρως, ἐξαπατῶν με. καίτοι[7] οὐκ ὤμην γε κατ' ἀρχὰς ὑπὸ σοῦ ἑκόντος εἶναι[8] ἐξαπατηθήσεσθαι, ὡς ὄντος φίλου· νῦν δὲ ἐψεύσθην, καὶ ὡς ἔοικεν, ἀνάγκη μοι κατὰ τὸν παλαιὸν λόγον[9] τὸ παρὸν εὖ ποιεῖν

θηναῖοι, ἀεὶ τῆς αὐτῆς ἔχομαι μὴ εἴκειν Πελοποννησίοις.»

1. Ὁ Καλλικλῆς παραβάλλει τὸν φιλόσοφον πρὸς παιδία, εἰς ἃ ὑπισχνεῖταί τις οὐρανοὺς μὲ ἄστρα ἐπὶ τῷ καθησυχάσαι αὐτά. Ταῦτα δὲ ἐν τῇ ἀπειρίᾳ αὐτῶν δέχονται τὰς ὑποσχέσεις ὡς ἀληθεῖς. Ὁ δὲ Πλάτων τεχνηέντως τὰς παιγνιώδεις ταύτας ἀποκρίσεις ἐνέβαλεν εἰς τὸ στόμα τοῦ πολιτικοῦ, ἀφ' ὅτου ὑποχωρῶν τῷ Γοργίᾳ ἠναγκάσθη νὰ ἀποκρίνηται εἰς τὸν Σωκράτη.

2. Πειρᾶται νὰ ἐξυψώσῃ τὴν πιθανότητα, ὅτι παίζει, ὁμολογῶν, ὅτι ὁ πρῶτος ἰσχυρισμὸς εἶναι ἀνόητος. Ὁπωσδήποτε τὴν ἀσπίδα ῥίψας ἦλθεν εἰς ἠθικωτέραν γνώμην.

3. Περὶ τῆς λέξεως ὁ Σουΐδας παρατηρεῖ· «Ἰού· σχετλιαστικὸν ἐπίρρημα, ἀντὶ τοῦ οἴμοι, φεῦ.» Ἐνταῦθα εἶναι θαυμασμὸς μετὰ δυσθυμίας, ὡς Ἀριστοφάν. ἐν Νεφέλ. 1. «Ἰού, ἰού. ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν νυκτῶν ὅσον ἀπέραντον.» Ἡ δυσθυμία ἐγείρεται μετὰ μακρὰν προπαρασκευήν, καθ' ἣν ὁ Σωκράτης εἶχεν ἀνοχήν.

4. Οὕτως πανουργία εἶναι οἱ τοιοῦτοι ἐλιγμοὶ τοῦ Καλλικλέους.

5. Διὰ τῆς αὐτῆς παραβολῆς προσβάλλει τὸν πολιτικόν, ὅστις παρέβαλε τοῦτον πρὸς μειράκια, δηλ. λέγει πρὸς τὸν Καλλικλέα, πράττεις ὡσεὶ προῦκειτο νὰ παίξῃς μὲ παιδάρια.

6. Ἀντὶ τοῦ αὖ ὑπάρχουσι καὶ αἱ γραφαὶ ταῦτα, τὰ αὐτὰ καὶ ταὐτά, ἀλλὰ τὰ πλεῖστα καὶ ἄριστα ἔχουσιν αὖ, ὅπερ ἐπιδοκιμάζει ὁ Stallbaum, διότι καὶ ἐν 491B ἤλεγξε τὸν Καλλικλέα, ὅτι δὲν λέγει τὰ αὐτὰ περὶ τῶν αὐτῶν.

7. Ὁ Σωκράτης προϊδὼν τοὺς τρόπους τοῦ Καλλικλέους εὐθὺς ἐν ἀρχῇ τοῦ μετ' αὐτοῦ διαλόγου ἔλεγεν, 487, A· «Ἐννοῶ γάρ, ὅτι τὸν μέλλοντα βασανιεῖν ἱκανῶς ψυχῆς πέρι ὀρθῶς τε ζώσης καὶ μὴ τρία ἄρα δεῖ ἔχειν, ἃ σὺ πάντα ἔχεις, ἐπιστήμην τε καὶ εὔνοιαν καὶ παρρησίαν.»

8. Τὸ ἀπερέμφατον φαίνεται περιττεῦον, ὡς Ἡρόδοτ. VII, 164. «Ὁ δὲ Κάδμος οὗτος—ἐκών τε εἶναι καὶ δεινοῦ ἐπιόντος οὐδενός, ἀλλ' ἀπὸ δικαιοσύνης ἐς μέσον Κῴοισι καταθεὶς τὴν ἀρχὴν οἴχετο εἰς Σικελίην.» Θουκυδ. IV, 93.

9. Ἐνταῦθα ὁ Σχολιαστὴς λέγει· «Τὸν παροιμιώδη φησί. βούλεται δὲ οὗτος τὸ πάσῃ τύχῃ τῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τοῦτο δέχεσθαι[1] τὸ διδόμενον παρὰ σοῦ. ἔστι δὲ δή, ὡς ἔοικεν, ὃ νῦν[2] λέγεις, ὅτι ἡδοναί τινές εἰσιν αἱ μὲν ἀγαθαί, αἱ δὲ κακαί· ἦ γάρ;

ΚΑΛ. Ναί.

ΣΩ. Ἆρ' οὖν ἀγαθαὶ μὲν αἱ ὠφέλιμοι, κακαὶ δὲ αἱ βλαβεραί;

ΚΑΛ. Πάνυ γε.

D ΣΩ. Ὠφέλιμοι δέ γε αἱ ἀγαθόν τι ποιοῦσαι, κακαὶ δὲ αἱ κακόν τι;

ΚΑΛ. Φημί.

ΣΩ. Ἆρ' οὖν τὰς τοιάσδε λέγεις, οἷον κατὰ τὸ σῶμα ἃς νῦν δὴ ἐλέγομεν ἐν τῷ ἐσθίειν καὶ πίνειν ἡδονάς,[3] εἰ ἄρα[4] τούτων αἱ μὲν ὑγίειαν ποιοῦσαι[5] ἐν τῷ σώματι ἢ ἰσχὺν ἢ ἄλλην τινὰ ἀρετὴν τοῦ σώματος αὗται[6] μὲν ἀγαθαί, αἱ δὲ τἀναντία τούτων κακαί;

προσπιπτούσῃ χρῆσθαι πρὸς τὰς κατ' ἀρετὴν ἐνεργείας.» Λέγεται δὲ καί, τὸ παρὸν εὖ τίθεσθαι ἐκ μεταφορᾶς τῶν κύβων. Ὁ δὲ Ἡσύχιος συγχέων πως τὰς ἐκφράσεις τῆς παροιμίας λέγει· «Τὸ παρὸν εὖ τίθεσο, παροιμία, ἧς καὶ Πλάτων ἐν Γοργίᾳ μνημονεύει.»

1. Ἡ φράσις δέχεσθαι τὸ διδόμενον ἐξηγεῖ τὴν ἔννοιαν τῆς παροιμίας. Ἐνταῦθα δικαιολογεῖ τὸν Σωκράτη, ὅτι ἐξακολουθεῖ διαλεγόμενος μετ' ἀνθρώπου, ὅστις εἰς τοιαύτην αὐθάδειαν προέβη, ὥστε ἔδιδεν εἰς τὸν φιλόσοφον παιγνιώδεις ἀποκρίσεις. Διὰ τῆς παροιμίας λοιπὸν ταύτης θέλει ὁ Σωκράτης νὰ δείξῃ, ὅτι καὶ ἄλλοι ἔπαθον τὸ αὐτὸ καὶ ἐντεῦθεν ἐσχηματίσθη ἡ παροιμία.

2. Τὸ νῦν λέγεται μετά τινος τόνου, ἵνα δειχθῇ, ὅτι ὁ Καλλικλῆς πρότερον ἔλεγε διάφορα τούτων.

3. Κατὰ μετάθεσιν ἐτέθη ἡ λέξις εἰς τὸ τέλος, ἐν ᾧ ἠδύνατο νὰ εἴπῃ, τὰς τοιάσδε λέγεις ἡδονάς.

4. Οὕτως ἔχει ἡ παράδοσις, ἣν διατηρεῖ ὁ Stallbaum. Ἀλλ' ὁ Hermann, ὁ Heindorf καὶ ὁ Jahn ἐξαλείφουσι τὸ εἰ, τὸ ἄρα τρέπουσιν εἰς ἆρα καὶ οὕτως ἀρχίζουσι νέαν ἐρώτησιν. Ἂν μὴ ἐκώλυε τὸ κῦρος τῶν χειρογράφων, ἀναντιρρήτως ὁ λόγος ἤθελεν ἀποκτήσει μείζονα σαφήνειαν. Ὡς ἔχει ἐν τοῖς χειρογράφοις, ἡ πρότασις εἶναι πλαγία ἐρώτησις ἐξαρτωμένη ἐκ τοῦ ἔλεγον διὰ τοῦ εἰ, ὡς καὶ ἐν 500E.

5. Τὰ ἄριστα τῶν χειρογράφων ἔχουσι μετοχήν, ἣν πρέπει νὰ διατηρήσωμεν, διότι εἰς τὰς λέξεις ἀγαθαὶ καὶ κακαὶ ἐννοεῖται τὸ ῥῆμα εἰσίν.

6. Ἡ ἀντωνυμία συγκεφαλαιοῖ τὴν διὰ τῆς μετοχῆς ἐκπεφρασμένην πρότασιν. Τοιαύτη ἐπανάλη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν καὶ λῦπαι ὡσαύτως αἱ μὲν χρησταί εἰσιν, αἱ δὲ **E**
πονηραί;

ΚΑΛ. Πῶς γὰρ οὔ;

ΣΩ. Οὐκοῦν τὰς μὲν χρηστὰς καὶ ἡδονὰς καὶ λύπας καὶ αἱρετέον ἐστὶ καὶ πρακτέον;[1]

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Τὰς δὲ πονηρὰς οὔ;

ΚΑΛ. Δῆλον δή.

ΣΩ. Ἕνεκα γάρ που τῶν ἀγαθῶν ἅπαντα ἡμῖν ἔδοξε[2] πρακτέον εἶναι, εἰ μνημονεύεις, ἐμοί τε καὶ Πώλῳ. ἆρα καὶ σοὶ συνδοκεῖ οὕτω, τέλος εἶναι ἁπασῶν τῶν πράξεων τὸ ἀγαθόν, καὶ ἐκείνου ἕνεκεν δεῖν πάντα τἆλλα πράττεσθαι, ἀλλ' οὐκ ἐκεῖνο[3] τῶν ἄλλων; συμψηφος ἡμῖν εἰ καὶ σὺ ἐκ τρίτων;[4] **500**

ΚΑΛ. Ἔγωγε.

ΣΩ. Τῶν ἀγαθῶν ἄρα[5] ἕνεκα δεῖ καὶ τἆλλα καὶ τὰ ἡδέα πράττειν, ἀλλ' οὐ τἀγαθὰ τῶν ἡδέων.

ψις τοῦ μὲν γίνεται ἐνιαχοῦ παρὰ τοῖς ἀρχαίοις, ὡς Δημοσθ. ἐν Ὀλυνθ. II, 18. «Εἰ μὲν γάρ τις ἀνὴρ ἐστιν ἐν αὐτοῖς, οἷος ἔμπειρος πολέμου καὶ ἀγώνων, τούτους μέν' φιλοτιμίᾳ πάντας ἀπωθεῖν αὐτὸν ἔφη.»

1. Τὸ μὲν αἱρεῖσθαι σημαίνει μόνον τὸ ἐκλέγειν, τὸ δὲ πράττειν προσθέτει καὶ τὴν χρῆσιν τῶν ἐκλεγομένων.

2. Τοῦτο ὄντως ἐγένετο ἐν 468, C. «Τὰ γὰρ ἀγαθὰ βουλόμεθα, ὡς φῂς σύ, τὰ δὲ μήτε ἀγαθὰ μήτε κακὰ οὐ βουλόμεθα, οὐδὲ τὰ κακά.»

3. Ἡ πλήρης φράσις ἤθελεν εἶναι, ἐκεῖνο δεῖν πράττεσθαι τῶν ἄλλων ἕνεκεν.

4. Οὐχὶ ὀρθῶς ὁ Σχολιαστὴς παρατηρεῖ· «Τὸν Γοργίαν καὶ Πῶλον ὡς ἕνα ἔλαβε», διότι περὶ Γοργίου δὲν ἠδύνατο νὰ γείνῃ λόγος, ἀφ' οὗ οὗτος δὲν μετέσχε τοῦ ζητήματος. Ὥστε εἶναι ὁ Σωκράτης, ὁ Πῶλος καὶ δύναται νὰ προστεθῇ καὶ ὁ Καλλικλῆς τρίτος, ἂν θέλῃ, ὡς καὶ ἐν Συμποσ. 213, B. «Ὑπολύετε παῖδες, Ἀλκιβιάδην, ἵνα ἐκ τρίτων κατακέηται.» καὶ Εὐριπίδ. ἐν Ὀρέστ. 1179. «Ἐγὼ κασίγνητ' αὐτὸ τοῦτ' ἔχειν δοκῶ, σωτηρίαν σοι, τῷδε τ' ἐκ τρίτου τ' ἐμοί.» Τὸ δὲ ὁμόψηφος ὑπομιμνήσκει τὰς ψηφοφορίας καὶ τὸ δημοτελὲς τούτων.

5. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Μέχρι τούτου ὁ περὶ τοῦ τελικοῦ αἰτίου, τουτέστι, τοῦ ἀγαθοῦ τῶν ἠθικῶν ἀρχῶν λόγος.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἆρ' οὖν παντὸς ἀνδρός[1] ἐστιν ἐκλέξασθαι, ποῖα ἀγαθὰ τῶν ἡδέων ἐστὶ καὶ ὁποῖα κακά, ἢ τεχνικοῦ[2] δεῖ εἰς ἕκαστον;

ΚΑΛ. Τεχνικοῦ.

LV. ΣΩ. Ἀναμνησθῶμεν δὴ ὧν αὖ[3] ἐγὼ πρὸς Πῶλον καὶ Γοργίαν ἐτύγχανον λέγων. ἔλεγον γάρ, εἰ μνημονεύεις, ὅτι εἶεν παρα-
B σκευαὶ[4] αἱ μὲν μέχρι ἡδονῆς,[5] αὐτὸ τοῦτο μόνον παρασκευάζουσαι, ἀγνοοῦσαι δὲ τὸ βέλτιον καὶ τὸ χεῖρον, αἱ δὲ γιγνώσκουσαι ὅ τι τε ἀγαθὸν καὶ ὅ τι κακόν. καὶ ἐτίθην τῶν μὲν περὶ τὰς ἡδονὰς τὴν μαγερικὴν ἐμπειρίαν, ἀλλ' οὐ τέχνην, τῶν δὲ περὶ τὸ ἀγαθὸν τὴν ἰατρικὴν τέχνην.[6] καὶ πρὸς φιλίου,[7] ὦ Καλλίκλεις, μήτε αὐτὸς οἷου δεῖν πρὸς ἐμὲ παίζειν μηδ'[8] ὅ τι ἂν τύχῃς πα-

1. Ἡ γενικὴ αὕτη, ἥτις δύναται νὰ ἀποδοθῇ εἴς τι παραλειφθὲν οὐσιαστικὸν ἔργον ἢ ἴδιον, κυρίως εἶναι διάφορος τρόπος ἐκφράσεως τοῦ ὑποκειμένου τοῦ ἀπαρεμφάτου, δηλ. οὐ πάντα ἄνδρα ἐστὶν ἐκλέξασθαι, ὡς καὶ παρὰ Σοφοκλ. ἐν Οἰδίπ. τῷ Τυράνν. 393. «Καίτοι τὸ γ' αἴνιγμ' οὐχὶ τοὐπιόντος ἦν ἀνδρὸς διειπεῖν.» καὶ Θουκυδ. VI, 22.

2. Ὁ τεχνικὸς ποιεῖ ἀντίθεσιν πρὸς πάντα ἄνδρα. Τεχνικὸς δὲ ὀνομάζεται ἐκεῖνος, ὅστις γνωρίζει εἰδικῶς τι.

3. Καθ' ἕλξιν ἀντὶ τοῦ, ἀναμνησθῶμεν αὖ τούτων, ἃ ἐγὼ πρὸς Πῶλον.... Τὸ αὖ συντακτικῶς ἀνήκει εἰς τὴν ἐννοουμένην δεικτικὴν ἀντωνυμίαν. Ἀφ' οὗ ὁ Σωκράτης διέστειλε τὸ ἀγαθὸν ἀπὸ τοῦ ἡδέος, ἐπανέρχεται εἰς τὰς ἀληθεῖς καὶ ψευδεῖς τέχνας, ἃς κρίνει μετὰ τοῦ κύρους, ὅπερ ἤντλησεν ἐκ τῆς εἰρημένης διαστολῆς.

4. Κατὰ τὸν Σχολιαστήν. «Οὐ τέχνας, οὐκ ἐμπειρίας εἶπεν, ἀλλὰ τὸ μέσον τούτων, τὰς παρασκευάς, ὥσπερ ἐν τοῖς πρόσθεν τὰς ἐπιτηδεύσεις.» Τὴν λέξιν παρασκευὴν ἐν τοῖς ἔμπροσθεν ἀπέφυγε καὶ ἀντὶ ταύτης μετεχειρίσθη τὰς λέξεις θεραπεία καὶ ἐπιτήδευσις. Ἐπειδὴ δὲ ἐνταῦθα ἔρχεται εἰς τὸν ἐπιδιωκόμενον σκοπόν, καθ' ὃν αἱ ἐνέργειαι διαστέλλονται, ἡ εἰδικὴ φράσις ἁρμόζει.

5. Δηλαδὴ αἱ ἐνέργειαι τῶν τοιούτων παρασκευῶν πέρα τῶν ἡδονῶν δὲν ἐκτείνονται, δὲν ἔχουσιν ὑψηλότερον σκοπόν.

6. Ὁ ἐν τοῖς ἔμπροσθεν σελ. 196 ἐκτεθεὶς πίναξ δύναται καὶ ἐνταῦθα νὰ ἦναι χρήσιμος.

7. Ὁ Ὀλυμπιόδωρος παρατηρεῖ· «Ἐπὶ τὸν ἔφορον τῆς φιλίας φέρει αὐτόν, ἵνα εἰδῶς, ὅτι θεός ἐστιν ὁ τῆς φιλίας ἐπιστάτης.» Ὅρα καὶ Φαῖδρ. 234, E, καὶ Ἀλκιβιάδ. I, 109, D.

8. Παρατήρησον, ὅτι, ἐν ᾧ προηγεῖται τὸ μήτε, δὲν ἔπεται πάλιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρὰ τὰ δοκοῦντα ἀποκρίνου, μήτ' αὖ τὰ παρ' ἐμοῦ οὕτως ἀπο- C
δέχου ὡς παίζοντος. ὁρᾷς γάρ, ὅτι περὶ τούτου εἰσὶν ἡμῖν οἱ λό-
γοι, οὗ τί[1] ἂν μᾶλλον σπουδάσειέ τις καὶ σμικρὸν[2] νοῦν ἔχων ἄνθρω-
πος, ἢ[3] τοῦτο, ὄντινα χρὴ τρόπον ζῆν, πότερον ἐπὶ[4] ὃν σὺ παρα-
καλεῖς ἐμέ, τὰ τοῦ ἀνδρὸς δὴ[5] ταῦτα πράττοντα, λέγοντά
τε ἐν τῷ δήμῳ καὶ ῥητορικὴν ἀσκοῦντα καὶ πολιτευόμενον τοῦ-
τον τὸν τρόπον,[6] ὃν ὑμεῖς νῦν πολιτεύσθε, ἢ ἐπὶ τόνδε τὸν βίον
τὸν ἐν φιλοσοφίᾳ, καὶ τί ποτ' ἐστὶν οὗτος ἐκείνου[7] διαφέρων. ἴσως
οὖν βέλτιστόν ἐστιν,[8] ὡς ἄρτι ἐγὼ ἐπεχείρησα, διαιρεῖσθαι, διελο- D

τὸ μήτε, ἀλλὰ τὸ μηδὲ καὶ πάλιν τὸ μήτε. Τοιαύτη ὅμως ποικιλία συντάξεων εὑρίσκεται παρὰ τοῖς ἀρχαίοις, Εὐριπίδ. ἐν Ἀνδρομ. 568. «Οὔτε τῷ δίκῃ κρίναντες, οὐδὲ τοὺς ἀπόντας ἐκ δόμων μεί-
ναντες.» καὶ Πλάτ. ἐν Νόμ. VIII 840, A. «Οὔτε τινὸς πώποτε γυ-
ναικὸς ἥψατο, οὐδ' αὖ παιδός.» Ὄντως ἐν τοῖς ἔμπροσθεν 495 A, ὁ Καλλικλῆς ἀπεκρίνετο παρὰ τὰ δοκοῦντα αὐτῷ.

1. Τὸ σπουδάζειν συντάσσεται αἰτιατικῇ, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν, 481, B. «Σπουδάζει ταῦτα Σωκράτης ἢ παίζει,»

2. Ἔμμεσος προσβολὴ κατὰ τοῦ Καλλικλέους.

3. Συχνάκις παρὰ τοῖς ἀρχαίοις πλὴν τῆς γενικῆς τούτου καὶ οὗ, ἣν ἀπαιτεῖ τὸ συγκριτικόν, προστίθεται τὸ ἢ ἀντὶ νὰ ὑπάρχῃ ἔναρθρον ἀπαρέμφατον, ὡς Ἰλιάδ. Ο, 509. «Ἡμῖν δ' οὔτις τοῦδε νόος καὶ μῆτις ἀμείνων, ἢ αὐτοσχεδίῃ μῖξαι χεῖράς τε μένος τε.» καὶ Πλάτ. ἐν Θεάγ. 127, A. «Οὐκ ἔσθ' ὅ τι τούτου μεῖζον ἂν ἕρμαιον ἡγη-
σαίμην, ἢ εἰ οὗτος ἀρέσκοιτο τῇ σῇ συνουσίᾳ.»

4. Δηλαδὴ πότερον τοῦτον, ἐπὶ ὃν.

5. Τοῦτο λέγει εἰρωνικῶς ὁ Σωκράτης, διότι ὁ Καλλικλῆς τοιοῦτον τὸν βίον ἀγαθοῦ ἀνδρὸς ὥρισεν. Ὅρα 485, A. καὶ ἑξῆς.

6. Ὁ Σωκράτης δὲν καταψηφίζει ὅλως τῆς πολιτικῆς, ἀλλὰ τοὺς πολιτικοὺς διαιρεῖ εἰς δύο τάξεις, εἰς ἐκείνους, οἵτινες εἶναι ὡς ἰατροὶ ἐν τῇ πόλει καὶ εἰς διακονοῦντας καὶ κολακεύοντας. Ὅρα 521, A.

7. Δηλαδὴ οὗτος ὁ βίος ὁ ἐν φιλοσοφίᾳ διαφέρει τοῦ τῶν λεγόντων ἐν δήμῳ καὶ ῥητορικὴν ἀσκούντων. Ἡ περίοδος αὕτη περιέχει τὸ κύριον ζήτημα τοῦ διαλόγου. Ὅρα εἰσαγωγ. σελ. 83.

8. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ὅρα τὴν παράδοσιν τῆς τῶν προβλημάτων τάξεως, ὅτι πρῶτον δεῖ διαιρεῖσθαι, εἶτα τὴν διαφορὰν τῶν διαιρεθέντων ἐλεῖν, καὶ τρίτον, ὁποῖον βέλτιον.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένους δὲ καὶ ὁμολογήσαντας ἀλλήλοις, εἰ[1] ἔστι[2] τούτω διττὼ τὼ βίω, σκέψασθαι, τί τε διαφέρετον ἀλλήλοιν καὶ ὁπότερον[3] βιωτέον αὐτοῖν. ἴσως οὖν οὔπω οἶσθα τί λέγω.

ΚΑΛ. Οὐ δῆτα.[4]

ΣΩ. Ἀλλ' ἐγὼ σαφέστερον ἐρῶ. ἐπειδὴ ὡμολογήκαμεν ἐγώ τε καὶ σὺ εἶναι μέν τι ἀγαθόν, εἶναι δέ τι ἡδύ, ἕτερον δὲ τὸ ἡδὺ τοῦ ἀγαθοῦ, ἑκατέρου δὲ αὐτοῖν μελέτην τινὰ εἶναι καὶ παρασκευὴν τῆς κτήσεως, τὴν μὲν τοῦ ἡδέος θήραν, τὴν δὲ τοῦ ἀγαθοῦ — αὐτὸ δέ μοι τοῦτο πρῶτον ἢ σύμφαθι ἢ μή· σύμ-

E φῃς;[5]

ΚΑΛ. Οὕτω φημί.

LVI. ΣΩ. Ἴθι δή, ἃ καὶ πρὸς τοῦσδε[6] ἐγὼ ἔλεγον, διομολόγησαί μοι, εἰ ἄρα σοὶ ἔδοξα τότε ἀληθῆ λέγειν. ἔλεγον δέ που, ὅτι ἡ μὲν ὀψοποιικὴ οὐ μοι δοκεῖ τέχνη εἶναι ἀλλ' ἐμπειρία, ἡ δὲ ἰατρική[7], λέγων ὅτι ἡ μὲν τούτου[8] οὗ θεραπεύει καὶ τὴν φύσιν[9]

501 ἔσκεπται καὶ τὴν αἰτίαν[10] ὧν πράττει, καὶ λόγον ἔχει τούτων

1. Ἡ πρότασις αὕτη δὲν εἶναι τὸ ἀντικείμενον τοῦ ὁμολογήσαντας, ὡς ἠδύνατό τις νὰ ὑποθέσῃ, ἀλλ' ὑπόθεσις τοῦ σκέψασθαι, δηλαδὴ τότε δύναται νὰ γείνῃ σκέψις περὶ τῆς διαφορᾶς τῶν δύο βίων, ἂν ἡ ὕπαρξις αὐτῶν ὑποτεθῇ.

2. Εἶναι ἄξιον σημειώσεως, ὅτι ἐν ᾧ τὸ ῥῆμα εἶναι ἑνικοῦ ἀριθμοῦ, τὸ ὑποκείμενον ἕπεται κατὰ δυϊκὸν ἀριθμόν, ὡς καὶ παρ' Ἀριστοφάν. ἐν Σφηξίν, 58. «Ἡμῖν γὰρ οὐκ ἔστ' οὔτε κάρυ' ἐκ φορμίδος δούλω παραρριπτοῦντε τοῖς θεωμένοις.»

3. Ἐννοεῖται βίον.

4. Τὸ δῆτα ἐπιτείνει τὴν ἄρνησιν.

5. Πρὶν προβῇ ὁ Σωκράτης εἰς τὴν ἀνάπτυξιν τῆς θεωρίας αὐτοῦ, ἀξιοῖ, ἵνα σαφῶς διομολογηθῶσιν αἱ βάσεις.

6. Ἐννοεῖ τὸν Γοργίαν καὶ τὸν Πῶλον. Τὰ ἀπὸ τοῦ κεφαλαίου XVIII — XX εἰρημένα ἀπέβλεπον τὸν Γοργίαν καὶ τὸν Πῶλον.

7. Ἐννοεῖται ἐκ τῶν ἡγουμένων, δοκεῖ τέχνη εἶναι.

8. Ὀρθῶς ὁ Σχολιαστὴς παρατηρεῖ· «Τὰ κατὰ πᾶσαν θεωρούμενα τέχνην ταῦτα· γνῶσις τοῦ πράγματος περὶ ὃ σπουδάζει· ἐπίσκεψις αἰτιῶν, δι' ἃς προσφέρει ἑκάστῳ ἃ προσφέρει· ἀπόδοσις λόγου τούτων ἑκάστου.»

9. Ἐννοεῖ τὴν φύσιν τοῦ σώματος, ὅπερ θεραπεύει ὁ ἰατρός.

10. Ὅμοια ἔλεγε καὶ πρὸς τὸν Πῶλον, 465, Α. «Τέχνην δὲ αὐτὴν οὗ φημι εἶναι ἀλλ' ἐμπειρίαν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑκάστου δοῦναι, ἡ ἰατρική·[1] ἡ δ' ἑτέρα[2] τῆς ἡδονῆς, πρὸς ἣν ἡ θεραπεία αὐτῇ ἐστιν ἅπασα, κομιδῇ[3] ἀτέχνως[4] ἐπ' αὐτὴν ἔρχεται, οὔτε τι τὴν φύσιν σκεψαμένη τῆς ἡδονῆς οὔτε τὴν αἰτίαν, ἀλόγως[5] τε παντάπασιν, ὡς ἔπος εἰπεῖν,[6] οὐδὲν διαριθμησαμένη,[7] τριβῇ καὶ ἐμπειρίᾳ μνήμην μόνον σωζομένη τοῦ εἰωθότος γίγνεσθαι,[8] ᾗ[9] δὴ καὶ πορίζεται τὰς ἡδονάς. ταῦτ' οὖν πρῶτον σκό- B
πει εἰ δοκεῖ σοι ἱκανῶς λέγεσθαι, καὶ εἶναί τινες καὶ περὶ ψυχὴν τοιαῦται ἄλλαι πραγματεῖαι, αἱ μὲν τεχνικαί, προμήθειαν[10] τινα ἔχουσαι τοῦ βελτίστου περὶ τὴν ψυχήν, αἱ δὲ τούτου μὲν ὀλιγω-

ὅτι οὐκ ἔχει λόγον ὧν προσφέρει, ὁποῖ' ἄττα τὴν φύσιν ἐστίν.»

1. Εἶναι παράθεσις εἰς τὸ ἡ μέν.

2. Ἐνταῦθα περιέμενέ τις νὰ εἴπῃ ὁ συγγραφεύς, οὔτε τὴν φύσιν ἔσκεπται οὔτε τὴν αἰτίαν· ἡ παρεμπεσοῦσα ὅμως ἀναφορικὴ πρότασις δικαιολογεῖ πως τὴν ἀνακολουθίαν ταύτην. Τὴν ψευδοτεχνίαν ὁρίζει ἡ ἑπομένη γενική. Αὕτη ἡ ἡδονικὴ ἢ κολακικὴ ἐμπειρία.

3. Τὸ δοτικοφανὲς τοῦτο ἐπίρρημα προσδιορίζει τὸ ἀτέχνως, σημαίνει δὲ λίαν, πάνυ, τελείως.

4. Ἡ κοινὴ γραφὴ ἦτο ἀτεχνῶς, ἥτις ἀποδοκιμάζεται ὑπὸ τῶν νεωτέρων κριτικῶν. Ὁ δὲ Ἁρποκρατίων διαστέλλει οὑτωσί· «Ἀτεχνῶς, περισπωμένως μὲν ἀντὶ τοῦ σαφῶς ἢ βεβαίως ἢ ἀσφαλῶς ἢ φανερῶς. Παροξυτόνως δέ, ἀντὶ τοῦ ἀμελῶς καὶ ἄνευ τέχνης». Τοῦτο τὸ τελευταῖον σημαίνει ἐνταῦθα.

5. Ὁ Heindorf καὶ ὁ Findeisen γράφουσιν ἄλογος, ἀλλὰ δὲν εὗρον μνημονεύοντας παρὰ τοῖς νεωτέροις. Τὸ ἀλόγως ὑπομιμνήσκει ἐκεῖνο, ὅπερ ἐν 465, Α. εἶπεν· «Ὃ ἂν ᾖ ἄλογον πρᾶγμα.»

6. Ἡ φράσις αὕτη προσδιορίζει τὴν ἑπομένην ἄρνησιν.

7. Ὀρθῶς παρατηρεῖ ὁ ἀρχαῖος Σχολιαστής· «Ἀντὶ τοῦ, διακρίνασα, ἡ διαλογισαμένη. Ἀπὸ τοῦ ἀριθμοῦ δὲ εἴρηται, ἐπειδὴ καὶ οἱ ἀριθμοὶ διακέκριναι ἀπ' ἀλλήλων καὶ πάντα κατ' αὐτοὺς διατέτακται, ὡς ὁ Πυθαγόρειος διδάσκει λόγος.» Μετεχειρίσθη δὲ τὴν μεταφορὰν ταύτην ἐκ τοῦ ἀλόγως, διότι καὶ τὸ λογίζεσθαι εἶναι κατά τινα τρόπον ἀριθμεῖν.

8. Ὁ ἐμπειρικὸς δὲν ἔχει ἀνάγκην οὔτε τῆς φύσεως τοῦ πράγματος, οὔτε τῆς αἰτίας, οὔτε τοῦ λόγου, ἀλλ' ἀρκεῖ αὐτῷ νὰ πράττῃ, ὅ τι ἐκ τῆς τριβῆς ἐσυνείθισε νὰ ποιῇ.

9. Ἀναφέρεται εἰς ὁλόκληρον τὴν προηγουμένην πρότασιν.

10. Τοῦτο ποιεῖ ἀντίθεσιν πρὸς τὸ μνήμην τοῦ εἰωθότος γίγνεσθαι, δηλαδὴ ἡ περὶ τοῦ μέλλοντος πρόνοια ποιεῖ ἀντίθεσιν πρὸς τὴν μνήμην τοῦ παρελθόντος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ροῦσαι, ἐσκεμμέναι δ' αὖ, ὥσπερ ἐκεῖ,[1] τὴν ἡδονὴν μόνον τῆς ψυχῆς, τίνα[2] ἂν αὐτῇ τρόπον γίγνοιτο, ἥτις δὲ ἡ βελτίων ἢ χείρων τῶν ἡδονῶν, οὔτε σκοπούμεναι οὔτε μέλον[3] αὐταῖς ἄλλο ἢ
C χαρίζεσθαι μόνον, εἴτε βέλτιον εἴτε χεῖρον. ἐμοὶ μὲν γάρ, ὦ Καλλίκλεις, δοκοῦσί τε εἶναι, καὶ ἔγωγέ φημι τὸ τοιοῦτον[4] κολακείαν εἶναι καὶ περὶ σῶμα καὶ περὶ ψυχὴν καὶ περὶ ἄλλο ὅτου ἄν τις τὴν ἡδονὴν θεραπεύῃ, ἀσκέπτως[5] ἔχων τοῦ ἀμείνονός τε καὶ τοῦ χείρονος· σὺ δὲ δὴ πότερον συγκατατίθεσαι[6] ἡμῖν[7] περὶ τούτων τὴν αὐτὴν δόξαν ἢ ἀντίφῃς;

ΚΑΛ. Οὐκ ἔγωγε, ἀλλὰ συγχωρῶ, ἵνα[8] σοι καὶ περανθῇ ὁ λόγος καὶ Γοργίᾳ[9] τῷδε χαρίσωμαι.

D ΣΩ. Πότερον δὲ περὶ μὲν μίαν ψυχὴν ἔστι τοῦτο, περὶ δὲ δύο καὶ πολλὰς[10] οὐκ ἔστιν;

1. Ἐν ταῖς ἐμπειρίαις ταῖς ἀνηκούσαις εἰς τὴν θεραπείαν τοῦ σώματος.

2. Ἡ πλαγία αὕτη ἐρώτησις ἐξαρτᾶται ἐκ τοῦ ἐσκεμμέναι.

3. Ὁμαλῶς ἔπρεπε νὰ εἴπῃ, οὔτε ἐπιμελούμεναι, ὅπως συνδέηται μετὰ τοῦ σκοπούμεναι. Ἀλλὰ τοιαῦται ἀνωμαλίαι γίνονται ἐπὶ τῶν ἀπροσώπων συντάξεων, ὡς καὶ ἐν Φαίδρῳ, 295, Α. «Ὡς οὐ πάνυ εὐπορῶν τοῦ πολλὰ λέγειν περὶ τοῦ αὐτοῦ ἢ ἴσως οὐδὲν αὐτῷ μέλον τοῦ τοιούτου.»

4. Αἱ τοιαῦται ἐμπειρίαι εἴτε τὴν ψυχὴν εἴτε τὸ σῶμα θεραπεύουσι, δύνανται νὰ ὀνομασθῶσι κολακεῖαι.

5. Δηλαδὴ χωρὶς νὰ σκεφθῇ, χωρὶς νὰ παρατηρήσῃ καὶ συλλογισθῇ, ἐν ἄλλαις λέξεσιν ἡ φράσις ἀσκέπτως ἔχων ἰσοδυναμεῖ πρὸς τὸ ῥῆμα ἀμελῶν. Ὅρα 494, Ε.

6. Τὸ συγκατατίθεσθαι ἐνταῦθα ἔχει ἀντικείμενον τὴν αὐτὴν δόξαν, συνήθως ὅμως τὸ ἀντικείμενον παραλείπεται. Συνηθέστερον, λέγεται, συγκατατίθεσθαί τινι.

7. Ὁ Σχολιαστὴς πειρᾶται νὰ ἐξηγήσῃ τὸν πληθυντικὸν ἀριθμὸν λέγων· «Ὡς Γοργίαν καὶ Πῶλον τὰ αὐτὰ ἤδη συγχωρησάντων.» Ὁ Σωκράτης ἐν τῷ δευτέρῳ τμήματι ἐποίησε τὴν διαίρεσιν ταύτην, ἀλλ' ὁ Γοργίας καὶ ὁ Πῶλος δὲν ἤλεγξαν ταύτην.

8. Ἄλλο εἶδος σοφίσματος. Ἐπειδὴ δὲν ἔχει πραγματικοὺς λόγους νὰ ἀντιτάξῃ, φέρει προσωπικούς.

9. Ἡ δοτικὴ αὕτη, ὡς καὶ ἡ ἡγουμένη, εἶναι χαριστική. Οὕτως ὁ Γοργίας παρεκάλεσε τὸν Καλλικλέα, ἵνα περάνῃ ταχέως τὸν διάλογον, 497, Β. «Ἀλλ' ἀποκρίνου καὶ ἡμῖν ἕκεκα, ἵνα περανθῶσιν οἱ λόγοι.»

10. Ἡ μετάβασις εἰς τὰς πολλὰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΛ. Οὔκ, ἀλλὰ καὶ περὶ δύο καὶ περὶ πολλάς.

ΣΩ. Οὐκοῦν καὶ ἀθρόαις ἅμα χαρίζεσθαι ἔστι, μηδὲ[1] σκοπούμενον τὸ βέλτιστον;

ΚΑΛ. Οἶμαι ἔγωγε.

LVII. ΣΩ. Ἔχεις[2] οὖν εἰπεῖν, αἵτινές εἰσιν αἱ ἐπιτηδεύσεις αἱ τοῦτο ποιοῦσαι; μᾶλλον δέ, εἰ βούλει, ἐμοῦ ἐρωτῶντος, ἡ μὲν ἄν σοι δοκῇ τούτων εἶναι, φάθι, ἡ δ' ἂν μή, μὴ φάθι.[1] πρῶτον δὲ σκεψώμεθα τὴν αὐλητικήν.[1] οὐ δοκεῖ σοι τοιαύτη τις εἶναι, ὦ Καλλίκλεις, τὴν ἡδονὴν ἡμῶν μόνον διώκειν,[1] ἄλλο δ' οὐδὲν φροντίζειν; Ε

ΚΑΛ. Ἔμοι γε δοκεῖ.

ΣΩ. Οὐκοῦν καὶ αἱ τοιαίδε ἅπασαι, οἷον ἡ κιθαριστικὴ ἡ ἐν τοῖς ἀγῶσιν;

ψυχὰς εἶναι ἀναγκαία, ὅπως ἐφαρμόσῃ τὴν ἔρευναν ἐπὶ τῆς πολιτικῆς ἐνεργείας, ὡς ὀρθῶς λέγει ὁ Cron.

1. Τὸ μηδὲ δηλοῖ ἰσχυρὰν ἄρνησιν. Ὡς ὁ ὀψοποιὸς κολακεύει καθ' ἕκαστον, οὕτως ὁ μουσικός, ὁ ῥήτωρ, ὁ πολιτευτὴς καὶ ἄλλοι δύνανται νὰ κολακεύωσι πολλὰς ψυχὰς συγχρόνως.

2. Ἐντεῦθεν ἄρχεται ἐλέγχων τὰς κολακικὰς τέχνας.

3. Ἥτις φαίνεταί σοι, ὅτι ἀνήκει εἰς ταύτας.

4. Τὰ πλῆρες ἤθελεν εἶναι, μὴ εἶναι τούτων.

5. Ἡ ἐκλογὴ τῶν παραδειγμάτων εἶναι τοιαύτη, ὥστε γίνεται πρόοδος ἀπὸ τῶν ταπεινοτέρων εἰς τὰ ὑψηλότερα. Διὰ δὲ τῆς τοιαύτης προόδου προσεγγίζει εἰς τὴν ῥητορικήν. Ἡ αὐλητικὴ ἐθεωρεῖτο παρὰ τοῖς ἀρχαίοις ὡς κατώτερον εἶδος τῆς μουσικῆς καὶ οἱ αὐληταὶ μετήρχοντο τὴν ἰδίαν τέχνην ὡς βιοποριστικὸν ἐπάγγελμα.

6. Ἡ ἀόριστος ἀντωνυμία προσετέθη πρὸς δήλωσιν τοῦ σχεδὸν ἢ τοῦ περίπου.

7. Τὰ δύο ἀπαρέμφατα, διώκειν καὶ φροντίζειν, ἐπεξηγοῦσι τὸ τοιαύτη τις εἶναι. Ἐν ᾧ τὸ φροντίζειν συντάσσεται γενικῇ, ἐνταῦθα συνετάχθη αἰτιατικῇ. Οὕτω καὶ παρ' ἄλλοις ῥήμασιν εὑρίσκεται ἡ τοιαύτη ποικιλία τῶν συντάξεων, ὡς Ἡρόδοτ. VII, 163. «Ταύτην μὲν τὴν ὁδὸν ἠμέλησε.»

8. Ὁ Πλάτων μόνον ἓν μέρος τῆς κιθαριστικῆς, δηλαδὴ τὸ ἀνῆκον εἰς τοὺς δημοσίους ἀγῶνας, κατατάσσει εἰς τὴν κολακείαν. Τοὐναντίον τὸ ἄλλο μέρος αὐτῆς, ὅπερ καὶ παίδευμα τῶν νέων ἦτο, ἀναγνωρίζει ὡς χρήσιμον καὶ δὲν ἐκβάλλει τῆς αὐτοῦ Πολιτείας, III, 399D. «Λύρα δή σοι—καὶ κιθάρα λείπεται καὶ κατὰ πόλιν χρήσιμα, καὶ αὖ κατ' ἀγροὺς τοῖς νομεῦσι σύριγξ ἄν τις εἴη.» Καὶ ὁ Σχολιαστὴς παρετήρησεν· «Αὐλητικὴν μὲν πᾶσαν ἐκβάλλει τῶν ὀρθῶν πολιτειῶν, κιθαριστικὴν δὲ οὐ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΛ. Ναί.

ΣΩ. Τί δέ; ἡ τῶν χορῶν διδασκαλία[1] καὶ ἡ τῶν διθυράμβων ποίησις[2] οὐ τοιαύτη τίς σοι καταφαίνεται; ἢ ἡγεῖ τι φροντίζειν Κινησίαν[3] τὸν Μέλητος,[4] ὅπως ἐρεῖ τι τοιοῦτον, ὅθεν ἂν οἱ ἀκού-

πᾶσαν, ἀλλὰ τὴν ἐν τοῖς ἀγῶσι μόνην. Οἶδε γὰρ ἄλλην, ἣν σώζειν τὰς πολιτείας νενόμικεν.»

1. Διὰ τῆς φράσεως ταύτης ἐννοεῖ τὴν ἄσκησιν τῶν χορευτῶν. Τίνα δὲ χορὸν ἔννοεῖ, ἐξάγεται ἐκ τῆς ἑπομένης φράσεως. Ἐνταῦθα ὁ φιλόσοφος δὲν καταδικάζει οἱανδήποτε χορικὴν ποίησιν, οἷα ἡ τῶν Δωριέων, ἀλλὰ τὸ μέρος τὸ ἀφιερωμένον εἰς τὴν λατρείαν του Διονύσου, ὡς ὀρθῶς λέγει ὁ Cron.

2. Περὶ τῆς ἐτυμολογίας τῆς λέξεως διθύραμβος ὑπάρχει διαφωνία· ἄλλοι εὑρίσκουσι συγγένειαν πρὸς τὸ Σάτυρος καὶ Τίτυρος (εἶναι τρόπον τινὰ τιτύραμβος), ἄλλοι πρὸς τὸ δίραμβος(δὶς ἐρραμμένος) καὶ τέλος ὁ Welcker θεωρεῖ τὴν λέξιν σύνθετον ἐκ τοῦ δὶς-θύραμβος. Ὁπωσδήποτε ἦτο ᾆσμα οὐχὶ σεμνὸν πρὸς τιμὴν τοῦ Διονύσου. Πρῶτος ὁ Ἀρίων τὸν διθύραμβον ἀνύψωσεν ἐκ τῆς ἀγροτικῆς αὐτοῦ καταστάσεως εἰς τέχνην, Ἡρόδοτ. I, 23. Ἐκ τοῦ διθυράμβου ἐγεννήθη ἡ τραγῳδία. Ἐν τοῖς χρόνοις ὅμως τοῦ Ἀριστοφάνους οἱ διθυραμβοποιοὶ ἐκακίζοντο, ἂν κρίνωμεν ἐκ τοῦ κωμικοῦ λέγοντος·

Κυκλίων τε χορῶν ᾀσματοκάμπτας
[ἄνδρας μετεωροφένακας
οὐδὲν δρῶντας βόσκουσ' ἀγρούς,
ὅτι ταύτας μουσοποιοῦσιν.

3. Ὁ Κινησίας, ὃν ἀνέδειξαν ἀθάνατον τὰ σκώμματα τῶν κωμικῶν, ἦτο μὲν δημοτικὸς διθυραμβοποιός, ἀλλὰ συνεβάλετο πρὸς διαφθορὰν τῆς αἰσθήσεως τῶν πολιτῶν αὐτοῦ. Διὰ φανταστικῶν, νεφελωδῶν καὶ συχνάκις ἀνηθίκων ὑποθέσεων ἐπειρᾶτο νὰ διεγείρῃ τὸ πάθος τῶν ἀκροατῶν. Τούτου ἕνεκεν ὁ Ἀριστοφάνης, εἰς οὗ τὴν αἴσθησιν ὀσημέραι δίκαιος ἔπαινος ἀποδίδεται, εἰσάγει αὐτὸν ἐν Ὄρνισι 1387 λέγοντα·

Τῶν διθυράμβων γὰρ τὰ λαμπρὰ
[γίγνεται
ἀέρια καὶ σκοτεινὰ καὶ κυαναυγέα
καὶ πτεροδόνητα· σὺ δὲ κλύων εἴσει τάχα.

Περὶ τούτου καὶ ὁ Ἀρποκρατίων λέγει· «Λυσίου δύο λόγοι εἰσὶ πρὸς Κινησίαν, ἐν οἷς πολλάκις μνημονεύει τἀνδρός, λέγων, ὡς ἀσεβέστατος εἴη καὶ παρανομώτατος· καὶ ὅτι οἱ κωμῳδιδάσκαλοι καθ' ἕκαστον ἐνιαυτὸν γράφουσιν εἰς αὐτόν. Εἴη δ' ἂν οὗτος ὁ διθυραμβοποιός, οὗ μέμνηνται πολλάκις οἱ κωμικοί, καὶ Στράτις ὅλον δρᾶμα ποιήσας εἰς αὐτόν, ὅπερ ἐπεγράφη Κινησίας, ἐν ᾧ καὶ τὴν ἀσέβειαν αὐτοῦ κωμῳδεῖ.» Ἐπειδὴ λοιπὸν τοιοῦτος ἦτο ὁ Κινησίας, ἦτο προσφυὲς παράδειγμα πρὸς τὸν σκοπὸν τοῦ Σωκράτους.

4. Τοῦ Κινησίου ὁ πατὴρ εἶναι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οντες βελτίους γίγνοιντο, ἢ ὅτι μέλλει χαριεῖσθαι τῷ ὄχλῳ τῶν 502
θεατῶν;[1]

ΚΑΛ. Δῆλον δή τοῦτό γε, ὦ Σώκρατες, Κινησίου γε[2] πέρι.

ΣΩ. Τί δέ;[3] ὁ πατὴρ αὐτοῦ Μέλης ἢ πρὸς τὸ βέλτιστον βλέπων ἐδόκει[4] σοι κιθαρῳδεῖν; ἢ ἐκεῖνος μὲν οὐδὲ πρὸς τὸ ἥδιστον·[5] ἡνία γὰρ ἄδων[6] τοὺς θεατάς· ἀλλὰ δὴ σκόπει· οὐχὶ ἥ τε κιθαρῳδικὴ δοκεῖ σοι πᾶσα καὶ ἡ τῶν διθυράμβων ποίησις ἡδονῆς χάριν εὑρῆσθαι;[7]

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Τί δὲ δὴ ἡ σεμνὴ αὕτη[8] καὶ θαυμαστή, ἡ τῆς τραγῳ- Β
δίας ποίησις ἐφ' ᾧ[9] ἐσπούδακε; πότερόν ἐστιν αὐτῆς τὸ ἐπιχεί-

ἄγνωστος καὶ ἴσως ἀσημότερος τοῦ υἱοῦ.

1. Θεαταὶ δὲν ὀνομάζονται μόνον οἱ ἐν τῷ θεάτρῳ, ἀλλ' ἔχει εὐρυτέραν σημασίαν ἡ λέξις, ὡς ἐν Συμποσ 194. Α. Ἄλλως ὁ χορὸς παρέχει καὶ θέαν.

2. Ὁ Καλλικλῆς θέλει νὰ περιορίσῃ τὴν παρατήρησιν τοῦ Σωκράτους μόνον ἐν τῷ Κινησίᾳ.

3. Οἱ ἀρχαῖοι μεταβαίνοντες ἀπὸ μιᾶς ἐννοίας εἰς ἄλλην καὶ θέλοντες νὰ ἐξάρωσι τὴν ἑπομένην ἐρώτησιν προτάσσουσι τὴν ἐρωτηματικὴν φράσιν.

4. Δηλαδὴ τότε, ὅτε ἐκιθαρῴδει· ὑποτίθησι τὸν Καλλικλέα παρόντα·

5 Εὐφυὲς λογοπαίγνιον. Βεβαίως ὁ Μέλης ἐσκόπει ἢ ἔβλεπε πρὸς τὴν ἡδονὴν τῶν παρόντων, ἀλλὰ δὲν ἐπετύγχανε τούτου. Κατὰ τὴν γνώμην τοῦ φιλοσόφου ἦτο κακὸς κόλαξ.

6. Ἐν τῇ ἀρχαιότητι κατὰ τὸ πλεῖζον οἱ ποιηταὶ ᾖδον τὰ ἑαυτῶν ποιήματα· ἦσαν δὲ καὶ μουσικοί.

7. Ὁ συλλογισμὸς ἠδύνατο νὰ φανῇ ὡς ἐσπευσμένος, ἅτε στηριζόμενος ἐπὶ τῆς προσωπικῆς ἀξιότητος· δηλ. ἂν ὁ Μέλης ἦναι κακὸς κιθαρῳδός, ἠδύνατό τις νὰ εἴπῃ, ὅτι ὑπάρχουσιν ἄλλοι ἀγαθοί. Ἀλλὰ δὲν ἔχει οὕτως, ὡς νομίζομεν, διότι ἡ ἀποτυχία τοῦ Μέλητος λέγεται ὡς ἐν παρόδῳ, ὁ δὲ συλλογισμὸς στηρίζεται ἐπὶ τῆς παρατηρήσεως, ὅτι ὁ Κινησίας καὶ ὁ Μέλης καὶ καθ' ὅλου οἱ κιθαρῳδοὶ δὲν ἀποβλέπουσιν εἰς τὸ βέλτιστον, ἀλλ' εἰς τὴν ἡδονήν.

8 Διὰ τῆς ἀντωνυμίας ταύτης δηλοῦται ἡ κοινὴ κρίσις περὶ τῆς τραγικῆς ποιήσεως.

9. Ἀντὶ νὰ εἴπῃ ἐπὶ τούτῳ, ὃ ἐσπούδακε δηλ. ποῖον νομίζει· ὅτι εἶναι τοῦτο, περὶ ὃ ἀσχολεῖται; Ἰσοδυναμεῖ πρὸς τὴν φράσιν, ὡς λέγει ὁ Stallbaum, τοῦτο τί ποτ' ἐστι; Διὰ τῆς φράσεως ταύτης ἐρωτᾷ γενικῶς περὶ τοῦ σκοποῦ τῆς τραγῳδίας, ὡς ἀναπτύσσει διὰ τῆς ἑπομένης ἐρωτήσεως. Ἐκ τῆς ἡγουμένης προτάσεως ἐννοεῖται τὸ δοκεῖ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρημα καὶ ἡ σπουδή, ὡς σοὶ δοκεῖ,[1] χαρίζεσθαι τοῖς θεαταῖς μόνον, ἢ καὶ διαμάχεσθαι,[2] ἐάν[3] τι αὐτοῖς ἡδὺ μὲν ᾖ καὶ κεχαρισμένον, πονηρὸν δέ, ὅπως τοῦτο μὲν μὴ ἐρεῖ, εἰ δέ τι τυγχάνει ἀηδὲς[4] καὶ ὠφέλιμον, τοῦτο δὲ καὶ λέξει καὶ ᾄσεται,[5] ἐάν τε

1. Εἰς τὴν παρενθετικὴν ταύτην πρότασιν προσέκρουσαν πολλοὶ κριτικοί, ἐξ ὧν ὁ Ast ἐπίστευεν, ὅτι πρέπει νὰ ἐξαλείψωμεν αὐτήν. Ὁ δὲ Heindorf νομίζει, ὅτι ὁ Πλάτων ἁπλούστερον ἠδύνατο νὰ γράψῃ, πότερον δοκεῖ σοι αὐτῆς τὸ ἐπιχείρημα καὶ ἡ σπουδὴ εἶναι; ἀντὶ τοῦ πότερόν ἐστιν. Κατὰ τὸν Kratz πρέπει νὰ ἀναγνωσθῇ ὡς σοὶ δοκέειν. Ἡμεῖς νομίζομεν, ὅτι τὸ χωρίον παρανοεῖται ὑπὸ τῶν ἑρμηνευτῶν. Δὲν ἔχει ἀνάγκην διορθώσεως, ἀλλ' ἀρκεῖ νὰ ἀναγνωσθῇ μετ' ἐμφάσεως, ὡς δεικνύει ἡ πρόταξις τῆς ἀντωνυμίας, δηλ. δὲν ἐρωτῶ, τίνα γνώμην ἔχουσιν οἱ ἄλλοι ἄνθρωποι περὶ τῆς τραγῳδίας (διότι οὗτοι, ὡς εἴρηται, θεωροῦσι ταύτην ὡς σεμνήν), ἀλλὰ σὺ τίνα γνώμην ἔχεις περὶ αὐτῆς. Ὅτι ὁ Σωκράτης ζητεῖ τὴν προσωπικὴν γνώμην τοῦ Καλλικλέους, μαρτυρεῖ ἡ συχνὴ ἐπανάληψις τοῦ δοκεῖν.

2. Μετεχειρίσθη τὸ ῥῆμα τοῦτο, διότι ὁ ἀγαθὸς τραγικὸς ἐν τοῖς χρόνοις τοῦ Εὐριπίδου ἔπρεπε νὰ ἀντιστῇ κατὰ τῆς ὁσημέραι φθειρομένης αἰσθήσεως τοῦ λαοῦ. Ἴσως ἠδύνατό τις νὰ εἴπῃ, ὅτι ὁ Εὐριπίδης δὲν διέφθειρε τὴν αἴσθησιν τοῦ ἀττικοῦ λαοῦ, ἀλλὰ δὲν εἶχε τὸ θάρρος νὰ ἀντιστῇ κατὰ τῆς διαφθορᾶς αὐτοῦ.

3. Ὁ διάφορος τύπος τῶν ὑποθετικῶν προτάσεων ἐάν—εἰδὲ μᾶλλον ποικιλίαν συντάξεως ἢ διαφορὰν ἐννοίας δεικνύει. Ἄξιον σημειώσεως, ὅτι μετὰ τὸ ἐὰν δὲν ἔθηκε τὸν μέν, ἀλλ' ἀπέφυγε τοῦτον ἕνεκα τοῦ ἑπομένου.

4. Ἡ γραφὴ τῶν χειρογράφων εἶναι ἀηδές, ἀνθ' ἧς ὁ Deuschle προῦτεινε νὰ γραφῇ ἀληθές, ὅπερ δὲν ἔγεινε δεκτὸν ὑπὸ τῶν νεωτέρων κριτικῶν. Τοὐναντίον ὁ Cron μετὰ ζήλου ἐπεχείρησε νὰ ὑποστηρίζῃ αὐτήν. Τὴν διόρθωσιν δὲν εὑρίσκομεν κακήν· διότι ὁ Πλατωνικὸς Σωκράτης δὲν ἀπαιτεῖ, ἵνα ὁ τραγικὸς ποιητὴς θηρεύῃ τὰ ἀηδῆ καὶ ὠφέλιμα, ἀλλὰ τὰ ἀληθῆ καὶ ὠφέλιμα. Καὶ τὰ ἀληθῆ δύνανται νὰ ἦναι ἡδέα καὶ μάλιστα τὰ κατ' ἐξοχὴν εἰς τοὺς νοῦν ἔχοντας θεατάς. Βεβαίως ἄλλο εἶναι τὸ ἀληθὲς τῆς ποιήσεως καὶ ἄλλο τῆς φιλοσοφίας. Τῆς γραφῆς τῶν χειρογράφων ὑποστηρικτὴς ἠγέρθη ὁ Keck, ὅστις ὅμως δὲν ἠδυνήθη νὰ ἄρῃ τὴν δυσκολίαν, ὅτι κατὰ τὴν γραφὴν ἔπρεπε νὰ εἴπῃ ἀηδὲς μέν, ὠφέλιμον δέ. Ἀλλ' ὁ Schmidt μόλις ἀνεκάλυψεν ὅμοιόν τι παρὰ Σοφοκλ. ἐν Οἰδίποδ. τύραννν. 160 καὶ Κικέρ. 121 off. II, 20.

5. Τὸ μὲν λέξει ἀναφέρεται εἰς τὸ διαλογικὸν μέρος τοῦ δράματος, τὸ δὲ ᾄσεται εἰς τὸ χορικόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χαίρωσιν ἐάν τε μή[1]; ποτέρως σοι δοκεῖ παρεσκευάσθαι ἡ τῶν τραγῳδιῶν ποίησις;

ΚΑΛ. Δῆλον δή τοῦτό γε, ὦ Σώκρατες, ὅτι πρὸς τὴν ἡδονὴν μᾶλλον ὥρμηται καὶ τὸ χαρίζεσθαι τοῖς θεαταῖς[2]. C

ΣΩ. Οὐκοῦν τὸ τοιοῦτον, ὦ Καλλίκλεις, ἔφαμεν νῦν δὴ κολακείαν εἶναι;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Φέρε δή, εἴ τις περιέλοιτο[3] τῆς ποιήσεως πάσης τό τε μέλος καὶ τὸν ῥυθμὸν καὶ τὸ μέτρον,[4] ἄλλο τι ἢ λόγοι γίγνονται[5] τὸ λειπόμενον;

1. Διὰ τῶν ἐάν—ἐάν θέλει νὰ δείξῃ τὴν ἀδιαφορίαν τοῦ τραγικοῦ.

2. Ἡ ἀπόκρισις αὕτη ἁρμόζει εἰς τὸ στόμα τοῦ Καλλικλέους τὴν ἡδονὴν πανταχοῦ θηρεύοντος. Ἀλλὰ καὶ ὁ Πλάτων δέχεται τὴν τοιαύτην γνώμην περὶ τραγῳδίας, ὅπερ παράδοξον. Ἴσως ὁ Εὐριπίδης ἐθήρευε τὴν ἡδονὴν τῶν θεατῶν, ἀλλ' οὐχὶ καὶ ὁ Αἰσχύλος. Ὁ Kratz παρατηρεῖ, ὅτι ὁ Πλάτων καίπερ αἴσθησιν πρὸς τὸ καλὸν ἔχων ὅμως ὡς θεωρητικὸς παρεγνώριζε τὴν κυρίαν σημασίαν τοῦ καλοῦ, ὡς γίνεται δῆλον ἐκ τοῦ 474D, ἔνθα τὸ καλὸν μετὰ τοῦ ἀγαθοῦ (ὠφελίμου) ἢ τῆς ἡδονῆς ἢ μετ' ἀμφοτέρων ταὐτίζει. Ἡ κρίσις αὕτη εἶναι αὐστηροτέρα τοῦ δέοντος. Ὥρα Εἰσαγωγ. σελ. 63. Ἴσως δύναταί τις νὰ ἀντείπῃ κατὰ τοῦ Schiller, ὅστις ἐκ τῆς αἰσθητικῆς ἀνατροφῆς τῶν λαῶν περιμένει ἠθικὴν καὶ πολιτικὰς ἀρετάς, ἀλλ' ἤθελεν εἶναι αἰκτρόν, ἂν ἦτο δυνατὸν νὰ ἀποδιωχθῶσιν αἱ καλαὶ τέχναι, διότι τὸ ἀνθρώπινον γένος ἤθελε ταπεινωθῆ. Ἂν παράτινι λαῷ ὑπάρχωσι τάσεις πρὸς διαφθοράν, καὶ τῶν καλῶν τεχνῶν ἀποδιωκομένων, δι' ἄλλων ῥυάκων αὕτη θέλει εἰσρεύσει. Οὐχὶ αἱ καλαὶ τέχναι, ἀλλ' ὁ διεφθαρμένος τεχνίτης διαφθείρει, ὡς ὁ ἠθικὸς βελτιοῖ καὶ ἐξευγενίζει.

3. Ὁ Πλάτων τὴν μὲν ἰδέαν θεωρεῖ ὡς τὸν πυρῆνα, τὸ δὲ μέλος τὸν ῥυθμὸν καὶ τὸ μέτρον ὡς ἐξωτερικὰ καὶ περιαιρετά.

4. Ἀλλαχοῦ ὁ Πλάτων ἑρμηνεύει ἑαυτόν, ἐν Πολιτ. III, 398, Δ. «Τὸ μέλος ἐκ τριῶν ἐστι συγκείμενον, λόγου τε καὶ ἁρμονίας καὶ ῥυθμοῦ.» Ἐν δὲ τοῖς Νόμοις, II, 669, D, διαστέλλει τὸν ῥυθμὸν τῆς ἁρμονίας· «Τῇ δὲ τῆς κινήσεως τάξει ῥυθμὸς ὄνομα εἴη· τῇ δ' αὖ τῆς φωνῆς, τοῦ τε ὀξέος καὶ βαρέος συγκεραννυμένων ἁρμονίας ὄνομα προσαγορεύοιτο.»

5. Ὁ ἀριθμὸς τοῦ ῥήματος συνεφώνησε πρὸς τὸ κατηγορούμενον, ὡς καὶ ἐν Μένωνι, 91, C. «Οὗτοι φανερά ἐστι λώβη τε καὶ διαφθορὰ τῶν συγγιγνομένων».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΛ. Ἀνάγκη.

ΣΩ. Οὐκοῦν πρὸς πολὺν ὄχλον καὶ δῆμον[1] οὗτοι λέγονται οἱ λόγοι;

ΚΑΛ. Φημί.

D ΣΩ. Δημηγορία[2] ἄρα τίς ἐστιν ἡ ποιητική.

ΚΑΛ. Φαίνεται.[3]

ΣΩ. Οὐκοῦν ῥητορικὴ[4] δημηγορία ἂν εἴη·[5] ἢ οὐ ῥητορεύειν δοκοῦσί σοι οἱ ποιηταὶ[6] ἐν τοῖς θεάτροις;

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Νῦν ἄρα ἡμεῖς εὑρήκαμεν ῥητορικήν τινα πρὸς δῆμον τοιοῦτον οἷον παίδων τε ὁμοῦ καὶ γυναικῶν[7] καὶ ἀνδρῶν, καὶ

1. Ὄχλον καὶ δῆμον ὀνομάζει τοὺς συνηθροισμένους ἐν τοῖς ἀγῶσι καὶ τῷ θεάτρῳ Ὄχλος καὶ δῆμος κεῖνται μὲν ἐνταῦθα ἄνευ διαφορᾶς σημασίας, ὅμως διὰ τῆς λέξεως δῆμος γίνεται μετάβασις εἰς τὸν λόγον τῶν πολιτικῶν συνόδων.

2. Ἐνταῦθα δὲν μεταχειρίζεται τὴν λεξιν ἐπὶ κακῆς σημασίας

3. Ὁ Cron νομίζει, ὅτι ὁ Καλλικλῆς προθύμως ὁμολογεῖ, διότι, ὡς λέγει, οἱ τεχνῖται τοῦ λόγου ἡδέως ἐπαινοῦσι τὴν ἑαυτῶν τέχνην ὡς καθολικήν, κεφ. XI. Ἡ παρατήρησις αὕτη ἤθελεν ἔχει μεῖζον κῦρος, ἂν ὁ Καλλικλῆς ἔπραττε τοῦτο ἀλλαχοῦ. Διότι ἐνταῦθα δὲν ἀντικρούει τὸν Σωκράτη, ἵνα οἱ λόγοι ταχέως περανθῶσιν.

4. Κατὰ τὴν κοινὴν γραφὴν ἦτο ἡ ῥητορική. Ἐπειδὴ ὅμως τὸ ὑποκείμενον, ἡ ποιητική, λαμβάνεται ἐκ τῶν ἡγουμένων, ἕκαστος ἐννοεῖ, ὅτι τὸ ἄρθρον πρέπει νὰ λείπῃ, ὅπερ ὁ ἀρχαῖος ἐκεῖνος Heindorf παρετήρησεν. Ὁ Schmidt νομίζει, ὅτι πρέπει νὰ ἐξαλείψωμεν καὶ τὴν λέξιν δημηγορία, διότι τὸ ἐπίθετον ῥητορικὴ οὐδὲν προστίθησιν εἰς τὸ οὐσιαστικόν. Ἀλλά, ὡς νομίζομεν, τὸ δημηγορία εἶναι γένος περιλαμβάνον τὰ εἴδη, τὴν ποιητικὴν καὶ τὴν ῥητορικὴν δημηγορίαν. Ὅτι δ' ἡ φράσις ἔχει ὑγιῶς, μαρτυρεῖ καὶ ἡ ἑπομένη φράσις, εὑρήκαμεν ῥητορικήν τινα πρὸς δῆμον.

5. Μετεχειρίσθη τὴν εὐκτικὴν ἀντὶ τῆς ὁριστικῆς, ὡς συνήθως οἱ ἀττικοὶ συγγραφεῖς, ὅπως ἀποφύγωσι τὸ ἐγωϊστικὸν τῆς κατηγορηματικῆς ἐκφράσεως.

6. Τοῦτο ἠδύνατο οὐχὶ ἀτόπως νὰ λεχθῇ περὶ τοῦ Εὐριπίδου.

7. Ἐν τῇ ἱστορίᾳ τῆς διδασκαλίας τοῦ ἀρχαίου δράματος εἶναι ζήτημα, ἂν γυναῖκες ἠδύναντο νὰ θεῶνται ἐν τῷ θεάτρῳ. Ἐκ τοῦ χωρίου τούτου τοῦ Πλάτωνος, ὅπερ εἶναι τὸ σπουδαιότερον ἐν τῷ προκειμένῳ ζητήματι, γίνεται δῆλον, ὅτι ἐν τῷ θεάτρῳ ἦσαν πα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δούλων καὶ ἐλευθέρων, ἣν οὐ πάνυ ἀγάμεθα· κολακικὴν γὰρ αὐτήν φαμεν εἶναι.

ΚΑΛ. Πάνυ γε.

LVIII. ΣΩ. Εἶεν·[1] τί δὲ ἡ πρὸς τὸν Ἀθηναίων δῆμον ῥητορικὴ καὶ τοὺς ἄλλους τοὺς ἐν ταῖς πόλεσι[2] δήμους τοὺς τῶν ἐλευθέρων[3] ἀνδρῶν, τί ποτε ἡμῖν αὕτη[4] ἐστί; πότερόν σοι δοκοῦσι πρὸς τὸ βέλτιστον ἀεὶ λέγειν οἱ ῥήτορες, τούτου στοχαζόμενοι, ὅπως οἱ πολῖται ὡς βέλτιστοι ἔσονται διὰ τοὺς αὑτῶν λόγους, ἢ καὶ οὗτοι[5] πρὸς τὸ χαρίζεσθαι[6] τοῖς πολίταις ὡρμημένοι, καὶ ἕνεκα τοῦ ἰδίου τοῦ αὑτῶν ὀλιγωροῦντες τοῦ κοινοῦ, ὥσπερ παισὶ προσομιλοῦσι τοῖς δήμοις, χαρίζεσθαι αὐτοῖς πειρώμενοι μόνον, εἰ δέ

ροῦσαι καὶ γυναῖκες. Παράβαλλ. Νομ. II, 685 καὶ VII, 717 C. καὶ Ἀριστοφάν. ἐν Βατράχ. 1078. Ἐν τῇ ἀρχαίᾳ ὅμως κωμῳδίᾳ ἡ παρουσία ἐντίμων τοὐλάχιστον γυναικῶν μένει ἀμφίβολος. Ὡσαύτως καὶ ἡ παρουσία δούλων φαίνεται, ὅτι δὲν ἦτο ἄνευ περιορισμοῦ.

1. Ἐνταῦθα λήγουσιν αἱ προτάσεις ἢ τὰ δεδομένα, ἐφ' ὧν ὁ φιλόσοφος θέλει νὰ στηρίξῃ τὸν συλλογισμὸν αὐτοῦ.

2. Ἡ πόλις ἐνταῦθα ἐτέθη ὑπὸ πολιτικὴν σημασίαν, ὡς καὶ παρὰ Σοφοκλεῖ ἐν Ἀντιγόν. 737. «Πόλις γὰρ οὐκ ἔσθ' ἥτις ἀνδρὸς ἔσθ' ἑνός.»

3. Τοῦτο πρέπει νὰ ληφθῇ εἰρωνικῶς κατὰ τὸν Cron, διότι οἱ τοιοῦτοι εἶναι δοῦλοι, ὡς καὶ αὐτὸς ὁ Καλλικλῆς ἐν τοῖς ἔμπροσθεν εἶπεν, 489, C. «Ἢ εἶειμελέγειν, ἐὰν συρφετὸς συλλεγῇ δούλων καὶ παντοδαπῶν ἀνθρώπων μηδενὸς ἀξίων πλὴν ἴσως τῷ σώματι ἰσχυρίσασθαι, καὶ οὗτοι φῶσιν, αὐτὰ ταῦτα εἶναι νόμιμα;» Ἐν τοῖς χρόνοις τοῦ Δημοσθένους ὄντως ὁ δῆμος ἦτο τοιοῦτος, Ὀλυνθ. III, 30. «Τὸ μὲν πρῶτον καὶ στρατεύεσθαι τολμῶν αὐτὸς ὁ δῆμος δεσπότης τῶν πολιτευομένων ἦν καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν—νῦν δὲ τοὐναντίον κύριοι μὲν οἱ πολιτευόμενοι τῶν ἀγαθῶν καὶ διὰ τούτων ἅπαντα πράττεται, ὑμεῖς δ' ὁ δῆμος—ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε.»

4. Εἶναι ἡ ῥητορική, ἣν πρὸ ὀλίγου ὠνόμασε· τούτου ἕνεκεν κεῖται πλεοναστικῶς.

5. Δηλαδὴ ὡς οἱ ποιηταί, ὅπερ ὡμολόγησεν ὁ Καλλικλῆς.

6. Ὁ Δημοσθένης εἶναι μεστὸς τοιούτων μομφῶν, ὅτι οἱ ῥήτορες ἀγορεύουσιν, ἵνα εἰς τὸν δῆμον τῶν Ἀθηναίων ἀρεστοὶ γένωνται. Ὁ δὲ Ἰσοκράτης λέγει ἐν τῷ περὶ Εἰρήνης, 5. «Καὶ γάρ τοι πεπο·ήκατε τοὺς ῥήτορος μελετᾶν καὶ φιλοσοφεῖν οὐ τὰ μέλλοντα τῇ πόλει συνοίσειν, ἀλλ' ὅπως ἀρέσκοντας ὑμῖν λόγους ἐροῦσιν»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

503 γε βελτίους ἔσονται ἢ χείρους διὰ ταῦτα οὐδὲν φροντίζουσιν;

ΚΑΛ. Οὐχ ἁπλοῦν ἔτι τοῦτο ἐρωτᾷς·[1] εἰσὶ μὲν γὰρ οἳ κηδόμενοι τῶν πολιτῶν λεγουσιν ἃ λέγουσιν, εἰσὶ δὲ καὶ οἵους σὺ λέγεις.

ΣΩ. Ἐξαρκεῖ. εἰ γὰρ καὶ τοῦτό ἐστι διπλοῦν, τὸ μὲν ἕτερόν που τούτου κολακεία ἂν εἴη καὶ αἰσχρὰ δημηγορία, τὸ δ' ἕτερον καλόν,[2] τὸ παρασκευάζειν, ὅπως ὡς βέλτισται ἔσονται τῶν πολιτῶν αἱ ψυχαί, καὶ διαμάχεσθαι λέγοντα τὰ βέλτιστα, εἴτε ἡδίω
B εἴτε ἀηδέστερα ἔσται τοῖς ἀκούουσιν.[3] ἀλλ' οὐ πώποτε σὺ ταύτην εἶδες[4] τὴν ῥητορικήν. ἢ εἴ τινα ἔχεις τῶν ῥητόρων τοιοῦτον εἰπεῖν, τί οὐχὶ καὶ ἐμοὶ αὐτὸν ἔφρασας[5] τίς ἐστιν;

ΚΑΛ. Ἀλλὰ μὰ Δι' οὐκ ἔχω ἔγωγέ σοι εἰπεῖν τῶν γε νῦν ῥητόρων οὐδένα.[6]

ΣΩ. Τί δέ; τῶν παλαιῶν ἔχεις τινὰ εἰπεῖν, δι' ὅντινα αἰτίαν ἔχουσιν[7] Ἀθηναῖοι βελτίους γεγονέναι, ἐπειδὴ ἐκεῖνος ἤρξατο δη-

1. Εἶναι σύμπτυξις δύο προτάσεων· ἀντὶ νὰ εἴπῃ, οὐκέτι ἁπλοῦν ἐστι τοῦτο, ὁ ἐρωτᾷς, δηλ. ἡ ἐρώτησις ἔχει ἀνάγκην διπλῆς ἀποκρίσεως. Ὅτε ὁ λόγος ἦτο περὶ ἄλλων τάξεων, ὁ Καλλικλῆς μετά τινος εὐκολίας ἀπεκρίνετο, ὅτε ὅμως ὁ Σωκράτης ἔφθασεν εἰς τοὺς ῥήτορας, ὁ ῥήτωρ ἤρξατο νὰ σκέπτηται.

5. Ὁ Stephanus διώρθου τὸ ῥῆμα εἰς ἀδικηθῶμεν, ἀπιδών, ὡς φαίνεται, εἰς τὰ ἑπόμενα. Ἀλλ ὀρθῶς παρατηρεῖ ὁ Stallbanm, ὅτι ἡ ἔννοια αὕτη ἀναφέρεται εἰς τὰ προηγούμενα. Ἐν τοῖς ἑπομένοις μεταβαίνει εἰς τὴν τέχνην τοῦ μὴ ἀδικεῖσθαι. Τὰ χειρόγραφα ἔχουσιν ὑποτακτικήν, ἣν διατηροῦσιν ὁ Stallbaum καὶ ὁ Cron, ἐν ᾧ οἱ πλεῖστοι τῶν ἐκδοτῶν κατὰ τὸν Heindorf τρέπουσιν εἰς μέλλοντα τῆς ὁριστικῆς.

6. Ὡς οἷόν τε ἐλάχιστα, δηλαδὴ τὸ ἄριστον εἶναι τὸ νὰ μὴ ἀδικηθῇ τις κατ' οὐδέν, ἂν ὅμως τοῦτο δὲν ἦναι ἐφικτόν, ὅσον τὸ δυνατὸν ὀλιγώτερον.

7. Ἡ κοινὴ γραφὴ ἦτο ἥπερ, τὴν δὲ γραφὴν ὀρθῶς ποιῶν ἀπεδοκίμασεν ὁ Stallbaum. Ἀνάλογα χωρία ὑπάρχουσι πολλά, ὡς ἐν Πρωταγόρ. 310, B. «Εἴ σοι συνδοκεῖ ὅπερ ἐμοί,» καὶ ἐν Φαίδωνι, 64, C. «Ἐὰν ἄρα καὶ σοὶ συνδοκῇ ἅπερ ἐμοί.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ δοκεῖ ἥδε· ἢ αὐτὸν ἄρχειν[1] δεῖν ἐν τῇ πόλει ἢ καὶ τυραννεῖν, ἢ τῆς ὑπαρχούσης πολιτείας ἑταῖρον[2] εἶναι.

ΚΑΛ. Ὁρᾷς,[3] ὦ Σώκρατες, ὡς ἐγὼ ἕτοιμός εἰμι ἐπαινεῖν, ἄν τι καλῶς λέγῃς; τοῦτό μοι δοκεῖς πάνυ καλῶς εἰρηκέναι. B

LXVI. ΣΩ. Σκόπει δὴ καὶ τόδε ἐάν σοι δοκῶ εὖ λέγειν. φίλος μοι δοκεῖ ἕκαστος ἑκάστῳ[4] εἶναι ὡς οἷόν τε μάλιστα, ὃν περ οἱ παλαιοί τε[5] καὶ σοφοὶ λέγουσιν, ὁ ὅμοιος τῷ ὁμοίῳ.[6] οὐ καὶ σοί;

ΚΑΛ. Ἔμοιγε.

ΣΩ. Οὐκοῦν ὅπου τύραννός ἐστιν ἄρχων ἄγριος καὶ ἀπαίδευτος[7], εἴ τις τούτου[8] ἐν τῇ πόλει πολὺ βελτίων εἴη, φο-

1. Τὸ ἀπαρέμφατον τοῦτο ἐξαρτᾶται ἐκ τοῦ δοκεῖ.

2. Ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου ἐν Ἀθήναις ὑπῆρχον πλεῖσται ἑταιρεῖαι χάριν πολιτικῶν σκοπῶν. Τὸ ὄνομα ἑταῖρος ὑπομιμνήσκει τὰς ἑταιρείας ἐκείνας. Ἂν δὲ οἱ ἑταῖροι πολίτου τινὸς κατεῖχον τὴν ἐξουσίαν, οὗτος οὐδένα διέτρεχε κίνδυνον νὰ ἀδικηθῇ, ἀλλὰ τοὐναντίον ὠφελεῖτο. Ὑπὸ τὴν ἔποψιν ταύτην οἱ πολιτικοὶ ἐκεῖνοι ἑταῖροι δύνανται νὰ παραβληθῶσι πρὸς τοὺς παρ' ἡμῖν ἀνθρώπους τῶν κομμάτων.

3. Οὐδεμία ἀμφιβολία ὑπάρχει, ὅτι ἐπὶ τοῦ προσώπου τοῦ Καλλικλέους ἐπεχύθη χαρά, ὅτε ἤκουσε περὶ τυραννίας καὶ μετοχῆς τῆς πολιτείας, ἅπερ ἦσαν τὰ αἰώνια τούτου τοῦ πολιτικοῦ ὄνειρα. Ὁμοίως ἐχάρη ὁ Πῶλος, ὅτε ἤκουσε πράγματα ἀρέσκοντα αὐτῷ, 475. A.

4. Ταῦτα λέγονται ἀορίστως ὡς καὶ τὸ ἄλλος ἄλλῳ, ὁρίζονται δὲ ἀκριβέστερον διὰ τοῦ τοῦ ὁ ὅμοιος τῷ ὁμοίῳ.

5. Τὴν παροιμίαν ἀρχαῖοι καὶ νεώτεροι γινώσκουσιν. Ὁ Ὅμηρος ἤδη ἔλεγεν ἐν Ὀδυσ. Ρ. 218. «Ὡς ἀεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.» Ὁ δὲ Πλάτων κατὰ πολλοὺς καὶ ποικίλους τρόπους ἐξέφρασε τὴν παροιμίαν, ὡς ἐν Συμπ. 195, B. «Ὁ γὰρ παλαιὸς λόγος εὖ ἔχει, ὡς ὅμοιον ὁμοίῳ ἀεὶ πελάζει.» ἐν Φαίδρ. 240. C. «Ἥλικα γὰρ καὶ ὁ παλαιὸς λόγος τέρπειν τὸν ἥλικα.» Καὶ ὁ Κικέρων ἐν τῷ De senectute, 3, 7. «Pares cum paribus, veteri proverbio, facillime congregantur.»

6. Ἡ τάξις τῶν λέξεων κατὰ τὸν Stallbaum εἶναι αὕτη· Ὁ ὅμοιος τῷ ὁμοίῳ, ὅνπερ οἱ παλαιοί τε καὶ σοφοὶ λέγουσι, δοκεῖ μοι ὡς οἷόν τε μάλιστα φίλος εἶναι ἕκαστος ἑκάστῳ.

7. Τὰ δύο ταῦτα ἐπίθετα προσδιορίζουσι τὴν λέξιν τύραννος. Ὁ Σωκράτης ἀπέδιδε μεγάλην σπουδαιότητα εἰς τὴν ἀληθῆ παιδείαν, τοὺς δὲ ἀδικοῦντας, ἐν οἷς καὶ οἱ τύραννοι, ἐθεώρει ὡς ἀμαθεῖς.

8. Ἀποδίδοται εἰς τὸν τύραννον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βοῖτο[1] δήπου ἂν αὐτὸν ὁ τύραννος καὶ τούτῳ[2] ἐξάπαντος τοῦ νοῦ
C οὐκ ἄν ποτε δύναιτο φίλος γενέσθαι;

ΚΑΛ. Ἔστι ταῦτα.

ΣΩ. Οὐδέ γε εἴτις πολὺ φαυλότερος[3] εἴη, οὐδ'[4] ἂν οὗτος· καταφρονοῖ γὰρ ἂν αὐτοῦ ὁ τύραννος καὶ οὐκ ἄν ποτε ὡς πρὸς φίλον σπουδάσειεν.

ΚΑΛ. Καὶ ταῦτ' ἀληθῆ.

ΣΩ. Λείπεται δὴ ἐκεῖνος μόνος ἄξιος λόγου φίλος τῷ τοιούτῳ,[5] ὃς ἂν ὁμοήθης ὢν, ταὐτὰ ψέγων καὶ ἐπαινῶν,[6] ἐθέλῃ ἄρχεσθαι καὶ ὑποκεῖσθαι[7] τῷ ἄρχοντι. οὗτος μέγα ἐν ταύτῃ[8] τῇ πόλει δυ-
D νήσεται, τοῦτον[9] οὐδεὶς χαίρων[10] ἀδικήσει. οὐχ οὕτως ἔχει;

ΚΑΛ. Ναί.

1. Ἡ συχνὴ ἀλλαγὴ τοῦ ὑποκειμένου εὑρίσκεται οὐ μόνον παρ' Ὁμήρῳ, ἀλλ' ἐνίοτε παρὰ τοῖς Ἀττικοῖς, κατ' ἐξοχὴν δὲ παρὰ τῷ Ξενοφῶντι.

2. Ἀναφέρεται εἰς τὸν τύραννον, διότι τὸ ὑποκείμενον τοῦ δύναιτο εἶναι ὁ βελτίων. Τὸ ἐξ ἅπαντος τοῦ νοῦ σημαίνει, ὅ τι παρ' ἡμῖν τὸ ἐξ ὅλης, ψυχῆς ἐξ ὅλης καρδίας.

3. Ὁ δεύτερος ὅρος τῆς συγκρίσεως ἐννοεῖται τοῦ τυράννου

4. Τὸ μὲν πρῶτον οὐδὲ συνδέει τὴν πρότασιν ταύτην μετὰ τῆς προηγουμένης, τοῦτο δὲ ἀναφέρεται μόνον εἰς τὴν οὗτος, ὡς καὶ ἐν Φαίδρ. 278. Ε. «Οὐδὲ γὰρ οὐδὲ τὸν σὸν ἑταῖρον δεῖ παρελθεῖν.» Παράβαλλ. Πρωταγόρ. 332. Α.

5. Δηλαδὴ τῷ τυράννῳ

6. Αἱ δύο αὗται μετοχαὶ εἶναι ἐπεξήγησις τοῦ ὁμοήθης ὤν· τὸ ταὐτὰ ψέγειν καὶ ἐπαινεῖν καὶ τὸ τοῖς αὐτοῖς ἄχθεσθαι εἶναι ἐξωτερικὰ σημεῖα τῆς φιλίας. Ὅμοια λέγει ὁ Σαλούστιος, 20, 4. «Idem velle atque idem nolle, ea demum firma amicitia est.»

7. Τὸ ὑποκεῖσθαι ἰσοδυναμεῖ πρὸς τὸ ὑποτεθεῖσθαι καὶ σημαίνει ὑπακούειν. Ἐξελέξατο τὸ ῥῆμα τοῦτο, ὅπως ἐξάρῃ τὴν ταπείνωσιν ἐλευθέρου ἀνδρός.

8. Περὶ ἧς ἐγένετο λόγος ἐν τοῖς ἔμπροσθεν· «Εἴ τις τούτου ἐν τῇ πόλει πολὺ βελτίων εἴη.»

9. Ὁ Κοραῆς εἴκαζεν, ὅτι πρέπει νὰ γράψωμεν καὶ τοῦτον, ἀλλὰ τὸ ἀσύνδετον μετὰ τῆς ἀναφορᾶς καθίστησι τὸν λόγον σπουδαιότερον, δηλαδὴ ἐπιδεικνύεται φοβερώτερον ἡ τύχη ἐκείνου, ὅστις ἤθελεν ἀδικήσει τὸν φίλον τοῦ τυράννου.

10. Ἡ μετοχὴ αὕτη δεικνύει τὰς συνεπείας πράξεώς τινος καὶ τίθεται μετὰ ἀρνήσεως, ὡς Ἀριστοφ, ἐν Ἀχαρν. 563. «Ἀλλ' οὔτι χαίρων ταῦτα τολμήσει λέγειν.» καὶ Σφηξί, 186. «Οὔτις μὰ τὸν Δι'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Εἰ ἄρα τις ἐννοήσειεν[1] ἐν ταύτῃ τῇ πόλει τῶν νέων[2] τίνα[3] ἂν τρόπον ἐγὼ μέγα δυναίμην καὶ μηδεὶς με ἀδικοίη, ἡ αὐτή,[4] ὡς ἔοικεν, αὐτῷ ὁδός ἐστιν, εὐθὺς ἐκ νέου[5] ἐθίζειν αὐτὸν τοῖς αὐτοῖς χαίρειν καὶ ἄχθεσθαι τῷ δεσπότῃ, καὶ παρασκευάζειν[6] ὅπως ὅ τι μάλιστα ὅμοιος ἔσται ἐκείνῳ. οὐχ οὕτως;

ΚΑΛ. Ναί.

ΣΩ. Οὐκοῦν τούτῳ τὸ μὲν μὴ ἀδικεῖσθαι καὶ μέγα δύνασθαι, Ε
ὡς ὁ ὑμέτερος[7] λόγος, ἐν τῇ πόλει διαπεπράξεται;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἆρ' οὖν καὶ τὸ μὴ ἀδικεῖν;[8] ἢ πολλοῦ δεῖ, εἴπερ ὅμοιος ἔσται τῷ ἄρχοντι ὄντι ἀδίκῳ καὶ παρὰ τούτῳ μέγα δυνήσεται; ἀλλ' οἶμαι ἔγωγε, πᾶν τοὐναντίον οὑτωσὶ ἡ παρασκευὴ ἔσται αὐτῷ ἐπὶ[9] τῷ οἵῳ τε εἶναι ὡς πλεῖστα ἀδικεῖν καὶ ἀδικοῦντα[10] μὴ διδόναι δίκην· ἦ γάρ;

οὐτι χαιρήσων γε σύ.» Σημαίνει δὲ ἀτιμωρητεί.

1. Τὸ ἐννοῶ ἐνταῦθα σημαίνει θέτω κατὰ νοῦν.

2. Εἶναι γενικὴ διαιρετικὴ τοῦ τίς. Ὁ φιλόσοφος δεικνύει, ὅτι ὁ θέλων νὰ μὴ ἀδικηθῇ πρέπει νὰ γείνῃ δοῦλος καὶ νὰ γείνῃ τοιοῦτος ἐκ νεανικῆς ἡλικίας. Ταῦτα ποιοῦσιν ἀντίθεσιν πρὸς τὰ ὑπὸ τοῦ Καλλικλέους εἰρημένα ἐν 486 Β.

3 Ἐν ᾧ ἔπρεπε νὰ ἦνται πλαγία ἐρώτησις, ἔτρεψε ταύτην εἰς εὐθεῖαν, ἵνα καταστήσῃ τὸν λόγον ζωηρόν.

4 Ἡ ἀπόδοσις λείπει, ἀλλ' εὐκόλως δύναται νὰ νοηθῇ, εὕροι ἄν ὅτι ἢ γνώη ἄν ὅτι

5. Ὡς φαίνεται, ὁ Σωκράτης παρῳδεῖ τὸν Καλλικλέα εἰπόντα, 483, Ε. «Ἐκ νέων λαμβάνοντες, ὥσπερ λέοντας κατεπᾴδοντές τε καὶ γοητεύοντες καταδουλούμεθα . . . »

6. Ἐνταῦθα ἐννοητέον τὸ αὐτὸν ἐκ τῶν ἡγουμένων, διότι τὸ ῥῆμα τοῦτο συνήθως δέχεται τὴν αὐτοπαθῆ ἀντωνυμίαν, ὡς ἐν τῇ Ἀπολογ. 39, D. «Ἀλλ' ἑαυτὸν παρασκευάζειν ὅπως ἔστι ὡς βέλτιστος.» Παράβαλ. καὶ Φαίδων, 67, D.

7. Δηλαδὴ τοῦ Πώλου καὶ τοῦ Καλλικλέους. Τὴν ἰδέαν ταύτην εἶπεν ὁ Πῶλος ἐν 466, Β καὶ ἐδέξατο ὁ Καλλικλῆς. Διὰ τοῦτο κακῶς ὁ Ficinus ἀνεγίνωσκεν ἡμέτερος.

8. Ἐννοεῖται ἐκ τῶν ἡγουμένων τό, αὐτῷ διαπεπράξεται. Ἡ φράσις αὕτη ποιεῖ ἀντίθεσιν πρὸς τό, τὸ μὲν μὴ ἀδικεῖσθαι. Κατ' ἔννοιαν ἰσοδυναμεῖ πρὸς τό, τὸ δὲ μὴ ἀδικεῖν οὐ διαπεπράξεται.

9 Ἡ ἐπὶ πρόθεσις ἀνήκει εἰς τὸ ἀπαρέμφατον καὶ σημαίνει τὸν σκοπόν.

10. Δὲν εἶναι σπάνια τὰ παραδείγματα, καθ' ἃ μετὰ τὴν δοτι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΛ. Φαίνεται.

511 ΣΩ. Οὐκοῦν τὸ μέγιστον αὐτῷ κακὸν ὑπάρξει μοχθηρῷ ὄντι τὴν ψυχὴν καὶ λελωβημένῳ διὰ τὴν μίμησιν τοῦ δεσπότου καὶ δύναμιν.[1]

ΚΑΛ. Οὐκ οἶδ' ὅπῃ στρέφεις[2] ἑκάστοτε τοὺς λόγους ἄνω καὶ κάτω,[3] ὦ Σώκρατες· ἢ οὐκ οἶσθα ὅτι οὗτος ὁ μιμούμενος[4] τὸν μὴ μιμούμενον ἐκεῖνον ἀποκτενεῖ, ἐὰν βούληται,[5] καὶ ἀφαιρήσεται τὰ ὄντα;

ΣΩ. Οἶδα, ὦ γαθὲ Καλλίκλεις, εἰ μὴ κωφός γ' εἰμί,[6] καὶ
B σοῦ[7] ἀκούων καὶ Πώλου ἄρτι πολλάκις καὶ τῶν ἄλλων ὀλίγου πάντων[8] τῶν ἐν τῇ πόλει· ἀλλὰ καὶ σὺ ἐμοῦ ἄκουε, ὅτι ἀπο-

κὴν ἕπεται αἰτιατική, ὡς 492, B. «Ἐπεί γε οἷς ἐξ ἀρχῆς ὑπῆρξεν ἢ βασιλέων υἱέσιν εἶναι ἢ αὐτοὺς τῇ φύσει ἱκανοὺς ἐκπορίσασθαι ἀρχήν τινα.»

1. Ὁ Deuschle ἠθέτει τὴν φράσιν καὶ δύναμιν. Γεννᾶται τὸ ζήτημα, εἰς τίνα ἀνήκει ἡ δύναμις. Ὁ μὲν Stallbaum ἐννοεῖ τὴν τοῦ τυράννου, ἐφ' ἧς ἐρείδεται ὁ κόλαξ, ὁ δὲ Schleiermacher τὴν τοῦ κόλακος κατὰ τὴν προηγουμένην φράσιν καὶ παρὰ τούτῳ μέγα δυνήσεται. Καὶ ὁ Jahn δέχεται τὴν δύναμιν τοῦ κόλακος, ἀλλ' ἐννοεῖ τὴν διὰ τῆς μιμήσεως ἐπιτευχθεῖσαν. Πιθανώτερον ἴσως λέγει ὁ Keck, καθ' ὃν ὁ φίλος τοῦ τυράννου θέλει ἀποκτήσει τὴν θέλησιν καὶ τὴν δυναμιν τοῦ ἀδικεῖν. Κατὰ τοῦτον οὐδὲν ἠθέλομεν ζητεῖ, ἂν προσετίθετο ἡ φράσις τοῦ ἀδικεῖν κεκτῆσθαι.

2. Ἐν ἄλλαις λέξεσιν ὁ Καλλικλῆς ἀποδίδει εἰς τὸν Σωκράτη ἰδιότητα σοφιστοῦ ἢ ἐριστικοῦ ἀνθρώπου, ὡς λέγεται καὶ ἐν Εὐθυδήμῳ, 276, D. «Ὥσπερ οἱ ἀγαθοὶ ὀρχησταὶ διπλᾶ ἔστρεφε τὰ ἐρωτήματα περὶ αὐτοῦ.»

3. Ἡ φράσις τοῖς ἀρχαίοις ἦτο συνήθης καὶ τετριμμένη, Δημοσθέν. κατὰ Μειδ. 49. «Ἄνω καὶ κάτω τοὺς νόμους, τοὺς διαιτητάς, πάνθ' ὅσα ἂν βούληται, στρέφει». καὶ Πλάτ. ἐν Ἴωνι, 541, E. «Ἀτεχνῶς ὥσπερ ὁ Πρωτεύς, παντοδαπὸς γίγνῃ, στρεφόμενος ἄνω κάτω».

4. Δηλαδὴ τὸν δεσπότην, ὅστις ἔσται φίλος τοῦ μιμητοῦ, διότι οἱ δεσπόται ἐπιθυμοῦσι νὰ εὑρίσκωσι μιμητάς.

5. Ἡ διαστολή, ἣν ὁ Σωκράτης ἐποίησε τοῦ βούλεσθαι ἀπὸ τοῦ δοκεῖν, XXIII, δὲν ἐδίδαξε τὸν Καλλικλέα.

6. Ἂν τοῦτο δὲν ἐγνώριζον, ἠδύνατο νὰ ὑποτεθῇ, ὅτι εἶμαι κωφός. Τοῦτο λέγεται μετά τινος πικρίας.

7. Τοιαῦτα ὁ μὲν Καλλικλῆς ἔλεγεν ἐν 486, B, ὁ δὲ Πῶλος ἐν 466, B.

8. Οἱ Ἀθηναῖοι ἐπὶ τοῦ Πελο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κτενεῖ μέν, ἂν βούληται,[1] ἀλλὰ πονηρὸς ὢν καλὸν κἀγαθὸν ὄντα.[2]

ΚΑΛ. Οὐκοῦν τοῦτο δὴ καὶ τὸ ἀγανακτητόν;[3]

ΣΩ. Οὐ[4] νοῦν γε ἔχοντι, ὡς ὁ λόγος[5] σημαίνει. ἢ οἴει δεῖν τοῦτο παρασκευάζεσθαι ἄνθρωπον, ὡς πλεῖστον[6] χρόνον ζῇν, καὶ μελετᾶν τὰς τέχνας ταύτας, αἳ ἡμᾶς ἀεὶ ἐκ τῶν κινδύνων σώζουσιν,[7]

ποννησιακοῦ πολέμου ἦσαν διεφθαρμένοι καὶ οὐδὲν τὸ παράδοξον, ὅτι τοιαῦτα ἀπαίσια οὕτω δημοσίᾳ ἔλεγον, ὥστε μόνον οἱ κωφοὶ δὲν ἠδύναντο νὰ ἀκούσωσιν.

1. Δὲν ἐλέγχει ὁ Σωκράτης τὴν κακὴν χρῆσιν τοῦ βούλεσθαι, ἀλλ' ἀρκεῖται εἰς τὴν ἐλεγκτικὴν ἐπανάληψιν.

2. Τὸν λόγον τοῦ Σωκράτους ἑρμηνεύει ὁ παρὰ Πλουτάρχῳ κεφ. 20 λόγος τοῦ Ἄγιδος. «Ἄγις ἐπὶ τὴν στραγγάλην πορευόμενος, ὡς εἶδέ τινα τῶν ὑπηρετῶν δακρύοντα καὶ περιπαθοῦντά,—παῦσαί με, εἶπεν, ὦ ἄνθρωπε, κλαίων. καὶ γὰρ οὕτως παρανόμως καὶ ἀδίκως ἀπολλυόμενος κρείττων εἰμὶ τῶν ἀναιρούντων.»

3. Ὅτι ὁ ἀγαθὸς πάσχει ὑπὸ τοῦ πονηροῦ, τοῦτο δὲν ἀνακουφίζει τὸν πάσχοντα, ἀλλὰ μᾶλλον διεγείρει συνήθως τὴν ἀγανάκτησιν αὐτοῦ, ὅτι ὑπὸ τοιούτου πασχει. Ἐξαίρεσιν τούτου ποιοῦσιν οἱ φιλόσοφοι, οἷος ὁ Σωκράτης· ὁ Ξενοφῶν ἐν τῇ Ἀπολογ. 28, λέγει· «Ἀλλὰ τοῦτο ἔγωγε, ὦ Σώκρατες, χαλεπώτατα φέρω, ὅτι ὁρῶ σε ἀδίκως ἀποθνήσκοντα. Τὸν δὲ λέγεται καταψήσαντα αὐτοῦ τὴν κεφαλὴν εἰπεῖν, Σὺ δέ, ὦ φίλτατε Ἀπολλόδωρε, μᾶλλον ἂν ἐβούλου με ὁρᾶν δικαίως ἀποθνήσκοντα;» Δὲν γινώσκομεν, ἂν τις τὸ οὐκοῦν ἔτρεψεν εἰς οὔκουν, ἡμεῖς ὅμως εὐχαρίστως ἠθέλομεν τρέψει.

4. Ἡ ἄρνησις ἀνήκει εἰς τὸ ἐννοούμενον ἀγανακτητόν.

5. Σημαίνει τὴν συζήτησιν, ὡς πολλαχοῦ παρὰ Πλάτωνι. 472, C. «Οὐδὲν οἶμαι ἄξιον λόγου μοι πεπεράνθαι περὶ ὧν ἂν ἡμῖν ὁ λόγος ᾖ.»

6. Ὁ μὲν Καλλικλῆς ἀποδίδει μεγάλην ἀξίαν εἰς τὴν ῥητορικήν, διότι ἀποδίδει τοσαύτην καὶ εἰς τὸν βίον, ὁ δὲ Σωκράτης τὰ μέγιστα τιμῶν τὸ ἀθάνατον ἀνθρώπινον πνεῦμα δὲν θεωρεῖ ὡς τὸ μέγιστον ἀγαθὸν τὸν βίον, ὡς πολλαχοῦ ἐν τῇ Ἀπολογίᾳ λέγει 38, E. «Ἀλλ' οὔτε τότε ᾠήθην δεῖν ἕνεκα τοῦ κινδύνου πρᾶξαι οὐδὲν ἀνελεύθερον, οὔτε νῦν μοι μεταμέλει οὕτως ἀπολογησαμένῳ, ἀλλὰ πολὺ μᾶλλον αἱροῦμαι ὧδε ἀπολογησάμενος τεθνάναι ἢ ἐκείνως ζῆν».

7. Τὸ σώζειν, ἐλευθεροῦν, ἀπαλάττειν καὶ τὰ τοιαῦτα συντάσσονται μετὰ τῆς ἐκ ἢ ἀπὸ καὶ γενικῆς, ὡς Θουκυδ. II, 71. «Παυσανίας ἐλευθερώσας τὴν Ἑλλάδα ἀπὸ τῶν Μήδων.» Αἰσχύλ. ἐν Προμηθεῖ, 509.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὥσπερ καὶ ἣν σὺ κελεύεις ἐμὲ μελετᾶν τὴν ῥητορικὴν τὴν ἐν
C τοῖς δικαστηρίοις[1] διασώζουσαν;

ΚΑΛ. Ναὶ μὰ Δι' ὀρθῶς γέ σοι συμβουλεύων.[2]

LXVII. ΣΩ. Τί δέ, ὦ βέλτιστε; ἡ καὶ ἡ τοῦ νεῖν[3] ἐπιστήμη σεμνή τίς σοι δοκεῖ εἶναι;

ΚΑΛ. Μὰ Δι' οὐκ ἔμοιγε.

ΣΩ. Καὶ μὴν σώζει γε καὶ αὕτη ἐκ θανάτου τοὺς ἀνθρώπους, ὅταν εἰς τοιοῦτον[4] ἐμπέσωσιν, οὗ δεῖ ταύτης τῆς ἐπιστήμης. εἰ δ' αὕτη σοι δοκεῖ σμικρὰ εἶναι, ἐγώ σοι μείζονα ταύτης ἐρῶ, τὴν
D κυβερνητικήν, ἣ οὐ μόνον τὰς ψυχὰς[5] σώζει, ἀλλὰ καὶ τὰ σώματα καὶ τὰ χρήματα, ἐκ τῶν ἐσχάτων κινδύνων, ὥσπερ ἡ ῥητορική· καὶ αὕτη μὲν προσεσταλμένη[6] ἐστὶ καὶ κοσμία, καὶ οὐ

1. Ἐννοεῖ τὴν δικανικὴν ῥητορικὴν τὴν δυναμένην νὰ σώζῃ ἐν τοῖς δικαστηρίοις τοὺς κατηγορουμένους.

2. Ἡ μετοχὴ αὕτη ἀνήκει εἰς ῥῆμα ἐξακτέον ἐκ τῆς ἐρωτήσεως τοῦ Σωκράτους, δηλ. ταύτην κελεύω σε μελετᾶν. Ὁ Κοραῆς εἴκαζεν, ὅτι ἡ μετοχὴ πρέπει νὰ γραφῇ κελεύων. Ἡ εἰκασία αὕτη δὲν εἶναι ἀδόκιμος, ἀλλ' οὐχὶ καὶ ἀναγκαία. Σημειωτέον, ὅτι ἡ κοινὴ γραφὴ ἦτο συμβουλεύω.

3. Ἡ τοῦ νεῖν τέχνη καὶ ἡ ῥητορικὴ ἔχουσι τὸ κοινόν, ὅτι ἀμφότεραι σώζουσιν ἀνθρώπους. Ἡ παραβολὴ εἶναι προσηκόντως ἐκλελεγμένη, ὅπως ταπεινωθῇ ἡ ῥητορική.

4. Ἐνταῦθα ἐννοεῖται τὸ τί, ὅπερ παραλείπεται κατὰ τὸν Cron. Διὰ δὲ τοῦ τοιοῦτόν τι ἐννοεῖ θαλάσσιον κίνδυνον, ὡς ἐξάγεται ἐξ τοῦ σώζει ἐκ θανάτου. Κατὰ τὸν Kratz ὅμως πρέπει νὰ ἐννοήσωμεν τὸν θάνατον ἐν τῇ σημασίᾳ τοῦ κινδύνου θανάτου.

5. Ψυχὴ ἐνταῦθα σημαίνει τὴν ζωήν. Συγκεντρόνει δὲ πάντα, ἵνα ἐξάρῃ τὴν ἀξίαν τῆς κυβερνητικῆς, ὅπως ταύτην παραβάλῃ πρὸς τὴν ῥητορικήν. Ἄλλως κατὰ τὴν θρησκευτικὴν πεποίθησιν τῶν ἀρχαίων οἱ μὴ τυχόντες ταφῆς δὲν ἠδύναντο νὰ εἰσέλθωσιν εἰς τὸν Ἅδην. Τοιοῦτον κίνδυνον συνήθως διέτρεχον οἱ ἐν τῇ θαλάσσῃ θνήσκοντες.

6. Σημαίνει μετὰ σωφροσύνης καὶ μετριότητος περιεσταλμένη καὶ ἔχει ἀντίθετον σημασίαν πρὸς τὸ ὀγκώδης, ὡς Μένωνι, 90. Α. «Οὐδὲ ὀγκώδης τε καὶ ἐπαχθής, ἀλλὰ κόσμιος καὶ εὐσταλὴς ἀνήρ.» καὶ Λουκιαν. ἐν Τίμωνι, 54. «Οὗτος ὁ τὸ σχῆμα εὐσταλὴς καὶ κόσμιος τὸ βάδισμα καὶ σωφρονικὸς τὴν ἀναβολήν.» καὶ Ἰσοκράτ. ἐν Παναθην. 666. «Συνεσταλμένην ἔχων τὴν διάνοιαν.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σεμνύνεται ἐσχηματισμένη[1] ὡς ὑπερήφανόν[2] τι διαπραττομένη, ἀλλὰ ταὐτὰ διαπραξαμένη[3] τῇ δικανικῇ, ἐὰν μὲν ἐξ Αἰγίνης δεῦρο σώσῃ, οἶμαι δύ' ὀβολοὺς[4] ἐπράξατο, ἐὰν δὲ ἐξ Αἰγύπτου ἢ ἐκ τοῦ Πόντου, ἐὰν πάμπολυ,[5] ταύτης τῆς μεγάλης εὐεργε- Ε σίας,[6] σώσασ' ἃ νῦν δὴ ἔλεγον, καὶ αὐτὸν καὶ παῖδας καὶ χρήματα καὶ γυναῖκας[7], ἀποβιβάσασ' εἰς τὸν λιμένα δύο δραχμὰς ἐπράξατο, καὶ αὐτὸς ὁ ἔχων τὴν τέχνην καὶ ταῦτα[8] διαπραξάμενος ἐκβὰς παρὰ τὴν θάλατταν[9] καὶ τὴν ναῦν περιπατεῖ ἐν

1. Δηλαδὴ λαβοῦσα ὑπερήφανον σχῆμα.

2. Πρᾶξις, δι' ἧς δύναταί τις νὰ ὑπερηφανεύηται.

3. Ἡ κοινὴ γραφὴ ἦτο διαπραττομένη, ἣν ὑποστηρίζουσιν ὁ Buttmann καὶ ὁ Ast. Ἀλλ' ὀρθῶς ποιήσας ὁ Bekker ἀπεσόβησε ταύτην. Προτιμητέος ὁ ἀόριστος, διότι ἐνταῦθα ὁ φιλόσοφος λαμβάνει ὑπ' ὄψει μίαν μόνην περίστασιν, ὡς δεικνύει καὶ τὸ ἐπράξατο, καθ' ἃ λέγει ὁ Cron.

4. Εἶναι ἀληθές, ὅτι ἐν τῇ ἀρχαιότητι τὸ νόμισμα εἶχε πολὺ μεγαλειτέραν ἀξίαν τῆς νῦν, ἀλλὰ πάλιν ὁ ναῦλος ἦτο λίαν εὐτελής.

5. Ἐννοοῦνται τὸ ῥῆμα πράττηται. Ὀρθῶς δὲ ὁ Κοραῆς παρατηρεῖ· «Ἐὰν πάμπολυ, σημαίνει τὸ μέγιστον τοῦ ναύλου, τὰς δύο δραχμάς, ὅπερ ἐν τῇ συνηθείᾳ διπλασιάζοντες λέγομεν, Τὸ πολὺ πολύ.» Τὸ πάμπολυ ἐπεξηγεῖται διὰ τοῦ ἑπομένου δύο δραχμάς.

6. Εἶναι γενικὴ τοῦ τιμήτατος, ὡς Θουκυδ. VII, 25. «Τοὺς σταυροὺς κολυμβηταὶ δυόμενοι ἐξέπριον μισθοῦ. «Δημοσθ. Φιλιππ. II, 68. «Κέκρισθε ἐκ τούτων τῶν ἔργων μόνοι τῶν ἁπάντων μηδενὸς ἂν κέρδους τὰ κοινὰ δίκαια τῶν Ἑλλήνων προέσθαι, μηδ' ἀνταλλάξασθαι μηδεμιᾶς χάριτος, μηδ' ὠφελείας τὴν εἰς τοὺς Ἕλληνας εὔνοιαν.» Μεγάλη εὐεργεσία εἶναι, ὅτι ἔσωσεν ἐκ τῆς Αἰγύπτου ἢ τοῦ Πόντου.

7. Τοῖς κριτικοῖς φαίνεται ὁ μὲν ναῦλος λίαν εὐτελὴς δι' ὁλόκληρον οἰκογένειαν, ἡ δὲ θέσις τῶν λέξεων ἀνάρμοστος καὶ ὁ πληθυντικὸς ἀριθμὸς ἐν τῷ τελευταίῳ ὀνόματι ἄτοπος. Τούτου ἕνεκεν θέλουσι νὰ ἐξαλείψωσι τὸ παῖδας καὶ γυναῖκας. Ὑπομιμνήσκομεν, ὅτι ἡ συγκοινωνία παρὰ τοῖς ἀρχαίοις δὲν ἦτο δαπανηρά. Ἡ θέσις τῶν λέξεων εἶναι ὄντως ἠμελημένη, ἀλλὰ δὲν εἶναι τὸ μόνον παράδειγμα. Τὸ τελευταῖον ὄνομα ἐτέθη κατὰ πληθυντικὸν ἀριθμὸν ἴσως κατ' ἀρμοίωσιν πρὸς τὰ προηγούμενα. Ἄλλως ὁ φιλόσοφος εἶχεν ἀνάγκην πληθύος, ὅπως ποιήσῃ ἀντίθεσιν πρὸς τὴν εὐτέλειαν τοῦ ναύλου.

8. Δηλαδὴ τὸ σῶσαι καὶ ἀποβιβάσαι.

9. Ὁ κυβερνήτης δὲν ἔρχεται

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μετρίῳ σχήματι.[1] λογίζεσθαι γάρ, οἶμαι, ἐπίσταται, ὅτι ἄδηλόν ἐστιν, οὕστινάς τε ὠφέλησε τῶν συμπλεόντων οὐκ ἐάσας[2] καταποντωθῆναι καὶ οὕστινας ἔβλαψεν, εἰδὼς ὅτι οὐδὲν αὐτοὺς βελτίους ἐξεβίβασεν ἢ οἵοι ἀνέβησαν, οὔτε τὰ σώματα οὔτε τὰς ψυ-
12 χάς. λογίζεται οὖν, ὅτι οὐκ,[3] εἰ μέν τις μεγάλοις καὶ ἀνιάτοις νοσήμασι κατὰ τὸ σῶμα συνεχόμενος μὴ ἀπεπνίγη, οὗτος μὲν ἄθλιός ἐστιν ὅτι οὐκ ἀπέθανε, καὶ οὐδὲν ὑπ' αὐτοῦ ὠφέληται· εἰ δέ τις ἄρα ἐν τῷ τοῦ σώματος τιμιωτέρῳ, τῇ ψυχῇ, πολλὰ νοσήματα ἔχει καὶ ἀνίατα, τούτῳ δὲ βιωτέον ἐστὶ καὶ τοῦτον ὀνήσειεν,[4] ἄν τε ἐκ θαλάττης ἄν τε ἐκ δικαστηρίου ἄν τε ἄλλοθεν

εἰς τὴν ἀγορὰν καὶ τὰς δημοσίας συναθροίσεις, ὅπως ἐπιδεικνύῃ ἑαυτὸν ὡς σωτῆρα. Εὐφυῶς παραβάλλει τὴν μετριοφροσύνην τοῦ κυβερνήτου πρὸς τὰς ἀνοήτους ἐπιδείξεις τῶν ῥητόρων.

1. Σημαίνει οὐ μόνον τὴν στάσιν τοῦ σώματος, ἀλλὰ καὶ τὰ ἐνδύματα. Ἴσως ἐνταῦθα ὁ Σωκράτης θέλει νὰ ποιήσῃ ἀντίθεσιν πρὸς τὴν πορφύραν καὶ τὰ χρυσᾶ πέδιλα τοῦ Γοργίου.

2. Τοῦτο λέγει μετά τινος παιδιᾶς. Ὁ κυβερνήτης πάντοτε νομίζει, ὅτι ἡ σωτηρία εἶναι ὠφέλεια.

3. Ἡ ἄρνησις αὕτη ἀνήκει εἰς ὁλόκληρον τὴν περίοδον. Ἂν δὲ ἔλειπον αἱ ἐν τῷ μεταξὺ ὑποθετικαὶ προτάσεις, ἤθελον ἔχει τὸ χωρίον οὕτως· Λογίζεται οὖν, ὅτι οὐ βιωτέον τούτῳ ἐστίν, εἴ τις ἐν τῇ ψυχῇ πολλὰ νοσήματα ἔχει καὶ ἀνίατα. Αἱ ἐν τῷ μεταξὺ προτάσεις ἐτέθησαν χάριν ἀντιθέσεως, τὰς δὲ ἀντιθέσεις οἱ Ἕλληνες ὑπὲρ πάντας τοὺς ἄλλους λαοὺς ἀγαπῶσιν. Ὁ κυβερνήτης σκέπτεται, ὅτι δὲν πρέπει νὰ ζῇ οὗτος, ἐν ᾧ κατέχεται ἀπὸ μεγάλα νοσήματα σωματικὰ καὶ ἔτι μᾶλλον ἀπὸ ψυχικά, ὡς ἐν τῇ Ἀπολ. 28, Ε «Ἐγὼ οὖν δεινὰ ἂν εἴην εἰργασμένος, εἰ, ὅτε μέν με οἱ ἄρχοντες ἔταττον, οὓς ὑμεῖς εἵλεσθε ἄρχειν μου, —τότε μὲν οὐ ἐκεῖνοι ἔταττον ἔμενον—τοῦ δὲ θεοῦ τάττοντος, ὡς ἐγὼ ᾠήθην καὶ ὑπέλαβον, φιλοσοφοῦντά με δεῖν ζῆν — ἐνταῦθα δὲ φοβηθεὶς ἢ θάνατον ἢ ἄλλο ὁτιοῦν πρᾶγμα λίποιμι τὴν τάξιν.»

4. Ὁ μὲν Heindorf εἴκαζεν, ὅτι πρέπει νὰ προστεθῇ τὸ ἄν, ὁ δὲ Deuschle πιστεύων, ὅτι ἡ ἔλλειψις τοῦ ἂν ἀντίκειται εἰς γραμματικὸν κανόνα γράφει τὸ ῥῆμα κατὰ μέλλοντα χρόνον. Ὁ δὲ Jahn εὑρίσκει ἄτοπον τὴν σύνδεσιν τῆς εὐκτικῆς μετὰ τῆς ὁριστικῆς. Ἐπειδὴ ὅμως ὅμοια παραδείγματα εὑρίσκονται, δὲν διορθοῦμεν τὸ χωτὸ χωρίον, Ἰσοκρ. 348, Α. «Εἰσήγγελον εἰς τὴν βουλὴν λέγοντες, ὡς ὁ πατὴρ συνάγει μὲν τὴν ἑταιρίαν ἐπὶ νεωτέροις πράγμασιν, οὗτοι δὲ ἐν τῇ Πολυτίωνος οἰκία

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὀποθενοῦν[1] σώσῃ, ἀλλ' οἶδεν, ὅτι οὐκ ἄμεινόν ἐστι ζῆν τῷ μο- B
χθηρῷ· κακῶς γὰρ ἀνάγκη ἐστὶ ζῆν.

LXVIII. Διὰ ταῦτα οὐ νόμος[2] ἐστὶ σεμνύνεσθαι τὸν κυβερνήτην, καίπερ σώζοντα ἡμᾶς· οὐδέ γε, ὦ θαυμάσιε, τὸν μηχανοποιόν[3], ὃς οὔτε στρατηγοῦ, μὴ ὅτι[4] κυβερνήτου, οὔτε ἄλλου οὐδενὸς ἐλάττω ἐνίοτε δύναται σώζειν· πόλεις γὰρ ἔστιν ὅτε ὅλας σώζει. μή σοι[5] δοκεῖ κατὰ[6] τὸν δικανικὸν εἶναι; καίτοι εἰ βούλοιτο λέγειν, ὦ Καλλίκλεις, ἅπερ ὑμεῖς,[7] σεμνύνων τὸ πρᾶγμα, καταχώσειεν[8] ἂν ὑμᾶς τοῖς λόγοις, λέγων[9] καὶ παρακαλῶν ἐπὶ τὸ δεῖν γίγνε- C

συνδειπνοῦντες τὰ μυστήρια ποιήσαιεν.» καὶ 36, A. «Ἔλεγεν, ὅτι ἐλεύθερός ἐστι καὶ τὸ γένος Μιλήσιος, πέμψειε δὲ αὐτὸν Πασιων'» καὶ Ξενοφ. ἐν Κύρ. Ἀναβάσ. III, 5, 19. Ἂν προστεθῇ ὁ ἄν, γενναται κακοφωνία, ὁσονδήποτε καὶ ἂν μετριάζηται ἐκ τοῦ ἑπομένου κόμματος.

1. Ἐν ταῖς τοιαύταις τέχναις μόνον ἡ ἀφορμὴ τοῦ κινδύνου εἶναι διάφορος.

2. Νόμος ἐνταῦθα σημαίνει τὸ ἔθος.

3. Μηχανοποιὸς εἶναι ὁ κατασκευάζων μεγάλας μηχανὰς πρὸς ὑπεράσπισιν πόλεων. Ἡ ἱστορία τῶν ἀρχαίων παρέχει ἡμῖν πλεῖστα τοιαῦτα παραδείγματα, ἐν οἷς διαπρέπουσι τὰ τοῦ Ἀρχιμήδους.

4. Τὸ μὴ ὅτι σημαίνει σιωπῶ, ἢ δὲν ὀνομάζω τι, ὡς καὶ ἐν Πολιτ. III, 398, E. «Ἄχρηστοι γὰρ καὶ γυναιξὶν, ἃς δεῖ ἐπιεικεῖς εἶναι, μὴ ὅτι ἀνδράσι.» Παράβαλλ. καὶ Ξενοφ. ἐν Ἑλλην. II, 3,35.

5. Τὸ ἐρωτηματικὸν μὴ προϋποθέτει ἀρνητικὴν ἀπόκρισιν, ὡς ἐν Ἀπολογ. 25, A. «Ἀλλ' ἄρα, ὦ Μέλητε, μὴ οἱ ἐν τῇ ἐκκλησίᾳ διαφθείρουσι τοὺς νεωτέρους;» καὶ 28, D. «Μὴ αὐτὸν οἴει φροντίσαι θανάτου καὶ κινδύνου;»

6. Ἡ κατὰ μετὰ αἰτιατικῆς σημαίνει παραβολήν, ὡς ἐν Πολιτ, V, 466, A. «Τί οὖν νῦν ἡμῖν ὁ τῶν ἐπικούρων βίος, ὅσπερ τοῦγε τῶν Ὀλυμπιονικῶν πολύ τε καλλίων καὶ ἀμείνων φαίνεται, μή πη κατὰ τὸν τῶν σκυτοτόμων φαίνεται βίον. . . .» Μὴ νομίζῃς, ὅτι ὁ μηχανοποιὸς δύναται νὰ παραβληθῇ πρὸς δικανικόν; δηλ. ἐκεῖνος εἶναι πολὺ ὑπέρτερος τοῦ δικανικοῦ.

7. Ἐν ἀρχῇ τοῦ διαλόγου ὁ Πῶλος πολλὰ κοσμητικὰ ἐπίθετα ἐπεσώρευσεν εἰς τὴν ἰδίαν τέχνην, εἶτα ὁ Γοργίας καὶ ὁ Καλλικλῆς τελευταῖον.

8. Ἡ μεταφορὰ εἴληται ἐκ τῶν βαλλόντων διὰ τῶν μηχανῶν καὶ καλυπτόντων τοὺς πολεμίους, ὡς Ἡρόδοτ. VII 225. Προσηκόντως μετεχειρίσθη τὴν μεταφορὰν ἐκ τοῦ τεχνίτου, περὶ οὗ πρόκειται.

9. Ἡ μετοχὴ αὕτη ἐτέθη ἄνευ ἀντικειμένου, διότι ἡ ἑπομένη ἐκ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθαι μηχανοποιούς,[1] ὡς οὐδὲν τἄλλά ἐστιν. ἱκανὸς[2] γὰρ αὐτῷ ὁ λόγος. ἀλλὰ σὺ οὐδὲν ἧττον αὐτοῦ καταφρονεῖς καὶ τῆς τέχνης τῆς ἐκείνου, καὶ ὡς ἐν[3] ὀνείδει ἀποκαλέσαις ἂν μηχανοποιόν, καὶ τῷ υἱεῖ αὐτοῦ οὔτ' ἂν δοῦναι θυγατέρα ἐθέλοις, οὔτ' ἂν αὐτὸς τῷ σαυτοῦ λαβεῖν[4] τὴν ἐκείνου. καίτοι ἐξ ὧν[5] τὰ σαυτοῦ ἐπαι-
D νεῖς, τίνι δικαίῳ λόγῳ τοῦ μηχανοποιοῦ καταφρονεῖς καὶ τῶν ἄλλων ὧν νῦν δὴ ἔλεγον; οἶδ' ὅτι φαίης ἂν βελτίων εἶναι καὶ ἐκ βελτιόνων.[6] τὸ δὲ βέλτιον εἰ μή ἐστιν ὃ ἐγὼ λέγω, ἀλλ' αὐτὸ τοῦτ' ἔστιν ἀρετή, τὸ σώζειν αὐτὸν καὶ τὰ ἑαυτοῦ ὄντα[7] ὁποῖός τις ἔτυχε[8], καταγέλαστός σοι ὁ ψόγος γίγνεται καὶ μηχανοποιοῦ καὶ ἰατροῦ καὶ τῶν ἄλλων[9] τεχνῶν, ὅσαι τοῦ σώζειν ἕνεκα πε-
ποίηνται. ἀλλ', ὦ μακάριε, ὅρα μὴ ἄλλο τι τὸ γενναῖον[10] καὶ τὸ

φράζει τὸ ἀντικείμενον τῆς πρώτης.

1. Εἰρωνικῶς ὑπαινίσσεται τὰ τοῦ Καλλικλέους, ὅστις παρώτρυνε τὸν φιλόσοφον εἰς τὴν ῥητορικήν.

2. Διότι θὰ ἔχῃ μεγάλην ἀφθονίαν λόγων.

3. Ἡ ἐν μετὰ δοτικῆς συχνάκις τίθεται πρὸς δήλωσιν τοῦ τρόπου, καθ' ὃν γίνεταί τι. Τὸ ἀποκαλεῖν. ἐνταῦθα, ὡς πολλαχοῦ, σημαίνει μετὰ περιφρονήσεως, ἢ πρὸς ὕβριν ὀνομάζειν, ὡς Ξενοφ. ἐν Ἀπομν. 1, 2, 6. «Τοὺς δὲ λαμβάνοντας τῆς ὁμιλίας μισθὸν ἀνδραποδιστὰς ἑαυτῶν ἀπεκάλει.» Αὐτόθι, 2. 4. καὶ Σοφοκλ. ἐν Αἴαντι, 727 «Τὸν τοῦ μανέντος κἀπιβουλεύτου στρατοῦ ξύναιμον ἀποκαλοῦντες.»

4 Παρὰ πᾶσι τοῖς λαοῖς τοῦτο σημαίνει πεσιφρόνησιν, Ἡρόδοτ. II, 47. «Οὐδὲ σφι ἐκδιδοσθαι θυγατέρα οὐδεὶς ἐθέλει οὐδ' ἄγεσθαι ἐξ αὐτέων.»

5. Εἶναι ἰσοδύναμον πρὸς τό, ἐκ τούτων, ἄ. Τὰ δὲ ἐπαινεῖν, ἐγκωμιάζειν, ψέγειν καὶ τὰ τοιαῦτα συντάσσονται διπλῇ αἰτιατικῇ, ὡς ἐν Πολιτ. II, 363, D. «Ταῦτα δὴ καὶ ἄλλα τοιαῦτα ἐγκωμιάζουσι δικαιοσύνην.» καὶ ἐν Φαίδρῳ, 45. «Ἃ ψέγομεν τὸν ἔρωτα.»

6. Ἡ τοιαύτη σύνδεσις τοῦ λόγου παρὰ τοῖς ἀρχαίοις εἶναι συνήθης, ὡς ἐν Φαίδρῳ, 246, A. «Θεῶν μὲν οὖν ἵπποι τε καὶ ἡνίοχοι αὐτοί τε ἀγαθοὶ καὶ ἐξ ἀγαθῶν.», Λυσίας κατὰ Ἀγορατ. 18. «Δοῦλον καὶ ἐκ δούλων ὄντα.» Σοφοκλ. ἐν Φιλοκτ. 38, 1. «Πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως.»

7. Ἑτέθη κατ' αἰτιατικήν, διότι συμφωνεῖ πρὸς τὸ νοούμενον ὑποκείμενον τοῦ σώζειν.

8. Εἴτε καλὸς εἴτε κακός, ἄνευ ἐξετάσεως τῆς ἐσωτερικῆς ἀξίας τοῦ ἀνθρώπου.

9. Μεταχειρίζεται τὴν ἄλλος, ἐν ᾧ δὲν ἦτο ὁ λόγος περὶ τεχνῶν, ἀλλὰ περὶ τεχνιτῶν.

10. Ὁ Καλλικλῆς ἐν τοῖς ἔμπρο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀγαθὸν ἢ τοῦ σώζειν τε καὶ σώζεσθαι. μὴ γὰρ τοῦτο μέν, τὸ ζῆν ὁπόσον δὴ[1] χρόνον, τόν γε ὡς ἀληθῶς ἄνδρα ἐατέον[2] ἐστὶ καὶ Ε
οὐ φιλοψυχητέον ἀλλὰ ἐπιτρέψαντα[3] περὶ τούτων τῷ θεῷ καὶ πιστεύσαντα ταῖς γυναιξίν[4], ὅτι τὴν εἱμαρμένην οὐδ' ἂν εἷς ἐκφύγοι,[5]

σθεν, 485, D καὶ Ε ἀπέδιδε μεγάλην ἀξίαν εἰς τὸ γενναῖον, ἐν ᾧ ἡ σπουδὴ πρὸς σωτηρίαν καὶ ἡ ἀγάπη τοῦ βίου εἶναι τεκμήρια ἀγενοῦς καὶ μικροῦ φρονήματος. Ὁ πολιτικὸς δὲν δύναται νὰ ἦναι γενναῖος, ὅσον ὁ ἀληθὴς φιλόσοφος.

1. Τὰ μὲν χειρόγραφα δὲν παρέχουσι μεγάλην ποικιλίαν γραφῶν (διότι ἡ κοινὴ γραφὴ εἶναι ὁπόσον δὴ χρόνον καὶ δύο χειρόγραφα ἔχουσιν, ὁπόσον δὲ χρόνον), ἀλλ' οἱ κριτικοὶ ἐπήνεγκον πολλὴν σύγχυσιν διαφόρως διορθοῦντες τὸ χωρίον. Ὁ μὲν Deuschle ἔγραφε, μὴ γὰρ αὐτὸ μέντοι τὸ ζῆν· ὁπόσον δὲ χρόνον (ἐννοῶν ἐκ τῆς προηγουμένης προτάσεως τὸ ἀγαθὸν ἦ), ὁ δὲ Hermann τολμηρῶς, ὡς πάντοτε, μετέβαλε τὸ χωρίον εἰς ἤδη γὰρ τοῦτο μὲν τὸ ζῆν· ὁπόσον δὲ χρόνον. Νομίζομεν, ὅτι ἡ τοιαύτη διόρθωσις παρέχει ἔννοιαν ἥκιστα ἁρμόζουσαν τῷ Σωκράτει, ὅστις ἐν Φαίδωνι θεωρεῖ τὴν ἕνωσιν τῆς ψυχῆς μετὰ τοῦ σώματος ὡς νόσον. Διὰ τοῦτο ἄριστα ἐπαίνεσεν ὁ Keck, ὅστις ὑποστηρίζει τὴν γραφὴν τῶν χειρογράφων. Ἀφοῦ ὁ φιλόσοφος ἔδειξεν, ὅτι τὸ γενναῖον καὶ τὸ ἀγαθὸν εἶναι διάφορον τοῦ σώζειν καὶ σώζεσθαι προχωρῶν λέγει μετὰ τοῦτο μέν, δηλ. τὸ νὰ ζῇ τις ὁσονδήποτε χρόνον, τοὐλάχιστον ὁ ἀληθὴς ἀνὴρ πρέπει νὰ ἀφήσῃ (νὰ μὴ φροντήσῃ), ἀλλὰ μήπως πρέπει νὰ σκεφθῇ, πῶς νὰ ζήσῃ ἄριστα.

2. Ὁ Stephanus κατὰ τὴν εἰκασίαν τοῦ Cornarius ἔτρεψε τὸ ῥηματικὸν εἰς εὐκτέον. Οἱ κριτικοὶ ὅμως δὲν ἐδέξαντο τὴν διόρθωσιν ὀρθῶς ποιοῦντες.

3. Τὸ ἀντικείμενον λείπει, πάντα. Τὴν πρὸς τὸ θεῖον ἀφοσίωσιν ὁ φιλόσοφος διετήρησε μέχρι θανάτου, Ἀπολογ. 41 D λέγει· «Οὐκ ἔστιν ἀνδρὶ ἀγαθῷ κακὸν οὐδὲν οὔτε ζῶντι οὔτε τελευτήσαντι, οὐδὲ ἀμελεῖται ὑπὸ θεῶν τὰ τούτου πράγματα· οὐδὲ τὰ ἐμὰ νῦν ἀπὸ τοῦ αὐτομάτου γέγονεν, ἀλλά μοι δῆλόν ἐστι τοῦτο ὅτι ἤδη τεθνάναι καὶ ἀπηλλάχθαι πραγμάτων βέλτιον ἦν μοι.»

4. Ἐπειδὴ ὁ Καλλικλῆς ἀνῆκεν εἰς ἐκείνους, οἵτινες τὴν θρησκείαν ἐθεώρουν ὡς ὑπόθεσιν τῶν γυναικῶν, ὁ φιλόσοφος εἰρωνικῶς ἐλέγχει αὐτὸν οἱονεὶ λέγων, ὅτι ἡ περὶ τοῦ βίου πίστις τῶν γυναικῶν εἶναι καλλιτέρα τῆς θεωρίας τῶν τοιούτων ἀνθρώπων. Ὕρα 527 Ἀ.

5. Ἡ πεποίθησις αὕτη ὑπὸ τῶν ἀρχαίων ποιητῶν καὶ πεζογράφων διαφόρως διετυπώθη, πρὸ πάντων δὲ ὑπὸ τῶν τραγικῶν, Ἰλιάδ. Ζ, 488. «Μοῖραν δ' οὔ τινά φημι πε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ ἐπὶ τούτῳ[1] σκεπτέον, τίν' ἂν τρόπον τοῦτον ὃν μέλλοι χρόνον βιῶναι ὡς ἄριστα βιώσῃ, ἆρα ἐξομοιῶν αὐτὸν τῇ πολι-
513 τείᾳ ταύτῃ ἐν ᾗ ἂν οἰκῇ[2], καὶ νῦν δὲ ἄρα δεῖ σὲ ὡς ὁμοιότατον γίγνεσθαι τῷ δήμῳ τῶν Ἀθηναίων, εἰ μέλλεις τούτῳ προσφιλὴς εἶναι καὶ μέγα δύνασθαι ἐν τῇ πόλει· τοῦθ' ὅρα[3] εἰ σοὶ λυσιτελεῖ καὶ ἐμοί, ὅπως μή, ὦ δαιμόνιε, πεισόμεθα ὅπερ φασὶ τὰς τὴν σελήνην καθαιρούσας, τὰς Θετταλίδας[4], σὺν τοῖς φιλτάτοις[5]

φυγμένον ἔμμεναι ἀνδρῶν, οὐ κακόν, οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται», Σοφοκλ. ἐν Ἀντιγόν. 1137. «Πεπρωμένης οὐκ ἔστι θνητοῖς ξυμφορᾶς ἀπαλλαγή.» Ἡρόδοτ. I, 91, 1. «Τὴν πέπρωμένην μοῖραν ἀδύνατά ἐστιν ἀποφυγέειν καὶ θεῷ.» Ὅρα καὶ Αἰσχ. ἐν Προμηθ. 526.

1. Ἡ ἐπὶ μετὰ δοτικῆς σημαίνει τὸ ὕστερον ἢ τὸ μετὰ τοῦτο.

2. Ὁ Münscher προτείνει, ὅπως θέσαντες στιγμὴν μετὰ τὸ οἰκῇ ἀρχίσωμεν νέαν περίοδον. Τοῦτο ἀποκρούει ὁ Cron, ἀλλ' ἡ πρότασις δὲν φαίνεταί μοι ἀτυχής.

3. Ἐπειδὴ ἡ συνέχεια τοῦ λόγου ἕνεκα τῆς μακρᾶς περιόδου διεσκοτίσθη, διὰ τῆς φράσεως ταυτης ἐπανέρχεται εἰς τὸ ζήτημα.

4. Αἱ Θετταλίδες ἐν τῇ ἀρχαιότητι ἦσαν διαβόητοι διὰ τὰς φαρμακείας αὐτῶν καὶ ἐλέγετο περὶ αὐτῶν, ὅτι δύνανται νὰ καθέλωσι τὴν σελήνην ἀπὸ τοῦ οὐρανοῦ. Διὰ τοῦτο καὶ ὁ Στρεψιάδης παρ' Ἀριστοφάν. ἐν Νεφέλ. 749, λέγει.

Γυναῖκα φαρμακίδ' εἰ πριάμενος Θετταλὴν
καθέλοιμι νύκτωρ τὴν σελήνην.

Φαίνεται, ὅτι αἱ ἐκλείψεις τῆς σελήνης ἔδωκαν εἰς τὴν φήμην ταύτην τὴν ἀφορμήν. Ἀλλ' ὁ Ὁράτιος λέγει, ὅτι αἱ Θετταλίδες ἠδύναντο νὰ ἀφαιρέσωσι καὶ τοὺς ἀστέρας, ἐν Epod. V, 45 «quae sidera ex cantata voce Thesala lunamque coelo deripit.» Ἡ παροιμία ἐλέγετο ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς κακά, ὡς παραδίδει ὁ Σουΐδας. «Ἐπὶ σαυτῷ τὴν σελήνην καθέλκεις· αἱ τὴν σελήνην καθέλκουσαι Θετταλίδες λέγονται τῶν ὀφθαλμῶν καὶ τῶν ποδῶν στερίσκεσθαι· εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν ἑαυτοῖς κακὰ ἐπισπωμένων». Διὰ τῆς παροιμίας ταύτης ὁ φιλόσοφος παρακελεύεται τὸν Καλλικλέα νὰ προσέχῃ, διότι ἐπιχειροῦντες νὰ λάβωσι τὴν δύναμιν τῆς πόλεως κινδυνεύουσι νὰ ἀπολέσωσι τὰ φίλτατα, ὡς αἱ Θετταλίδες ἀποβάλλουσι τοὺς ὀφθαλμούς.

5. Σημαίνει μὲ κίνδυνον τῶν φιλτάτων, ἡ δὲ τοιαύτη σημασία τῆς προθέσεως εἶναι ἀρχαιοτάτη, Ἰλιάδ. Δ. 161. «Σύν τε μεγάλῳ ἀπέτισαν, σύν σφῇσι κεφαλῇσι γυναιξί τε καὶ τεκέεσσιν.» Ἡ αὐτὴ ἔννοια δηλοῦται διὰ τῆς περὶ καὶ δοτικῆς, Πρωταγόρ. 314. «Ὅρα, ὦ μακάριε, μὴ περὶ τοῖς φιλτάτοις κυβεύῃς τε καὶ κινδυνεύῃς.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ αἵρεσις ἡμῖν ἔσται ταύτης τῆς δυνάμεως τῆς ἐν τῇ πόλει. εἰ δέ σοι οἴει ὁντινοῦν[1] ἀνθρώπων παραδώσειν τέχνην τινὰ τοιαύ- B
την, ἥτις σε ποιήσει μέγα δύνασθαι ἐν τῇ πόλει τῇδε ἀνόμοιον ὄντα τῇ πολιτείᾳ εἴτ' ἐπὶ[2] τὸ βέλτιον εἴτ' ἐπὶ τὸ χεῖρον, ὡς ἐμοὶ δοκεῖ, οὐκ ὀρθῶς βουλεύει, ὦ Καλλίκλεις· οὐ γὰρ μιμητὴν δεῖ εἶναι ἀλλ' αὐτοφυῶς[3] ὅμοιον τούτοις, εἰ μέλλεις τι γνήσιον ἀπεργάζεσθαι εἰς φιλίαν τῷ Ἀθηναίων δήμῳ καὶ ναὶ μὰ Δία τῷ[4] Πυριλάμπους γε πρός. ὅστις οὖν σε τούτοις ὁμοιότατον ἀπεργάσεται, οὗτός σε ποιήσει, ὡς ἐπιθυμεῖς πολιτικὸς[5] εἶναι, πολιτικὸν καὶ ῥητορικόν. τῷ αὐτῶν γὰρ ἤθει[6] λεγομένων τῶν λόγων ἕκα- C
στοι χαίρουσι, τῷ δὲ ἀλλοτρίῳ ἄχθονται· εἰ μή τι σὺ ἄλλο λέγεις, ὦ φίλη κεφαλή;[7] λέγομέν τι πρὸς ταῦτα, ὦ Καλλίκλεις;

LXIX. ΚΑΛ. Οὐκ οἶδ' ὁντινά μοι τρόπον δοκεῖς εὖ[8] λέγειν, ὦ

1. Ὑπαινίσσεται τὸν Γοργίαν, ὅστις ὑπισχνεῖτο νὰ διδάξῃ τὴν ῥητορικήν. Κατὰ τὰ ἐνταῦθα λεγόμενα ἡ ῥητορικὴ δὲν παρέχει δύναμιν, ἀλλὰ τὸ ὁμόηθες τῶν πολιτευτῶν πρὸς τὸν λαόν, ἐν ᾧ πολιτεύονται.

2. Ἡ ἐπὶ μετὰ αἰτιακῆς σημαίνει τὴν διεύθυνσιν τῆς ἀνομοιότητος, Θουκυδ. 1, 21. «Οὔτε οἱ λογογράφοι ξυνέθεσαν ἐπὶ τὸ προσαγωγότερον τῇ ἀκροάσει ἢ ἀληθέστερον.»

3. Ὁ πολιτευτὴς ἐκ φύσεως πρέπει νὰ ὁμοιάζῃ πρὸς τὸν λαόν· διότι μίμησις δὲν δύναται νὰ ὑπάρξῃ. Ἂν τις ἦναι ἠθικός, δὲν δύναται νὰ πράξῃ ἀνηθίκους πράξεις.

4. Τίς ἦτο ὁ υἱὸς τοῦ Πυριλάμπους, εἴπομεν ἐν τοῖς ἔμπροσθεν 481 D.

5. Ἂν αὕτη ἡ λέξις ἐξέρρευσεν ἐκ τῆς γραφίδος τοῦ Πλάτωνος, φαίνεται, ὅτι ὁ φιλόσοφος ἔθηκε ταύτην, ὅπως τονίσας αὐτὴν δείξῃ τὴν ταυτότητα τῆς ἐπιθυμίας καὶ τῆς ἐκτελέσεως.

6. Ἕκαστος εὐχαριστεῖται εἰς λόγους, οἵτινες συμφωνοῦσι πρὸς τὸν χαρακτῆρά του. Τὸ ὁμόηθες πάντοτε σύμβάλλεται πρὸς φιλίαν, ὡς ἐν τοῖς ἔμπροσθεν λόγος ἐγένετο καὶ περὶ τῶν τυράννων.

7. Ἡ προσφώνησις αὕτη γίνεται μετὰ πάθους, ὡς παρ' Ὁμήρῳ Ἰλιάδ. Θ. 281 καὶ Ψ, 94 καὶ Σοφοκλ. Ἀντιγόν. 1. «Ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα.» Παράβ. καὶ Φαῖδρ. 264. Α.

8. Ὁ λόγος τοῦ Σωκράτους δὲν ἔμεινεν ἐπὶ τέλους ἄνευ ἀποτελέσματος, ὅμως εἰσέτι ὁ Καλλικλῆς ἀμφιταλαντεύεται μεταξὺ δύο πεποιθήσεων, ὡς λέγει ὁ Cron. Ἡ διαλεκτικὴ τοῦ Σωκράτους τὸ πρῶτον διεγείρει ἀπορίαν καὶ εἶτα πεποίθησιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σώκρατες· πέπονθα δὲ τὸ τῶν πολλῶν[1] πάθος· οὐ πάνυ σοι πείθομαι.

ΣΩ. Ὁ δήμου γὰρ ἔρως, ὦ Καλλίκλεις, ἐνὼν ἐν τῇ ψυχῇ τῇ σῇ ἀντιστατεῖ μοι·[2] ἀλλ' ἐὰν πολλάκις ἴσως[3] καὶ βέλτιον ταὐτὰ ταῦτα διασκοπώμεθα, πεισθήσει. ἀναμνήσθητι δ' οὖν,[4] ὅτι δύο ἔφαμεν εἶναι τὰς παρασκευὰς ἐπὶ τὸ ἕκαστον θεραπεύειν καὶ σῶμα καὶ ψυχήν, μίαν μέν, πρὸς ἡδονὴν ὁμιλεῖν, τὴν ἑτέραν δέ, πρὸς τὸ βέλτιστον, μὴ καταχαριζόμενον ἀλλὰ διαμαχόμενον. οὐ ταῦτα ἦν ἃ τότε ὡριζόμεθα;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν ἡ μὲν ἑτέρα, ἡ πρὸς ἡδονήν, ἀγεννὴς καὶ οὐδὲν ἄλλο ἢ κολακεία τυγχάνει οὖσα· ἦ γάρ;

ΚΑΛ. Ἔστω, εἰ βούλει,[5] σοὶ οὕτως.

ΣΩ. Ἡ δέ γε ἑτέρα[6], ὅπως ὡς βέλτιστον ἔσται τοῦτο, εἴτε σῶμα τυγχάνει ὂν εἴτε ψυχή, ὃ θεραπεύομεν;

1. Ὁ Σωκράτης πρὸ ὀλίγου ἔλεγεν, ὅτι οἱ πολλοὶ (ἕκαστοι) εὐχαρίστως ἀκούουσιν, ὅ τι συμφωνεῖ πρὸς τὸν χαρακτῆρα αὐτῶν καὶ ἀποστρέφονται τὰ μὴ συμφωνοῦν. Λοιπὸν αὐτὸ τοῦτο ἔπαθε καὶ ὁ Καλλικλῆς. Εἶναι ἀξιοσημείωτος ἡ εἰλικρινὴς ὁμολογία τοῦ Καλλικλέους ἐν ἀντιθέσει πρὸς τὴν πρὶν ἰσχυρογνωμοσύνην αὐτοῦ.

2. Αἱ περὶ ῥητορικῆς καὶ περὶ πολιτείας θεωρίαι τοῦ Σωκράτους ἦσαν τοιαῦται, ὥστε, ἂν ἐπείθετο ὁ πολιτικός, δὲν ἠδύνατο πλέον νὰ πολιτεύηται ἐν Ἀθήναις, ὡς ἐνταῦθα εἶχον τὰ τῆς πολιτείας.

3. Ἐνταῦθα περιέμενέ τις νὰ εἴπῃ, ἀλλ' ἴσως ἐὰν πολλάκις, ἤ, ἀλλ' ἐὰν . . . ἴσως πεισθήσει. Τούτου ἕνεκεν ὁ Findeisen καὶ ὁ Heindorf νομίζουσιν, ὅτι πρέπει νὰ μεταθέσωμεν τὸ ἴσως. Ἡ λέξις καθ' ἡμᾶς κεῖται προσηκόντως, διότι προσδιορίζει τὸ καὶ βέλτιον. Ὁ Καλλικλῆς ὡμολόγησεν, ὅτι ὁ Σωκράτης καλῶς ἐξήτασε τὸ ζήτημα, ἀλλὰ δὲν πείθεται. Πρὸς τοῦτο ὁ φιλόσοφος παρατηρεῖ, ὅτι θέλει πεισθῇ, ἂν ἐξετάσωσι αὐτὰ ταῦτα πολλάκις, ἴσως καὶ καλλίτερα.

4. Ὁ οὖν τίθεται συχνάκις ἐπὶ ἐπαναλήψεων. Ἐπανέρχεται εἰς τὰ μετὰ τοῦ Γοργίου εἰρημένα, 464, Β. Ἐν τοῖς ἑπομένοις θέλει ἀποδείξει, ὅτι ἡ ἀληθὴς πολιτικὴ τέχνη σκοπεῖ τὴν ἠθικὴν τοῦ λαοῦ βελτίωσιν καὶ πρὸς τοῦτο ἀπαιτεῖ τέχνην.

5. Διὰ τῆς φράσεως ταύτης ὁ Καλλικλῆς ποιεῖ ἐπιφύλαξιν ὡς πρὸς τὴν ἑαυτοῦ γνώμην, δηλ. τὸ πρᾶγμα ἔχει κῦρος μόνον ὡς πρὸς τὸν Σωκράτη

6. Περὶ τῶν ἐννοητέων λέξεων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Ἆρ' οὖν οὕτως ἐπιχειρητέον ἡμῖν ἐστι τῇ πόλει καὶ τοῖς πολίταις[1] θεραπεύειν, ὡς βελτίστους αὐτοὺς τοὺς πολίτας ποιοῦντας;[2] ἄνευ γὰρ δὴ τούτου, ὡς ἐν τοῖς ἔμπροσθεν εὑρίσκομεν, οὐδὲν ὄφελος ἄλλην εὐεργεσίαν οὐδεμίαν προσφέρειν, ἐὰν[3] μὴ 514
καλὴ κἀγαθὴ ἡ διάνοια[4] ἡ τῶν μελλόντων ἢ χρήματα πολλὰ λαμβάνειν ἢ ἀρχήν τινων ἢ ἄλλην δύναμιν ἡντινοῦν. θῶμεν οὕτως ἔχειν;

ΚΑΛ. Πάνυ γε, εἴ σοι ἥδιον.[5]

ΣΩ. Εἰ οὖν παρεκαλοῦμεν[6] ἀλλήλους, ὦ Καλλίκλεις, δημο-

διαφωνοῦσιν οἱ ἑρμηνευταί· ὁ μὲν Heindorf νοεῖ τὸ οὕτως ἐστί, ὁ δὲ Jahn καὶ ὁ Stallbaum τὸ ὁμιλεῖ καὶ ὁ Cron λέγει, ὅτι τὸ ἐννοητέον ῥῆμα πρέπει νὰ ἐξαχθῇ ἐκ τοῦ τυγχάνει οὖσα.

1. Ἀντὶ τῶν δοτικῶν ὁ Stephanus ἔτρεψεν εἰς αἰτιατικάς, ὅπερ δὲν εἶναι ὀρθόν· διότι τὸ ἐπιχειρεῖν συντάσσεται δοτικῇ, Πλάτ. ἐν Πολιτ. III, 416, Α. «Ἐπιχειρῆσαι τοῖς προβάτοις κακουργεῖν.» Δὲν δυνάμεθα νὰ ὑποθέσωμεν, ὅτι αἱ δοτικαὶ εἶναι συντακτικαὶ τοῦ θεραπεύειν, διότι τοῦτο προσετέθη ἐπεξηγηματικῶς, ὡς καὶ ἐν Κρίτωνι, 52, Β. «Οὐδ' ἐπιθυμία σε ἄλλης πόλεως οὐδ' ἄλλων νόμων ἔλαβεν εἰδέναι.» Παράβαλλ. καὶ Φαῖδρ. 271, C.

2. Ἡ Μετοχὴ εἶναι ἐπεξήγησις τοῦ οὕτως, ὡς καὶ ἐν Φαίδωνι, 59, Α. «Σχεδόν τι οὕτω διεκείμεθα, ὁτὲ μὲν γελῶντες, ἐνίοτε δὲ δακρύοντες.» Ἐν ᾧ προηγεῖται δοτική, ἕπεται αἰτιατική, 492, Β καὶ D. 512.

3. Κατὰ τὸν Stallbaum ἡ πρότασις αὕτη ἠδύνατο νὰ λείπῃ, διότι προηγεῖται τό, ἄνευ γὰρ δὴ τούτου. Ἀλλὰ τοιοῦτοι πλεονασμοὶ εἶναι συνηθέστατοι.

4. Διάνοια εἶναι ἡ ἐσωτερικὴ ἐνέργεια τῆς ψυχῆς καὶ συχνάκις λαμβάνεται ἀντὶ τῆς ψυχῆς αὐτῆς. Οὕτως ὁ Σωκράτης τοιαῦτα ἐδίδασκε, Πλάτ. ἐν Ἀπολογ. 30 Α «ὅτι οὐκ ἐκ χρημάτων ἀρετὴ γίγνεται, ἀλλ' ἐξ ἀρετῆς χρήματα καὶ τἆλλα ἀγαθὰ τοῖς ἀνθρώποις ἅπαντα καὶ ἰδίᾳ καὶ δημοσίᾳ».

5. Ὁ δεύτερος ὅρος τῆς συγκρίσεως δύναται νὰ ἐξαχθῇ ἐκ τῆς ἐρωτήσεως τοῦ Σωκράτους, δηλ. τοῦ μὴ θεῖναι οὕτως. Ἐπειδὴ ὁ Καλλικλῆς ἀποφεύγει νὰ ἐκφράσῃ τὴν ἑαυτοῦ γνώμην, δεικνύει ἐμμέσως, ὅτι ἐνόησεν, ὅτι δὲν εἶναι εὔκολον νὰ ἀντιστῇ κατὰ τῆς διαλεκτικῆς δεινότητος τοῦ φιλοσόφου.

6. Διὰ τῆς μνείας ἀναλόγων πειρᾶται ὁ φιλόσοφος νὰ δείξῃ, ὅτι καὶ ἡ πολιτική, ὡς καὶ αἱ ἄλλαι τέχναι, προϋποτίθησι γνώσεις καὶ ὅτι ὁ πολιτικὸς ἔπρεπε νὰ ὑ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σίᾳ πράξαντες[1] τῶν πολιτικῶν[2] πραγμάτων ἐπὶ τὰ οἰκοδομικά,[3] ἢ τειχῶν ἢ νεωρίων ἢ ἱερῶν ἐπὶ τὰ μέγιστα οἰκοδομήματα, πότερον ἔδει ἂν ἡμᾶς σκέψασθαι ἡμᾶς αὐτοὺς καὶ ἐξετάσαι, πρῶ-
B τον μὲν εἰ ἐπιστάμεθα[4] τὴν τέχνην ἢ οὐκ ἐπιστάμεθα, τὴν οἰκοδομικήν, καὶ παρὰ τοῦ ἐμάθομεν ; ἔδει[5] ἂν ἢ οὔ ;

ΚΑΛ. Πάνυ γε.

ΣΩ. Οὐκοῦν δεύτερον αὖ[6] τόδε, εἴ τι πώποτε οἰκοδόμημα ᾠκοδομήκαμεν[7] ἰδίᾳ ἢ τῶν φίλων τινὶ ἢ ἡμέτερον αὐτῶν, καὶ τοῦτο τὸ οἰκοδόμημα καλὸν ἢ αἰσχρόν ἐστι· καὶ εἰ μὲν εὑρίσκομεν σκοπούμενοι διδασκάλους τε ἡμῶν ἀγαθοὺς καὶ ἐλλογίμους γεγονό-

ποβάλληται εἰς δοκιμασίαν τῶν γνώσεων αὐτοῦ, ἐν ᾧ ἐν Ἀθήναις οὐδεμία φροντὶς περὶ τούτου ἐγίνετο, ἐν Πρωταγ 319, D. «Ἐπειδὰν δέ τι περὶ τῆς πόλεως διοικήσεως δέῃ βουλεύσασθαι, συμβουλεύει αὐτοῖς ἀνιστάμενος περὶ τούτων ὁμοίως μὲν τέκτων, ὁμοίως δὲ χαλκεύς, σκυτοτόμος, ἔμπορος, ναύκληρος, πλούσιος, πένης, γενναῖος, ἀγεννὴς καὶ τούτοις οὐδεὶς τοῦτο ἐπιπλήττει ὅτι οὐδαμόθεν μαθών, οὐδὲ ὄντος διδασκάλου οὐδενὸς αὐτῷ, ἔπειτα συμβουλεύειν ἐπιχειρεῖ.»

1. Περὶ τῆς γραφῆς τῆς μετοχῆς ὑπάρχει διαφωνία παρὰ τοῖς κριτικοῖς. Τὰ ἄριστα χειρόγραφα ἔχουσι πράξαντες, ὅπερ δικαίως προτιμᾷ ὁ Cron, ὡς μαρτυρεῖ καὶ τὸ ἑπόμενον «Ἐπιχειρήσαντες δημοσιεύειν παρεκαλοῦμεν». Τὴν κοινὴν γραφὴν ὑποστηρίζει ὁ Kratz. Διὰ μὲν τοῦ ἀορίστου δηλοῦται, ὅτι ἐγένετο ἤδη ἔναρξις τοῦ πολιτεύεσθαι, διὰ δὲ τοῦ μέλλοντος παρίσταται μόνον ὡς σκοπὸς τοῦ λέγοντος.

2. Ἡ γενικὴ αὕτη ἐξαρτᾶται ἐκ τοῦ ἐννοουμένου τί, ὅπερ συχνάκις παραλείπεται, ὡς ἐν ἐν Νόμ. VI, 761, A. «Ἐπιχειροῦντες λαμβάνειν τε καὶ φέρειν τῶν ἐν ταῖς γεωργίαις.» καὶ ἐν Πολιτ. IV, περὶ τὸ τέλος καὶ ἐν Σοφιστ. 232, B.

3. Εἶναι προσδιορισμὸς τοῦ παρεκαλοῦμεν.

4. Ἀκριβέστερον ἔπρεπε νὰ εἴπῃ, ἠπιστάμεθα, διότι ἡ πρᾶξις φαίνεται ἀναφερομένη εἰς τὸ παρελθόν. Ἀλλ' ὅτι δὲν πρέπει νὰ μεταβληθῇ τι, μαρτυρεῖ τὸ ἑπόμενον ᾠκοδομήκαμεν.

5. Ἐπειδὴ ἡ πρότασις ἐγένετο μακρά, ἐπανέλαβε τὸ ἔδει καὶ οὕτω προστίθησι καὶ τὸ δεύτερον μέρος τῆς ἐρωτήσεως.

6. Κεῖται ἀντὶ τοῦ δεύτερον δέ· ἐκ δὲ τῶν ἡγουμένων πρέπει νὰ νοηθῇ ἡ φράσις, ἔδει ἂν ἡμᾶς σκέψασθαι.

7. Τὸ μὲν πρῶτον εἶναι ἡ γνῶσις, τὸ δὲ δεύτερον ἡ χρῆσις, ἥτις ἔχει καὶ δυσχερείας καὶ εἶναι κύρωσις τῆς γνώσεως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τας καὶ οἰκοδομήματα πολλὰ μὲν καὶ καλὰ μετὰ τῶν διδασκά- C
λων[1] ᾠκοδομημένα ἡμῖν, πολλὰ δὲ καὶ διὰ ἡμῶν, ἐπειδὴ τῶν διδασκάλων ἀπηλλάγημεν, οὕτω μὲν διακειμένων[2] νοῦν ἐχόντων ἦν ἂν ἰέναι ἐπὶ τὰ δημόσια ἔργα· εἰ δὲ[3] μήτε διδάσκαλον εἴχομεν ἡμῶν αὐτῶν ἐπιδεῖξαι οἰκοδομήματά τε ἢ μηδὲν ἢ πολλὰ καὶ μηδενὸς ἄξια, οὕτω δὲ ἀνόητον ἦν[4] δήπου ἐπιχειρεῖν τοῖς δημοσίοις ἔργοις καὶ παρακαλεῖν ἀλλήλους ἐπ' αὐτά. φῶμεν ταῦτα ὀρθῶς λέγεσθαι ἢ οὔ; D

ΚΑΛ. Πάνυ γε.

LXX. ΣΩ. Οὐκοῦν οὕτω πάντα,[5] τά τε ἄλλα, κἂν εἰ ἐπιχειρήσαντες δημοσιεύειν[6] παρεκαλοῦμεν ἀλλήλους ὡς ἱκανοὶ ἰατροὶ ὄντες, ἐπεσκεψάμεθα δήπου ἄν[7] ἐγώ τε σὲ καὶ σὺ ἐμέ, φέρε πρὸς θεῶν, αὐτὸς δὲ[8] ὁ Σωκράτης πῶς ἔχει τὸ σῶμα πρὸς[9] ὑγίειαν; ἢ ἤδη τις ἄλλος διὰ Σωκράτην ἀπηλλάγη νόσου, ἢ δοῦλος[10] ἢ ἐλεύθερος; κἂν ἐγώ, οἶμαι, περὶ σοῦ ἕτερα τοιαῦτα ἐσκόπουν· καὶ E

1. Τὰ πρῶτα ἔργα κατὰ τὴν γνώμην τοῦ Σωκράτους εἶναι ἀνάγκη νὰ γίνωνται ὑπὸ τὴν ἐπιστασίαν διδασκάλου.

2. Ἰσοδυναμεῖ πρὸς τό, εἰ οὕτω μὲν διεκείμεθα. Ἡ μὲν πρώτη γενικὴ εἶναι ἀπόλυτος, ἡ δὲ δευτέρα ἀνήκει εἰς τὸ ῥῆμα ὡς καὶ 500, Α. «Ἆρ' οὖν παντὸς ἀνδρός ἐστιν ἐκλέξασθαι.»

3. Ἐνταῦθα ἐξετάζει τὸ πρᾶγμα ὑπὸ ἀντίθετον ὄψιν.

4. Ὁ Heindorf ἐπίστευεν, ὅτι ἐξέπεσε τοῦ κειμένου τὸ ἄν.

5. Ἡ φράσις αὕτη δεικνύει, ὅτι ὁ Σωκράτης ἔφθασεν εἰς τὸ τέλος τῆς ἐπαγωγῆς, ὅμως φέρει ἔτι ἓν παράδειγμα πρὸς κύρωσιν τῆς ἑαυτοῦ θεωρίας.

6. Τὸ ῥῆμα τοῦτο ἔχει μὲν γενικὴν σημασίαν, δηλ. σημαίνει λαμβάνειν δημοσίαν ὑπηρεσίαν, ὅμως εἰδικώτερον λέγεται περὶ τῶν ἰατρῶν. Ὅρα 455, Β.

7. Ἐπανελήφθη ὁ ἄν χάριν σαφηνείας, ὡς ἀλλαχοῦ, 475, Ε καὶ 465 C.

8. Ὁ δὲ τίθεται συχνάκις εἰς ἐρωτήσεις, ἵνα καταστήσῃ αὐτὰς ζωηροτέρας· διότι ὁ ἐρωτῶν συνδέει τὸν ἑαυτοῦ λόγον τῷ τοῦ ἄλλου, ὡς Ξενοφ. ἐν Ἀπομν. II, 1, 26. «Καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα, Ὦ γύναι, ἔφη, ὄνομα δέ σοι τί ἐστιν;»

9. Ἡ πρὸς μετὰ τῆς αἰτιατικῆς σημαίνει σχέσιν. Ἂν ὁ Σωκράτης ἦτο ἀγαθὸς ἰατρός, ἤθελε διατηρεῖ κατὰ πρῶτον τὸ ἴδιον σῶμα ἐν εὐεξίᾳ.

10. Προτάσσει τὸν δοῦλον τοῦ ἐλευθέρου, διότι νέοι ἰατροὶ ἠσκοῦντο

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰ μὴ ηὑρίσκομεν δι' ἡμᾶς μηδένα[1] βελτίω γεγονότα τὸ σῶμα, μήτε τῶν ξένων μήτε τῶν ἀστῶν, μήτε ἄνδρα μήτε γυναῖκα, πρὸς Διός, ὦ Καλλίκλεις, οὐ καταγέλαστον ἂν ἦν τῇ ἀληθείᾳ, εἰς τοσοῦτον ἀνοίας ἐλθεῖν ἀνθρώπους,[2] ὥστε, πρὶν ἰδιωτεύοντας πολλὰ μὲν ὅπως ἐτύχομεν[3] ποιῆσαι, πολλὰ δὲ κατορθῶσαι καὶ γυμνάσασθαι ἱκανῶς τὴν τέχνην,[4] τὸ λεγόμενον δὴ τοῦτο ἐν τῷ πίθῳ τὴν κεραμείαν[5] ἐπιχειρεῖν μανθάνειν, καὶ αὐτούς τε δημοσιεύειν ἐπιχειρεῖν καὶ ἄλλους τοιούτους παρακαλεῖν; οὐκ ἀνόητόν σοι δοκεῖ ἂν εἶναι οὕτω πράττειν;

ΚΑΛ. Ἔμοιγε.

θεραπεύοντες δούλους. Ἄλλως χρησιμεύει, ἵνα καταστήσῃ τὸν λόγον πλήρη.

1. Ἀφ' οὗ προέταξε τὸ μή, ἔπρεπε νὰ εἴπῃ τινά.

2. Δὲν εἶπεν ἡμᾶς, ὡς ἀπήτει ἡ σειρὰ τοῦ λόγου, ἀλλ' ἔθηκεν ἀνθρώπους, ἵνα ποιήσῃ ἀντίθεσιν πρὸς τὴν ἄνοιαν, δηλαδὴ ἐν ᾧ ἡμεῖς εἴμεθα ἄνθρωποι καὶ ἔχομεν νοῦν, περιεπέσαμεν εἰς τοσαύτην ἀνοησίαν. Σημειωτέον, ὅτι ὁ Deuschle ἀθετεῖ τὴν φράσιν, εἰς τοσοῦτον ἀνοίας ἐλθεῖν ἀνθρώπους, ὅπερ ὁ Keck ἀποδοκιμάζει. Ἡ δυσκολία κεῖται ἐν τούτῳ, ὅτι ὄντως εἶναι γελοῖον τὸ ἐπιχειρεῖν μανθάνειν τὴν κεραμείαν ἐν πίθῳ, ἀλλὰ τοῦτο εἶναι γελοῖον οὐχὶ διότι οἱ ἐπιχειροῦντες εἶναι ἄνθρωποι. Αἴρεται ὅμως ἡ δυσκολία, ἂν ἐξηγήσωμεν τὴν παροιμίαν κατὰ τὴν πραγματικὴν αὐτῆς σημασίαν, δηλ. εἶναι γελοῖον, ὅτι οἱ ἄνθρωποι περιπίπτουσιν εἰς τοσαύτην ἀνοησίαν.

3. Ποιεῖ ἀντίθεσιν πρὸς τὸ κατορθῶσαι· πρὶν ὡς ἰδιωτικοὶ ἰατροὶ νὰ κάμωμεν πολλά, ὡς ἔτυχε (δηλ. εἴτε ἐπετύχομεν εἴτε ἀπετύχομεν) καὶ πρὶν νὰ κατορθώσωμεν πολλὰ καὶ γυμνασθῶμεν ἱκανῶς εἰς τὴν τέχνην, ἤθελεν εἶναι γελοῖον νὰ ἐπιχειρῶμεν μεγάλα, δηλ. νὰ μετερχώμεθα τὸν δημόσιον ἰατρόν.

4. Ἀντὶ νὰ εἴπῃ ἐν τῇ τέχνῃ.

5. Περὶ τῆς παροιμίας ὁ Ἡσύχιος λέγει· «Ἐν πίθῳ τὴν κεραμείαν μανθάνω. Παροιμία ἐπὶ τῶν τὰς πρώτας μαθήσεις, ὑπερβαινόντων καὶ ἁπτομένων εὐθέως τῶν μεγάλων καὶ τελείων· ὡς εἴ τις μανθάνων κεραμεύειν, πρὶν μαθεῖν πίνακας ἢ ἄλλο τι τῶν μικρῶν πλάττειν, πίθῳ ἐγχειρεῖ.» Τὴν παροιμίαν ἔχει ὁ Πλάτων καὶ ἐν Λάχητι, 187, «Εἰ γὰρ νῦν ἄρξεσθε πρῶτον παιδεύειν, σκοπεῖν χρή, μὴ οὐκ ἐν τῷ Καρὶ ὑμῖν ὁ κίνδυνος κινδυνεύηται, ἀλλ' ἐν τοῖς υἱέσι τε καὶ ἐν τοῖς τῶν φίλων παισὶ καὶ ἀτεχνῶς τὸ λεγόμενον κατὰ τὴν παροιμίαν ὑμῖν συμβαίνῃ ἐν πίθῳ ἡ κεραμεία γιγνομένη.» Ἡ παροιμία αὕτη ἔχει τὴν ἔννοιαν, ἣν ἐν τοῖς ἔμπροσθεν ἡ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Νῦν δέ, ὦ βέλτιστε[1] ἀνδρῶν, ἐπειδὴ σὺ μὲν αὐτὸς ἄρτι[2] 515
ἄρχει πράττειν τὰ τῆς πόλεως πράγματα, ἐμὲ δὲ παρακαλεῖς
καὶ ὀνειδίζεις ὅτι οὐ πράττω, οὐκ ἐπισκεψόμεθα ἀλλήλους, φέρε,
Καλλικλῆς ἤδη τινὰ βελτίω πεποίηκε τῶν πολιτῶν; ἔστιν ὅστις
πρότερον πονηρὸς[3] ὤν, ἄδικός τε καὶ ἀκόλαστος καὶ ἄφρων, διὰ
Καλλικλέα καλός τε κἀγαθὸς γέγονεν, ἢ ξένος ἢ ἀστός, ἢ δοῦλος
ἢ ἐλεύθερος;[4] λέγε μοι, ἐάν τίς σε ταῦτα ἐξετάζῃ, ὦ Καλλίκλεις
τί ἐρεῖς; τίνα φήσεις βελτίω πεποιηκέναι ἄνθρωπον τῇ συνουσίᾳ Β
τῇ σῇ[5]; ὀκνεῖς ἀποκρίνασθαι, εἴπερ ἔστι τι ἔργον σὸν ἔτι[6] ἰδιω-
τεύοντος, πρὶν δημοσιεύειν ἐπιχειρεῖν;

ΚΑΛ. Φιλόνεικος[7] εἶ, ὦ Σώκρατες.

LXXI ΣΩ. Ἀλλ' οὐ φιλονεικίᾳ γε ἐρωτῶ, ἀλλ' ὡς ἀληθῶς βου-
λόμενος εἰδέναι, ὁντινά ποτε τρόπον οἴει δεῖν πολιτεύεσθαι ἐν

φράσις 497, C. «Τὰ μεγάλα με-
μύηται πρὶν τὰ σμικρά.»

1. Ἡ προσαγόρευσις αὕτη γί-
νεται μετά τινος πάθους.

2. Καὶ ὑπὸ τὴν ἔποψιν ταύτην
καλῶς ἐποίησεν ὁ Πλάτων, ὅτι ἐ-
πιχειρεῖ νὰ διδάξῃ ἄρτι πολιτευό-
μενον. Διότι οἱ ἐν κακοῖς γηράσαν-
τες ἐμμένουσιν ἐν τοῖς μεμαθημέ-
νοις. Ὁ Σωκράτης πάντοτε παρώ-
τρυνε τοὺς Ἀθηναίους νὰ ἐπιμε-
λῶνται ἑαυτῶν καὶ τῆς ἠθικῆς τῶν
πολιτῶν, Ἀπολογ. 36, C. «Ἐπι-
χειρῶν ἕκαστον ὑμῶν πείθειν μὴ
πρότερον μήτε τῶν ἑαυτοῦ μηδενὸς
ἐπιμελεῖσθαι, πρὶν ἑαυτοῦ ἐπιμε-
ληθείη, ὅπως ὡς βέλτιστος καὶ φρο-
νιμώτατος ἔσοιτο, μήτε τῶν τῆς
πόλεως, πρὶν αὐτῆς τῆς πόλεως».

3. Τὸ ἐπίθετον πονηρὸς θεωρεῖ
ὡς γένος, οὗ εἴδη εἶναι ὁ ἄδικος,
ὁ ἀκόλαστος καὶ ὁ ἄφρων.

4. Ἐνταῦθα δείκνυται τὸ γενικὸν
πνεῦμα τοῦ Σωκράτους, ὅστις κή-
δεται τῆς βελτιώσεως τῶν ἀστῶν,
ὡς καὶ τῶν ξένων, τῶν ἐλευθέρων,
ὡς καὶ τῶν δούλων.

5. Ἡ κτητικὴ ἀντωνυμία ἐτέθη
μετὰ τὸ οὐσιαστικὸν πρὸς ἔμφα-
σιν. Αἱ πολλαὶ ἐρωτήσεις προϋ-
ποθέτουσιν ἐν τῷ μεταξὺ παύ-
σεις.

6. Ὁ Καλλικλῆς κατὰ τὴν
γνώμην τοῦ Σωκρατους ἠδύ-
νατο νὰ πολιτευηται, ἂν ἐποίει,
ὅσα ἐν τοῖς ἔμπροσθεν ἔλεγεν ὁ φι-
λόσοφος.

7. Ἐπειδὴ ὁ Καλλικλῆς περιῆλ-
θεν εἰς δυσχερῆ θέσιν, πειρᾶται
διὰ τῆς ἀτομικῆς προσβολῆς τοῦ
Σωκράτους νὰ ἀποφύγῃ τὸν ἔλεγ-
χον. Εἶναι ἀληθές, ὅτι ὁ φιλόσο-
φος ἥψατο τοῦ προσώπου τοῦ πο-
λιτικοῦ, ἀλλὰ τοῦτο ἐποίησε χάριν
τῆς θεωρίας, ἧς παράδειγμα εἶναι
ὁ Καλλικλῆς, 457, E. «Φοβοῦμαι
οὖν διελέγχειν σε, μή με ὑπολά-
βῃς οὐ πρὸς τὸ πρᾶγμα φιλονει-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡμῖν[1]. ἢ ἄλλου του ἄρα ἐπιμελήσει ἡμῖν ἐλθὼν ἐπὶ τὰ τῆς πό-
C λεως πράγματα, ἢ ὅπως ὅ τι βέλτιστοι οἱ[2] πολῖται, ὦμεν; ἢ οὐ
πολλάκις ἤδη ὡμολογήκαμεν τοῦτο δεῖν πράττειν τὸν πολιτικὸν
ἄνδρα; ὡμολογήκαμεν ἢ οὔ;[3] ἀποκρίνου. ὡμολογήκαμεν· ἐγὼ
ὑπὲρ[4] σοῦ ἀποκρινοῦμαι. εἰ τοίνυν τοῦτο δεῖ τὸν ἀγαθὸν ἄνδρα
παρασκευάζειν τῇ ἑαυτοῦ πόλει, νῦν μοι ἀναμνησθεὶς εἰπὲ περὶ
ἐκείνων τῶν ἀνδρῶν ὧν[5] ὀλίγῳ πρότερον ἔλεγες, εἰ ἔτι σοι δοκοῦ-
D σιν ἀγαθοὶ πολῖται[6] γεγονέναι, Περικλῆς[7] καὶ Κίμων καὶ Μιλ-
τιάδης καὶ Θεμιστοκλῆς.

ΚΑΛ. Ἔμοι γε.

ΣΩ. Οὐκοῦν εἴπερ ἀγαθοί, δῆλον ὅτι ἕκαστος αὐτῶν βελτίους
ἐποίει τοὺς πολίτας ἀντὶ[8] χειρόνων. ἐποίει ἢ οὔ;

ΚΑΛ. Ἐποίει.

ΣΩ. Οὐκοῦν ὅτε Περικλῆς ἤρχετο λέγειν[9] ἐν τῷ δήμῳ χείρους
ἦσαν οἱ Ἀθηναῖοι ἢ ὅτε τὰ τελευταῖα ἔλεγεν;

ΚΑΛ. Ἴσως

κοῦντα λέγειν τοῦ καταφανὲς γενέσθαι, ἀλλὰ πρὸς σέ.»

1. Ἔχει τὴν αὐτὴν σημασίαν, ὡς ἐν πολίταις, ἐν τῷ δήμῳ.

2. Παραδόξως ὁ Stallbaum ἀκολουθῶν τῷ τολμηρῷ Hirschig ἐξήλειψε τὸ ἄρθρον. Οὕτω τὸ βέλτιστοι πολῖται γίνεται κατηγορούμενον.

3. Ὁ Καλλικλῆς σιωπᾷ. Ἀποκρίνεται ὅμως ὁ φιλόσοφος ἀντὶ τοῦ πολιτικοῦ, ὅπερ ποιεῖ ὁ Σωκράτης, ὁσάκις ὁ διαλεγόμενος δὲν θέλῃ νὰ ἀποκριθῇ.

4. Ἠδύνατο νὰ μεταχειρισθῇ τὴν ἀντί, ἀλλὰ θέλει νὰ δείξῃ σύναμα, ὅτι τοῦτο γίνεται χάριν τοῦ Καλλικλέους.

5. Περὶ τούτων ἔλεγεν ἐν 503. C.

6. Σημαίνει τὸν πολιτικόν, ὡς καὶ παρὰ Θουκυδ. III, 42, 5, «Χρὴ τὸν ἀγαθὸν πολίτην μὴ ἐκφοβοῦντα τοὺς ἀντεροῦντας, ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι ἄμεινον λέγοντα.»

7. Ὅρα, ὅτι τὰ ὀνόματα ταῦτα δὲν τίθενται ὡς ἐπεξήγησις τοῦ ἐκείνων τῶν ἀνδρῶν, ὡς περιέμενέ τις, ἀλλὰ τοῦ ὑποκειμένου τοῦ δοκοῦσιν.

8. Ἐνταῦθα ἠδύνατό τις νὰ περιμένῃ τὴν ἐκ πρόθεσιν.

9. Ἐννοεῖ τὴν πρώτην εἴσοδον τοῦ Περικλέους εἰς τὰ πολιτικά, δηλαδὴ ἰσοδυναμεῖ πρὸς τό, ἔρχεσθαι ἐπὶ τὰ τῆς πόλεως πράγματα· διότι ἡ ῥητορικὴ ἦτο τὸ πρῶτον προσὸν ἑκάστου πολιτικοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΩ. Οὐκ ἴσως[1] δή, ὦ βέλτιστε, ἀλλ' ἀνάγκη[2] ἐκ τῶν ὡμολογημένων, εἴπερ ἀγαθός γ' ἦν ἐκεῖνος πολίτης. Ε

ΚΑΛ. Τί οὖν δή;[3]

ΣΩ. Οὐδέν· ἀλλὰ τόδε μοι εἰπὲ ἐπὶ τούτῳ, εἰ λέγονται Ἀθηναῖοι διὰ Περικλέα βελτίους γεγονέναι, ἢ πᾶν τοὐναντίον διαφθαρῆναι[4] ὑπ' ἐκείνου. ταυτὶ γὰρ ἔγωγε ἀκούω, Περικλέα πεποιηκέναι Ἀθηναίους ἀργοὺς[5] καὶ δειλοὺς[6] καὶ λάλους[7] καὶ φιλαργύρους[8], εἰς μισθοφορίαν[9] πρῶτον καταστήσαντα.

1. Ἡ πολιτικὴ τοῦ Περικλέους ἐν πολλοῖς ὠφελησε τοὺς Ἕλληνας καὶ καθ' ὅλου τὸν πολιτισμόν, ἀλλ' οὐχὶ ὀλίγον διέφθειρε τοὺς Ἀθηναίους. Τοῦτο ἦτο πεποίθησις, ὡς φαίνεται, παρὰ τοῖς ἐλλογιμωτέροις τῶν ἀρχαίων. Ἂν ὁ Περικλῆς ἦτο ἀγαθὸς πολιτικός, ἔπρεπε νὰ καταστήσῃ τοὺς Ἀθηναίους ἠθικωτέρους. Ἄρα πρότερον ἦσαν ἀνηθικώτεροι. Τοῦτο ἐξ ἀνάγκης ὤφειλε νὰ ὁμολογήσῃ ὁ Καλλικλῆς, ἂν ὄντως ὁ Περικλῆς ἦτο ἀγαθὸς πολιτικός. Ἀμφιταλάντευσις δὲν δύναται νὰ ὑπάρξῃ.

2. Δύναται νὰ συμπληρωθῇ διὰ τῆς φράσεως, τοὺς Ἀθηναίους τότε χείρους εἶναι.

3. Δηλαδὴ τοῦτο διαφέρει. Παράβαλλ. καὶ 453, Β.

4. Ὁ Πλούταρχος ἐν βίῳ Περικλέους IX λέγει «Πολλοὶ πρῶτον ὑπ' ἐκείνου φασὶ τὸν δῆμον ἐπὶ κληρουχίας καὶ θεωρικὰ καὶ μισθῶν διανομὰς προαχθῆναι, κακῶς ἐθισθέντα καὶ γενόμενον πολυτελῆ καὶ ἀκόλαστον ὑπὸ τῶν τότε πολιτευμάτων ἀντὶ σώφρονος καὶ αὐτουργοῦ.»

5. Ἀπὸ τοῦ Περικλέους καὶ ἐφεξῆς ἐδίδετο μισθὸς στρατιωτικός, δικαστικός, ἐκκλησιαστικὸς καὶ θεωρικός. Ἐπειδὴ δὲ οὕτως οἱ Ἀθηναῖοι ἔζων ἐκ τοῦ ταμείου τῆς πολιτείας, κατέλιπον τὰ ἴδια ἔργα, ἐγένοντο ἀργοὶ καὶ δυστυχεῖς.

6. Δειλοὶ οἱ Ἀθηναῖοι ἐν τοῖς χρόνοις τοῦ Περικλέους δὲν ἦσαν, ἀλλὰ βραδύτερον ἐν τοῖς χρόνοις τοῦ Δημοσθένους, ὅτε δὲν ἤθελον νὰ στρατεύσωσιν οἱ ἴδιοι. Ὥστε ὁ Πλάτων μετά τινος ὑπερβολῆς ἀποφαίνεται περὶ τῶν τότε Ἀθηναίων.

7. Ὑπὸ τοῦ Περικλέους τὸ δημοκρατικὸν πολίτευμα ἀνεπτύχθη ὡς οἷόν τε μάλιστα, ἡ δὲ δημοκρατία ἀναδεικνύει τοὺς πολίτας λαλιστέρους ἑαυτῶν.

8. Οἱ Ἀθηναῖοι ἀπὸ τοῦ Περικλέους ἤρξαντο ἀγαπῶντες μᾶλλον νὰ λαμβάνωσι παρὰ τῆς πολιτείας ἢ νὰ συνεισφέρωσιν ὑπὲρ αὐτῆς.

9. Ἰδίως μισθοφοράν οἱ ἀρχαῖοι ἔλεγον τὸν μισθὸν τῶν στρατευομένων. Φαίνεται ὅμως, ὅτι ἐννοεῖ καὶ τοὺς ἄλλους μισθούς. Ὁ Ἀριστοτέλης λέγει, Πολιτ. Π, περὶ τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΛ. Τῶν τὰ ὦτα κατεαγότων[1] ἀκούεις ταῦτα, ὦ Σώκρατες.

ΣΩ. Ἀλλὰ τάδε οὐκέτι ἀκούω, ἀλλ' οἶδα σαφῶς καὶ ἐγὼ καὶ σύ, ὅτι τὸ μὲν πρῶτον ηὐδοκίμει Περικλῆς καὶ οὐδεμίαν αἰσχρὰν δίκην κατεψηφίσαντο αὐτοῦ οἱ Ἀθηναῖοι, ἡνίκα χείρους ἦσαν· 516 ἐπειδὴ δὲ καλοὶ κἀγαθοὶ[3] ἐγεγόνεσαν ὑπ' αὐτοῦ, ἐπὶ τελευτῇ τοῦ βίου τοῦ Περικλέους, κλοπὴν αὐτοῦ κατεψηφίσαντο,[3] ὀλίγου δὲ καὶ θανάτου ἐτίμησαν, δῆλον ὅτι ὡς πονηροῦ ὄντος.

LXXII. ΚΑΛ. Τί οὖν; τούτου ἕνεκα κακὸς ἦν Περικλῆς;

τέλος. «Τὰ δικαστήρια μισθοφόρα κατέστησε Περικλῆς.»

2. Δηλαδὴ χάριν τῆς ὑμετέρας ὑγείας. Ἀντὶ τοῦ ἑπομένου ὁπόσον περιέμενέ τις ὁπόσον.

3. Τὸ ἀναβοᾶν εἶναι σημεῖον ἀποδοκιμασίας. Τοῦτο τυχνάκις ἐγένετο ἐν τῇ δίκῃ τοῦ Σωκράτους καὶ τούτου ἕνεκεν ὁ ἀπολογούμενος φιλόσοφος ἠναγκάζετο νὰ παρακαλῇ τοὺς δημοκρατικοὺς δικαστάς, ὅπως μὴ θορυβῶσιν. Ὅρα Ἀπολογ. 30. C.

4. Ἐπειδὴ ὁ θόρυβος τοιούτων ἀνθρώπων πρὸς ἔνδειξιν ἀποδοκιμασίας δὲν ἀντίκειται πρὸς τὸ συμφέρον τοῦ Καλλικλέους, ὁ πολιτικὸς ὁμολογεῖ τοῦτο. Διότι οὗτος δὲν ἀποβλέπει εἰς τὴν ποιότητα τῶν κριτῶν, ἀλλὰ μόνον εἰς τὸ ἀποτέλεσμα.

5. Τὸ ἔχεσθαι οὐχὶ σπανίως συντάσσεται μετὰ τῆς ἐν καὶ δοτικῆς, ὡς Πλάτ. ἐν Πολιτ. III, 395, D. «Γυναῖκα—ἐν ξυμφοραῖς τε καὶ πένθεσι καὶ θρήνοις ἐχομένην.» καὶ Ἡρόδοτ. IX, 98. «Ἐν ἀπορίῃ εἶχοντο ὅ τι ποιέωσι»

6. Ἐν ᾧ προηγεῖται τὸ οὔτε, ἕπεται τὸ τέ, ἐν τῇ φράσει ἐάν τέ τίς με .... Ἡ τοιαύτη ὅμως σύνταξις εὑρηται καὶ ἀλλαχοῦ, ἐν Ἀπολογ. 26, C. «Ἡ παντάπασί με φῂς οὔτε αὐτὸν νομίζειν θεοὺς τούς τε ἄλλους ταῦτα διδάσκειν.» Παράβαλλ. καὶ Συμποσ. 223, C.

7. Ἂν καὶ ἡ πρότασις αὕτη συνδέεται διὰ τοῦ δὲ μετὰ τῆς προηγουμένης ἀναφορικῆς, ὅμως εἶναι ὅλως ἀνεξάρτητος ταύτης.

8. Οὐχὶ ἀπιθάνως ὁ Hirschig προστίθησι τὸ ἄρθρον, τούς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέρους κακηγορείν[1] λέγοντα πικρούς[2] λόγους ἢ ἰδίᾳ ἢ δημοσίᾳ,
C οὔτε τὸ ἀληθὲς ἔξω εἰπεῖν, ὅτι δικαίως πάντα ταῦτα ἐγὼ λέγω, καὶ πράττω τὸ ὑμέτερον[3] δὴ τοῦτο, ὦ ἄνδρες δικασταί, οὔτε ἄλλο οὐδέν· ὥστε ἴσως, ὅτι ἂν τύχω, τοῦτο πείσομαι.

ΚΑΛ. Δοκεῖ οὖν σοι, ὦ Σώκρατες, καλῶς ἔχειν ἄνθρωπος ἐν πόλει οὕτω διακειμενος καὶ[4] ἀδύνατος ὢν ἑαυτῷ βοηθεῖν;

ΣΩ. Εἰ ἐκεῖνό[5] γε ἐν αὐτῷ ὑπάρχοι, ὦ Καλλίκλεις, ὃ σὺ πολλάκις ὡμολόγησας· εἰ βεβοηθηκὼς εἴη αὐτῷ, μήτε περὶ ἀνθρώπους
D μήτε περὶ θεοὺς ἄδικον μηδὲν μήτε εἰρηκὼς μήτε εἰργασμένος· αὕτη[6] γάρ τις βοήθεια ἑαυτῷ πολλάκις ἡμῖν ὡμολόγηται κρατίστη εἶναι. εἰ μὲν οὖν ἐμέ τις ἐξελέγχοι ταύτην τὴν βοήθειαν ἀδύνατον ὄντα ἐμαυτῷ καὶ ἄλλῳ βοηθεῖν, αἰσχυνοίμην ἂν καὶ ἐν πολλοῖς καὶ ἐν ὀλίγοις ἐξελεγχόμενος καὶ μόνος ὑπὸ μόνου, καὶ εἰ

1. Ὁ φιλόσοφος ἐπίστευεν, ὅτι ἐπέμφθη ὑπὸ τοῦ θείου, ὅπως ὀνειδίζῃ τοὺς ἀνθρώπους, ἐν Ἀπολογ. 30, Ε. «Δοκεῖ ὁ θεὸς ἐμὲ τῇ πόλει προστεθεικέναι τοιοῦτόν τινα, ὃς ὑμᾶς ἐγείρων καὶ πείθων καὶ ὀνειδίζων ἕνα ἕκαστον οὐδὲν παύομαι.»

2. Λέγει τοῦτο ἐν σχέσει πρὸς τὰ πικρότατα πόματα διδούς.

3. Ὁμοιάζει πρὸς τὸ ἐν τοῖς ἔμπροσθεν εἰρημένον, τὸ σὸν σπεύδειν ἐν 455 C. Τοῦτο ὁ Πλάτων σαφέστερον ἀναπτύσσει ἐν τῇ Ἀπολογίᾳ 31 Α. «Οὐ γὰρ ἀνθρωπίνῳ ἔοικε τὸ ἐμὲ τῶν μὲν ἐμαυτοῦ ἀπάντων ἠμεληκέναι καὶ ἀνέχεσθαι τῶν οἰκείων ἀμελουμένων τοσαῦτα ἤδη ἔτη, τὸ δὲ ὑμέτερον πράττειν ἀεί, ἰδίᾳ ἑκάστῳ προσιόντα ὥσπερ πατέρα ἢ ἀδελφὸν πρεσβύτερον, πείθοντα ἐπιμελεῖσθαι ἀρετῆς.»

4. Συντακτικῶς φαίνεται, ὅτι ὁ καὶ προσθέτει νέαν ἰδέαν, ἐν ᾧ κατ' ἔννοιαν εἶναι μόνον ἐπεξήγησις τοῦ οὕτω διακείμενος. Τοῦτο ἠδύνατο νὰ ἐκφρασθῇ διὰ τοῦ ὥστε.

5. Ἐκεῖνο εἶναι τὸ δηλούμενον διὰ τῆς ἑπομένης προτάσεως. Ἡ κοινὴ γραφὴ εἶναι ὑπάρχει, ἀλλὰ προτιμητέα ἡ εὐκτική, ὡς μαρτυρεῖ ἡ ἑπομένη ἐπεξήγησις βεβοηθηκὼς εἴη. Τὴν ἀπόδοσιν πρέπει νὰ ἐννοήσωμεν ἐκ τῆς προηγουμένης ἐρωτήσεως.

6. Ὁ Deuschle ἔγραψε τοιαύτη τις καὶ ἔτυχε τῆς ἐπιδοκιμασίας τοῦ Keck. Ἀλλ' ὀρθῶς ὁ Cron παρατηρεῖ, ὅτι δὲν ὑπάρχει ἀνάγκη πρὸς μεταβολήν· διότι ἡ ἀντωνυμία αὕτη ἀναφέρεται εἰς τὴν προηγουμένην φράσιν, μήτε εἰργασμένος. Δὲν μετεχειρίσθη τὸ ἄρθρον, ἀλλὰ τὴν ἀόριστον ἀντωνυμίαν, ἵνα μετριάσῃ τὸν κατηγορηματικὸν τόνον τῆς ἐκφράσεως αὐτοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διά ταύτην τὴν ἀδυναμίαν[1] ἀποθνήσκοιμι, ἀγανακτοίην ἄν· εἰ δὲ κολακικῆς ῥητορικῆς ἐνδεὴς τελευτῴην ἔγωγε,[2] εὖ οἶδα ὅτι ῥᾳδίως ἴδοις ἄν με φέροντα τὸν θάνατον[3]. αὐτὸ μὲν γὰρ τὸ ἀποθνήσκειν οὐδεὶς φοβεῖται, ὅστις μὴ παντάπασιν ἀλόγιστός τε[4] καὶ ἀνανδρός ἐστι, τὸ δὲ ἀδικεῖν φοβεῖται· πολλῶν γὰρ ἀδικημάτων γέμοντα τὴν ψυχὴν εἰς Ἅιδου ἀφικέσθαι πάντων ἔσχατον κακῶν ἐστιν. εἰ δὲ βούλει, σοὶ ἐγώ, ὡς τοῦτο οὕτως ἔχει, ἐθέλω λόγον[5] λέξαι. E

ΚΑΛ. Ἀλλ' ἐπείπερ γε καὶ τἆλλα ἐπέρανας, καὶ τοῦτο πέρανον.

LXXIX. ΣΩ. Ἄκουε δή, φασί,[6] μάλα καλοῦ λόγου, ὃν σὺ μὲν ἡγήσει μῦθον, ὡς ἐγὼ οἶμαι, ἐγὼ δὲ λόγον·[7] ὡς ἀληθῆ γὰρ ὄντα 523

1. Κατ' ἔννοιαν προσεγγίζει εἰς τὴν σημασίαν τοῦ ἀδικίαν. Διότι τὸ αἰσχρὸν κεῖται οὐχὶ ἐν τῇ ἐξελέγξει ἐνώπιον πολλῶν ἢ ὀλίγων ἀνθρωπων, ἀλλ' ἐν τῷ πράγματι αὐτῷ, δηλ. ὄντως ὁ Σωκράτης ἠδίκησεν.

2. Τὴν γνώμην ταύτην ὁ φιλόσοφος εἶχε μέχρι θανάτου, ὡς λέγει ὁ Πλάτων ἐν τῇ Ἀπολογίᾳ 38 E «Οὔτε νῦν μοι μεταμέλει οὕτως ἀπολογησαμένῳ, ἀλλὰ πολὺ μᾶλλον αἱροῦμαι ὧδε ἀπολογησάμενος τεθνάναι ἢ ἐκείνως ζῆν.»

3. Ἐν τῷ δεσμωτηρίῳ ὁ Κρίτων λέγει πρὸς τὸν Σωκράτη. «Καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ εὐδαιμόνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστα ἐν τῇ νυνὶ παρεστώσῃ ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πράως φέρεις.» Κρίτων 43. B.

4. Ἡ κοινὴ γραφὴ ἦτο ἄλογος, ἥτις δικαίως ὑπὸ τῶν κριτικῶν ἀποδοκιμάζεται, ὡς δεικνύουσιν ἀνάλογα χωρία, Πλάτων ἐν Ἀπολογίᾳ, 36, C. «Πολλὴ μέντ' ἄν με φιλοψυχία ἔχοι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ οὕτως ἀλόγιστός εἰμι, ὥστε μὴ δύνασθαι λογίζεσθαι.» Δημοσθ. κατὰ Μειδ. 36 «Τίς οὕτως ἀλόγιστος ἢ τίς οὕτως ἀθλιός ἐστιν, ὅστις ἑκὼν ἄν μίαν δραχμὴν ἐθελήσειεν ἀναλῶσαι;»

5. Ἡ λέξις λόγος ἐν τῇ ἑλληνικῇ γλώσσῃ ἔχει πολλὰς σημασίας· ἐνταῦθα σημαίνει ἱστορίαν ἢ διήγησιν, ἥτις εἶναί τι ἀληθέστερον τοῦ μύθου. Ἐντεῦθεν λογογράφοι ἐλέγοντο, ὅσοι ἐκ τῶν μύθων ἐπειρῶντο νὰ ἐξαγάγωσι ἱστορικὰ γεγονότα.

6. Μετεχειρίσθη τὸ φασί, διότι τὸ ἄκουε ἐπὶ τοιαύτης περιστάσεως περιέπεσεν εἰς παροιμίαν, ὡς παρατηρεῖ ὁ Σχολιαστὴς εἰς τὸ ἑπόμενον χωρίον τοῦ Τιμαίου. «Τοῦτο παροιμιῶδές ἐστιν ἐφ' ὧν ἐκκαλέσασθαι βουλόμεθα τὸν ἀκούοντα, ἴσον ὂν τῷ, Δέχου δὴ τὰ ἄξια ἀκοῆς.» Παραβαλ. καὶ Πλάτ. ἐν Τιμ. 20. D. «Ἄκουε δή, ὦ Σώκρατες, λόγου μάλα μὲν ἀτόπου, παντάπασί γε μὴν ἀληθοῦς.»

7. Κατὰ τὴν εἰρημένην σημασίαν ὁ λόγος ἀντιτίθεται πρὸς τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοι λέξω ἃ μέλλω λέγειν. ὥσπερ γὰρ Ὅμηρος λέγει,[1] διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον.[2] ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων ἐπὶ Κρόνου,[3] καὶ ἀεὶ καὶ νῦν ἔτι ἔστιν ἐν θεοῖς, τῶν ἀνθρώπων τὸν μὲν δικαίως
B τὸν βίον διελθόντα καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους ἀπιόντα οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν, τὸν δὲ ἀδίκως καὶ ἀθέως εἰς τὸ τῆς τίσεώς τε καὶ δίκης δεσμωτήριον, ὃ δὴ Τάρταρον[4] καλοῦσιν, ἰέναι. τούτων δὲ δικασταὶ[5] ἐπὶ Κρόνου καὶ ἔτι νεωστὶ[6] τοῦ Διὸς τὴν ἀρχὴν ἔχοντος ζῶντες ἦσαν ζώντων, ἐκείνῃ τῇ ἡμέρᾳ δικάζοντες ᾗ μέλλοιεν τελευτᾶν. κακῶς οὖν αἱ δίκαι ἐκρίνοντο.[7] ὅ τε οὖν Πλούτων καὶ οἱ ἐπιμεληταὶ[8] ἐκ

μῦθον ἐν Φαίδωνι 61 B «ἐννοήσας ὅτι τὸν ποιητὴν δέοι . . ποιεῖν μύθους, ἀλλ' οὐ λόγους». Περὶ τῆς χρήσεως τῶν μύθων ἐν τοῖς Πλατωνικοῖς διαλόγοις εἴπομεν τὰ δέοντα ἐν τῇ Εἰσαγωγῇ, σελ. 38.

1. Ὁ φιλόσοφος ἔχει ὑπ' ὄψει τὸ ὁμηρικὸν χωρίον Ἰλιάδ. Ο, 187, ἔνθα ὁ Ποσειδῶν λέγει·

Τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοί, οὓς τέκετο Ῥέα,
Ζεὺς καὶ ἐγώ, τρίτατος δ' Ἀΐδης ἐνέροισιν ἀνάσσων.
τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς·
Ἦτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
παλλομένων, Ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα,
Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν,
γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος.

2. Διὰ τοῦ ῥήματος τούτου θέλει ὁ φιλόσοφος νὰ καλύψῃ τὴν ἐχθρικὴν σχέσιν τῶν υἱῶν τοῦ Κρόνου πρὸς τὸν πατέρα αὐτῶν.

3. Δηλαδὴ ἐπὶ τῆς βασιλείας τοῦ Κρόνου· διότι οἱ ἀρχαῖοι τοὺς θεοὺς αὐτῶν ἔπλαττον ἀνθρωποφυεῖς κατά τε τὸν πολιτικὸν καὶ ἰδιωτικὸν βίον.

4. Κατὰ τὸν Ὅμηρον Ἰλιάδ. Θ, 13 καὶ 478 Τάρταρος εἶναι τὸ δεσμωτήριον μόνον τῶν Τιτάνων. Ὑπὸ τοῦ φιλοσόφου θεωρεῖται ὡς δεσμωτήριον πάντων τῶν ἀδίκων.

5. Ἡ παράστασις, ὅτι οἱ ἄνθρωποι ἐδικάζοντο πρὶν καταβῶσιν εἰς τὸν Ἅδην, εὑρίσκεται τὸ πρῶτον ἐν τῷ Πλατωνικῷ τούτῳ μύθῳ.

6. Τοῦτο λέγεται ἐν ἀντιθέσει πρὸς τὴν παλαιὰν ἀρχὴν τοῦ Κρόνου, ὡς ἐξηγεῖται διὰ τῆς φράσεως, τοῦ Διὸς τὴν ἀρχὴν ἔχοντος. Δύναται ὅμως νὰ συνταχθῇ καὶ μετὰ τῆς ἑπομένης μετοχῆς, δηλ. ὅτε ἔτι νεωστὶ εἶχε.

7. Παρατήρησον τὴν ὠφέλειαν καὶ διαύγειαν τῶν Πλατωνικῶν μύθων. Ὅρα καὶ Εἰσαγωγῇ σελ. 39.

8. Τίνας ἐννοεῖ ἐπιμελητάς, μέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μακάρων νήσων ἰόντες ἔλεγον πρὸς τὸν Δία, ὅτι φοιτῷεν σφιν[1] ἄν- C
θρωποι ἑκατέρωσε[2] ἀνάξιοι. εἶπεν οὖν ὁ Ζεύς· ἀλλ' ἐγώ, ἔφη,[3] παύσω
τοῦτο γιγνόμενον. νῦν μὲν γὰρ κακῶς αἱ δίκαι δικάζονται. ἀμπε-
χόμενοι[4] γάρ, ἔφη, οἱ κρινόμενοι κρίνονται· ζῶντες γὰρ κρίνονται[5].
πολλοὶ οὖν, ἦ δ' ὅς, ψυχὰς πονηρὰς ἔχοντες ἠμφιεσμένοι εἰσὶ σώ-
ματά τε καλὰ καὶ γένη καὶ πλούτους, καί, ἐπειδὰν ἡ κρίσις ᾖ,
ἔρχονται αὐτοῖς πολλοὶ μάρτυρες,[6] μαρτυρήσοντες ὡς δικαίως βε-
βιώκασιν· οἱ οὖν δικασταὶ ὑπό τε τούτων ἐκπλήττονται,[7] καὶ D
ἅμα καὶ αὐτοὶ ἀμπεχόμενοι δικάζουσι, πρὸ τῆς ψυχῆς τῆς αὐ-
τῶν ὀφθαλμοὺς καὶ τὰ ὦτα καὶ ὅλον τὸ σῶμα προκεκαλυμμένοι.[8]
ταῦτα δὴ αὐτοῖς πάντα ἐπίπροσθεν[9] γίγνεται, καὶ τὰ αὐτῶν

νει ἄδηλον. Παρὰ τῷ Πλουτάρχῳ πρὸ τῆς φράσεως ἐκ μακάρων ὑπάρχει τὸ ἄρθρον οἱ, ὅπερ ὁ μὲν Heindorf δέχεται, ὁ δὲ Stallbaum ἀποκρούει.

1. Ὁ Πλάτων οὐχὶ δυσκόλως μεταχειρίζεται ποιητικὰς λέξεις.

2. Δηλαδὴ καὶ εἰς τὰς νήσους τῶν μακάρων καὶ εἰς τὸν Τάρταρον. Καὶ οἱ κολαζόμενοι ἐδικάζοντο ἀδίκως καὶ οἱ ἀμειβόμενοι οὐχὶ δικαίως, διότι ζῶντες ἐδίκαζον ζῶντας.

3. Τὰ ἔφη ἐνταῦθα κεῖται πλεοναστικῶς, ἀλλ' ἐν τοιαύτῃ περιστάσει οἱ πλεονασμοὶ εἶναι συνήθεις, ὡς ἐν Χαρμίδ. 164, Ε. «Οὕτω μὲν δὴ ὁ θεὸς προσαγορεύει τοὺς εἰσιόντας—καὶ λέγει πρὸς τὸν ἀεὶ εἰσιόντα οὐκ ἄλλο τι, ἢ σωφρόνει, φησί.»

4. Τὰς σάρκας παραβάλλει πρὸς ἐνδύματα.

5. Διὰ τῶν μικρῶν τούτων προτάσεων ὁ Πλάτων πειρᾶται νὰ ἐπιχύσῃ ἁπλότητα ἐπὶ τοῦ μύθου αὐτοῦ. Ὅτι δὲ αἱ μικραὶ προτάσεις ἐπιχέουσιν ἁπλότητα, μαρτυροῦσι τὰ Ὁμηρικὰ ἔπη.

6. Ὁ φιλόσοφος ἔχει ὑπ' ὄψει τοὺς ψευδομάρτυρας τῶν ἀττικῶν δικαστηρίων.

7. Βεβαίως τὸ κάλλος, τὸ γένος καὶ ὁ πλοῦτος ἐκπλήσσουσι τοὺς ἔχοντας ὀφθαλμοὺς καὶ ὦτα. Διὰ τοῦ μύθου τούτου ὁ Πλάτων λαμβάνει ἀφορμὴν νὰ κακίσῃ τὰ ἀττικὰ δικαστήρια.

8. Κατὰ τὸν Πλάτωνα ἡ ψυχὴ πάντοτε δύναται νὰ ἴδῃ τὴν ἀλήθειαν, ἀλλὰ τὰ ὄργανα διακωλύουσιν αὐτήν.

9. Ὁ Πλούταρχος ἀντέγραψε τὴν λέξιν ἐπιπρόσθεσις, ἣν ὁ Cornarius ἤθελε νὰ εἰσαγάγωμεν εἰς τὸ κείμενον. Ἀλλὰ δὲν ἔτυχε μιμητῶν, διότι ἡ λέξις συχνάκις εὑρηται παρὰ Πλάτωνι, ὡς ἐν Συμποσ. 213, Α. «Καὶ περιαιρούμενον ἅμα τὰς ταινίας ὡς ἀναδήσοντα, ἐπίπροσθεν τῶν ὀφθαλμῶν ἔχοντα, οὐ κατιδεῖν τὸν Σωκράτη.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀμφιέσματα καὶ τὰ τῶν κρινομένων. πρῶτον[1] μὲν οὖν, ἔφη, παυστέον ἐστὶ προειδότας αὐτοὺς τὸν θάνατον. νῦν γὰρ προΐσασι.
Ε τοῦτο μὲν οὖν καὶ δὴ εἴρηται τῷ Προμηθεῖ[2] ὅπως ἂν παύσῃ αὐτῶν.[3] ἔπειτα γυμνοὺς κριτέον ἁπάντων τούτων·[4] τεθνεῶτας γὰρ δεῖ κρίνεσθαι. καὶ τὸν κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα, αὐτῇ[5] τῇ ψυχῇ αὐτὴν τὴν ψυχὴν θεωροῦντα ἐξαίφνης[6] ἀποθανόντος ἑκάστου, ἔρημον[7] πάντων τῶν συγγενῶν καὶ καταλιπόντα ἐπὶ τῆς γῆς πάντα ἐκεῖνον τὸν κόσμον,[8] ἵνα δικαία ἡ κρίσις ᾖ. ἐγὼ μὲν οὖν ταῦτα ἐγνωκὼς πρότερος ἢ ὑμεῖς ἐποιησάμην δικαστὰς υἱεῖς ἐμαυτοῦ, δύο μὲν ἐκ τῆς Ἀσίας, Μίνω τε καὶ Ῥαδάμανθυν,[9] ἕ-

Παράβαλλ. καὶ Κριτίαν, 108, C καὶ ἐν Νόμ. 648, C. Σημαίνει δέ, ὅτι γίνεται κώλυμα ἢ ἐμπόδιον.

1. Τοῦτο εἶναι ὁ πρῶτος ὅρος, ὅπως προληφθῇ τὸ κακόν.

2. Ὁ Προμηθεὺς τοῦ Αἰσχύλου εἰκονίζεται ὡς ἐπαναστάτης κατὰ τῆς τυραννίας τοῦ Διός. Οὗτος εἶναι ὁ ἀντιπρόσωπος τοῦ ἀνθρωπίνου γένους κατὰ τῆς θείας πιέσεως. Ὁ Πλατωνικὸς ὅμως Προμηθεὺς ὑπακούει εἰς τὴν βούλησιν τοῦ Διός. Φαίνεται δ', ὅτι τὴν παῦσιν τῆς προγνώσεως τοῦ θανάτου ἔλαβε παρὰ τοῦ τραγικοῦ ἐν Προμηθ. 248.

Πρ. Θνητοὺς ἔπαυσα μὴ προδέρκεσθαι μόρον.
Χορ. Τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου;
Πρ. Τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα.
Χορ. Μέγ' ὠφέλημα τοῦτ' ἐδωρήσω βροτοῖς.

3. Ἡ γενικὴ ἐξαρτᾶται ἐκ τοῦ τοῦτο, ὡς καὶ Ἀπολογ. 17, B. «Τοῦτό μοι ἔδοξεν αὐτῶν ἀνασχυντότατον εἶναι.»

4. Τοῦ κάλλους, γένους, καὶ πλούτου, δηλ. ἄνευ τούτων.

5. Ταῦτα λέγονται ἐν σχέσει πρὸς τὴν προτέραν κατάστασιν, καθ' ἣν ὁ μὲν κριτὴς ἔβλεπε διὰ τῶν ὀφθαλμῶν καὶ ἤκουε διὰ τῶν ὤτων, οἱ δὲ κρινόμενοι ἤρχοντο πρὸς δίκην περικεκαλυμμένοι τὰ συνήθη ὅπλα τοῦ βίου.

6. Ὁ Stallbaum ἑρμηνεύει εὐθὺς ὡς ἕκαστος ἤθελεν ἀποθάνει καὶ ὁ Kratz τὸ ἐξαίφνης θεωρεῖ ἰσοδύναμον πρὸς τὸ εὐθύς. Νομίζομεν, ὅτι ὁ φιλόσοφος δὲν θέλει νὰ δηλώσῃ τοῦτο, ἀλλὰ λέγει ἐν ἀντιθέσει πρὸς τὴν προτέραν πρόγνωσιν τοῦ θανάτου, ὡς καὶ νῦν λέγομεν, ὅτι ὁ δεῖνα ἀπέθανεν ἐξαίφνης, δηλ. ἄνευ τῆς ἐκ νόσου προγνώσεως τοῦ θανάτου.

7. Ἐνταῦθα περιέμενέ τις ἐρήμην καὶ καταλιποῦσαν, διότι τὰ ἐπίθετα ἀναφέρονται εἰς τὴν ψυχήν.

8. Ὃν εἶπεν ἐν τοῖς ἔμπροσθεν· ἔθηκε δὲ τὴν ἀντωνυμίαν ἐκεῖνος, ἵνα τὸν κόσμον ἐκεῖνον εἰκονίσῃ ὡς μὴ ἁρμόζοντα εἰς τὴν ψυχήν.

9. Ὁ Μίνως καὶ ὁ Ῥαδάμανθυς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

να[1] δὲ ἐκ τῆς Εὐρώπης, Αἰακόν·[2] οὗτοι οὖν ἐπειδὰν τελευτήσωσι, 524
δικάσουσιν ἐν τῷ λειμῶνι,[3] ἐν τῇ τριόδῳ,[4] ἐξ ἧς φέρετον τὼ ὁδώ, ἡ μὲν εἰς μακάρων νήσους, ἡ δ' εἰς Τάρταρον. καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας Ῥαδάμανθυς κρινεῖ, τοὺς δὲ ἐκ τῆς Εὐρώπης Αἰακός· Μίνῳ δὲ πρεσβεῖα[5] δώσω ἐπιδιακρίνειν,[6] ἐὰν ἀπορῇτόν τι τὼ ἑτέρω, ἵνα ὡς δικαιοτάτη ἡ κρίσις ᾖ περὶ τῆς πορείας[7] τοῖς ἀνθρώποις.

LXXX. Ταῦτ' ἔστιν, ὦ Καλλίκλεις, ἃ ἐγὼ ἀκηκοὼς πιστεύω ἀληθῆ εἶναι· καὶ ἐκ τούτων[8] τῶν λόγων τοιόνδε τι λογίζομαι συμ- B
βαίνειν. ὁ θάνατος[9] τυγχάνει ὤν, ὡς ἐμοὶ δοκεῖ, οὐδὲν ἄλλο ἢ δυοῖν πραγμάτοιν διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος, ἀπ' ἀλλήλοιν· ἐπειδὰν δὲ διαλυθῆτον ἄρα ἀπ' ἀλλήλοιν, οὐ πολὺ ἧττον

ἦσαν ἀδελφοί· λέγονται δὲ κατα-
γόμενοι ἐκ τῆς Ἀσίας, διότι ἡ μήτηρ αὐτῶν Εὐρώπη ἦτο θυγάτηρ τοῦ Φοίνικος Κάδμου, Ἰλιάδ. Ξ, 321. «Φοίνικος κούρης τηλεκλειτοῖο, ἣ τέκε μοι Μίνων τε καὶ ἀντίθεον Ῥαδάμανθυν.» Ὅτι δὲ ὁ Μίνως ἐδίκαζεν ἐν Ἅδου, γινώσκει ἤδη ὁ Ὅμηρος ἐν Ὀδυσσ. Λ. 568. «Ἔνθ' ἦτοι Μίνωα ἴδον, Διὸς ἀγλαὸν υἱόν, χρύσεον σκῆπτρον ἔχοντα, θεμιστεύοντα νέκυσσιν, ἥμενον.»

1. Φαίνεται, ὅτι οἱ τὸν μῦθον ποιήσαντες ἀπεῖδον εἰς τὴν περιοχὴν ἑκάστης ἠπείρου.

2. Τοῦ γένους τοῦ Αἰακοῦ μνημονεύει ὁ Ὅμηρος ἐν Ἰλιάδ. Φ. 187.

3. Ὁ Πλάτων διαφωνεῖ πρὸς τὸν Ὅμηρον· κατὰ μὲν τὸν φιλόσοφον ὁ λειμὼν ὑπάρχει πρὸ τοῦ Ἅδου, ἐν ᾧ ὁ ποιητὴς φαίνεται θέτων αὐτὸν ἐν ὅλῳ τῷ Ἅδῃ, Ὀδυσσ. Ω, 13. «Αἶψα δ' ἴκοντο κατ' ἀσφοδελὸν λειμῶνα ἔνθα τε ναίουσι ψυχαί, εἴδωλα καμόντων.»

4. Εἶναι ἐπιξηγηματικὴ παράθεσις τοῦ προηγουμένου.

5. Πρεσβεῖον ὀνομάζεται ἡ διὰ τὸ γῆρας παρεχομένη τιμή. Οὕτως ὀνομάζεται καὶ τὸ εἰς τὸν πρωτότοκον υἱὸν διδόμενον ὑπὸ τοῦ πατρὸς προνόμιον.

6. Ὁ Μίνως ἀπετέλει τὸ ἀνώτερον δικαστήριον, ἦτο, οὕτως εἰπεῖν, ὁ Ἄρειος Πάγος.

7. Δηλαδὴ ἂν οἱ κρινόμενοι θὰ ἀπέλθωσιν εἰς τὰς νήσους τῶν μακάρων ἢ εἰς τὸν Τάρταρον.

8. Ἐκ τοῦ μύθου, ὃν ὁ φιλόσοφος ἀφηγήθη, πειρᾶται νὰ ἐξαγάγῃ συμπεράσματα περί τε τῆς οὐσίας τοῦ θανάτου καὶ τῆς μετὰ θάνατον μορφῆς τῆς ψυχῆς

9. Περὶ τοῦ θανάτου ὁ Πλάτων ἐν Φαίδωνι λέγει, 64, C. «Ἆρα μὴ ἄλλο τι (ἡγούμεθα τὸν θάνατον εἶναι) ἢ τὴν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγήν; καὶ εἶναι τοῦτο τὸ τεθνάναι, χωρὶς μὲν ἀπὸ τῆς ψυχῆς ἀπαλλαγὲν αὐτὸ καθ' ἑαυτὸ τὸ σῶμα γεγονέναι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑκάτερον αὐτοῖν ἔχει τὴν ἕξιν[1] τὴν αὐτοῦ, ἥνπερ[2] καὶ ὅτε ἔζη ὁ ἄνθρωπος,[3] τό τε σῶμα[4] τὴν φύσιν τὴν αὐτοῦ καὶ τὰ θεραπεύματα[5] καὶ τὰ παθήματα ἔνδηλα πάντα. οἷον εἴ τινος μέγα ἦν
C τὸ σῶμα φύσει ἢ τροφῇ ἢ ἀμφότερα[6] ζῶντος, τούτου καὶ ἐπειδὰν ἀποθάνῃ ὁ νεκρὸς μέγας, καὶ εἰ παχύ, παχὺς καὶ ἀποθανόντος, καὶ τἆλλα οὕτως·[7] καὶ εἰ αὖ ἐπετήδευε κομᾶν, κομήτης[8] τούτου καὶ ὁ νεκρός. μαστιγίας[9] αὖ εἴ τις ἦν καὶ ἴχνη εἶχε τῶν πληγῶν οὐλὰς[10] ἐν τῷ σώματι ἢ ὑπὸ μαστίγων ἢ ἄλλων τραυμάτων ζῶν,
D καὶ τεθνεῶτος τὸ σῶμα ἔστιν ἰδεῖν ταῦτα ἔχον· κατεαγότα τε

χωρὶς δὲ τὴν ψυχὴν ἀπὸ τοῦ σώματος ἀπαλλαγεῖσαν αὐτὴν καθ' ἑαυτὴν εἶναι;»

1. Δηλαδὴ τὰς ποιότητας καὶ ἰδιότητας, ἃς εἶχεν ἐν τῷ βίῳ. Τοῦτο ἐξηγεῖ διὰ τοῦ φύσιν, θεραπεύματα καὶ παθήματα.

2. Ἐκ τοῦ ἡγουμένου ῥήματος ἐξάγομεν τὸ εἶχεν.

3. Δηλαδὴ ἐκεῖνος, οὗ ἡ ψυχὴ διελύθη ἀπὸ τοῦ σώματος.

4. Ἐν ᾧ περιέμενέ τις, ἵνα ὁ συγγραφεὺς προσθέσῃ καὶ τὴν ψυχήν, ἕνεκα τῆς ἀναπτύξεως τοῦ πρώτου μέρους μετεβλήθη τὸ δεύτερον, ὅπερ ἐξεφράσθη διὰ τῆς φράσεως, ταὐτόν δήμοι δοκεῖ τοῦτ' ἄρα καὶ περὶ τὴν ψυχὴν εἶναι.

5. Θεραπεύματα εἶναι ἡ μεταβολὴ τῆς ἐσωτερικῆς φύσεως, ὡς ἡ διὰ τῆς τροφῆς πάχυνσις τοῦ σώματος, παθήματα δὲ ἡ δι' ἐξωτερικῆς ἐπιδράσεως· μεταβολὴ τῆς ἐξωτερικῆς μορφῆς, οἷα ἡ γιγνομένη διὰ τῆς μαστιγώσεως.

6. Ὁ Πλάτων καὶ ἀλλαχοῦ ἐν τούτῳ τῷ διαλόγῳ συνέδεσεν αἰτιατικὴν ἐπιρρηματικῶς εἰλημμένην μετὰ δυναμικῶν δοτικῶν, 477, D. «Ἥσχιστον τούτων ἐστὶν ἡ βλάβη ἢ ἀμφότερα.» καὶ ἐν Χαρμίδῃ, 153. D. «Εἴ τινες ἐν αὐτοῖς διαφέροντες ἢ σοφίᾳ ἢ κάλλει ἢ ἀμφότερα ἐγγεγονότες εἶεν.» Τὴν αὐτὴν σύνταξιν δέχονται καὶ τὸ οὐδέτερα καὶ ὁπότερα.

7. Τὰ τοιαῦτα ἔχουσι μεγίστην τὴν ὁμοιότητα πρὸς τὰ ὑπὸ τοῦ Ὁμήρου εἰρημένα ἐν τῷ Λ τῆς Ὀδυσσείας. Εἶναι δὲ ἄξιον σημειώσεως, ὅτι οἱ ἁπλούστεροι τῶν Ἑλλήνων ἔτι καὶ νῦν τὴν αὐτὴν γνώμην περὶ τοῦ μετὰ θάνατον βίου ἔχουσιν. Ταῦτα ἐπικυροῦσιν αὐτοῖς οἱ νεκροφανεῖς.

8. Συνήθως κομῆται ἦσαν οἱ Σπαρτιᾶται, οἱ δὲ Ἀθηναῖοι ἕφερον κόμην μέχρι τῆς ἐφηβικῆς ἡλικίας πλὴν τῶν ἱππέων καὶ ὅσοι ἠγαπων νὰ ἀβρύνωνται. Οἱ δοῦλοι ἐβραχυκόμων καὶ ἐντεῦθεν ἡ φράσις, ἀνδραποδώδης θρίξ

9. Μαστιγίαι συνήθως ἦσαν δοῦλοι, οἵτινες διὰ μαστίγων ἐτιμωροῦντο.

10. Ὁ Εὐστάθιος διαστέλλει τὴν οὐλὴν τῆς ὠτειλῆς οὕτως ἐν Ἰλιάδ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἴ του ἦν μέλη ἢ διεστραμμένα ζῶντος, καὶ τεθνεῶτος ταὐτὰ ταῦτα ἔνδηλα. ἐνὶ δὲ λόγῳ,[1] οἷος εἶναι παρεσκεύαστο τὸ σῶμα D ζῶν, ἔνδηλα ταῦτα καὶ τελευτήσαντος ἢ πάντα ἢ τὰ πολλὰ ἐπί τινα χρόνον.[2] ταὐτὸν[3] δή μοι δοκεῖ τοῦτ' ἄρα καὶ περὶ τὴν ψυχὴν εἶναι, ὦ Καλλίκλεις· ἔνδηλα πάντα ἐστὶν ἐν τῇ ψυχῇ, ἐπειδὰν γυμνωθῇ τοῦ σώματος, τά τε τῆς φύσεως καὶ τὰ παθήματα,[4] ἃ διὰ τὴν ἐπιτήδευσιν ἑκάστου πράγματος ἔσχεν ἐν τῇ ψυχῇ ὁ ἄνθρωπος. ἐπειδὰν οὖν ἀφίκωνται παρὰ τὸν δικαστήν, οἱ E μὲν ἐκ τῆς Ἀσίας παρὰ τὸν Ῥαδάμανθυν,[5] ὁ Ῥαδάμανθυς ἐκείνου, ἐπιστήσας[6] θεᾶται ἑκάστου τὴν ψυχήν, οὐκ εἰδὼς ὅτου ἐστίν, ἀλλὰ πολλάκις τοῦ μεγάλου βασιλέως[7] ἐπιλαβόμενος ἢ ἄλλου ὁτουοῦν βασιλέως ἢ δυνάστου κατεῖδεν οὐδὲν ὑγιὲς ὂν τῆς ψυ-

Δ, 455. «Διαφέρει δὲ οὐλῆς ὠτειλή, ὅτι ὠτειλὴ μὲν αὐτὸ τὸ τραῦμα, οὐλὴ δὲ τύλος ἢ τύπος θεραπευθέντος τραύματος»

1. Ἐννοεῖται τὸ εἰπεῖν, ὡς λέγομεν καὶ συνελόντι εἰπεῖν.

2. Δὲν ὁρίζει τὸν χρόνον, ὡς καὶ ἐν Φαίδωνι, 80, C. «Ἐπιεικῶς συχνὸν ἐπιμένει χρόνον.»

3. Ὁ Πλάτων συχνάκις ἐκ τοῦ σώματος ἀντλεῖ συμπεράσματα περὶ τῆς ψυχῆς.

4. Καὶ ὅσα ἔλαβε παρὰ τῆς φύσεως καὶ ὅσα συνέβησαν αὐτῷ ἐξ ἐκείνου, περὶ ὃ ἠσχολήθη.

5. Ἐν τῶν χειρογράφων ἔχει τὴν προσθήκην, οἱ δ' ἐκ τῆς Εὐρώπης παρὰ τὸν Αἰακόν. Φαίνεται ὅμως, ὅτι ἡ φράσις εἶναι μεταγενεστέρα προσθήκη· διότι τὰ περὶ τοῦ Αἰακοῦ λέγει μετ' ὀλίγον ὁ συγγραφεύς, 526 C.

6. Ὁ Naber ἀντὶ τῆς γραφῆς ἐκείνους ἐπιστήσας ἤθελε νὰ γράψωμεν ἐκεῖνος ἐπιστάς, ὅπως ἐξαγάγῃ τὴν ἔννοιαν, ὅτι δηθὲν ὁ Ῥαδάμανθυς καὶ ὁ Αἰακὸς δὲν ἐκάθηντο, ὡς ὁ Μίνως. Κατὰ τὸν Hirschig τὸ χωρίον δέον νὰ γραφῇ οὕτωσί. Ἐπειδὰν οὖν ἀφίκωνται παρὰ τὸν δικαστήν, οἱ μὲν ἐκ τῆς Ἀσίας παρὰ τὸν Ῥαδάμανθυν, οἱ δ' ἐκ τῆς Εὐρώπης παρὰ τὸν Αἰακόν, ὁ Ῥαδάμανθυς ἐκείνους ἐπιστήσας θεᾶται ἑκάστου τὴν ψυχήν. Ὅτι τὸ χωρίον οὕτω διασκευαζόμενον εἶναι ἁπλούστερον, οὐδεὶς ἀντιλέγει, ἀλλὰ τοιοῦτον δικαίωμα ἐπὶ ἀλλοτρίων ἔργων δὲν ἔχομεν.

7. Λαμβάνει τὸ παράδειγμα ἐκ τοῦ μεγάλου βασιλέως, ἵνα δείξῃ ἴσως, ὅτι οἱ ἐπὶ τῆς γῆς εὐδαιμονέστατοι ἐν Ἅιδου λαμβάνουσι τὴν χείρονα θέσιν. Ἄλλως ἐμνήσθη τούτου, ὅπως πλαγίως ἀποκριθῇ πρὸς τὸν Πῶλον τὸν μακαρίζοντα τὸν μέγαν βασιλέα, 470, E.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χῆς, ἀλλὰ διαμεμαστιγωμένην[1] καὶ οὐλῶν μεστὴν ὑπὸ ἐπιορ-
525 κιῶν καὶ ἀδικίας[2], ἃ[3] ἑκάστη ἡ πρᾶξις αὐτοῦ ἐξωμόρξατο[4] εἰς τὴν ψυχήν, καὶ πάντα σκολιὰ[5] ὑπὸ ψεύδους καὶ ἀλαζονείας καὶ οὐδὲν εὐθὺ διὰ τὸ ἄνευ ἀληθείας τεθράφθαι· καὶ ὑπὸ ἐξουσίας καὶ τρυφῆς καὶ ὕβρεως καὶ ἀκρατίας[6] τῶν πράξεων ἀσυμμετρίας τε καὶ αἰσχρότητος γέμουσαν τὴν ψυχὴν εἶδεν· ἰδὼν δὲ ἀτίμως[7] ταύτην ἀπέπεμψεν εὐθὺ τῆς φρουρᾶς,[8] οἷ μέλλει ἐλθοῦσα ἀνατλῆναι τὰ προσήκοντα πάθη.

B LXXXI. Προσήκει δὲ παντὶ τῷ ἐν τιμωρίᾳ[9] ὄντι ὑπ' ἄλλου ὀρθῶς τιμωρουμένῳ ἢ βελτίονι γίγνεσθαι καὶ ὀνίνασθαι ἢ παραδείγματι[10] τοῖς ἄλλοις γίγνεσθαι, ἵνα ἄλλοι ὁρῶντες πάσχοντα ἃ ἂν πάσχῃ φοβούμενοι βελτίους[11] γίγνωνται. εἰσὶ δὲ οἱ μὲν ὠφελούμενοί τε καὶ δίκην διδόντες[12] ὑπὸ θεῶν τε καὶ ἀνθρώ-

1. Ἐλέχθη κατ' ἀναλογίαν τοῦ σώματος καὶ ὑπομιμνήσκει τοὺς μαστιγίας.

2. Τοιοῦτος ἦτο ὁ Ἀρχέλαχος, ὃν ἐμακάριζεν ὁ Πῶλος.

3. Ἀναφέρεται εἰς τὰς μαστιγώσεις καὶ τὰς οὐλάς. Τὰ ἄριστα χειρόγραφα ἔχουσιν ἑκάστη, ὅπερ ὑποστηρίζεται ὑπὸ τῶν δοκιμωτάτων κριτικῶν. Ἡ κοινὴ γραφὴ ἑκάστης ἀπορρίπτεται.

4. Ἐξομόργνυμι σημαίνει ἀλείφω τινὰ διά τινος ὕλης, ἐπομένως μολύνω, λερόνω αὐτόν.

5. Εἶναι ἀνάλογον πρὸς τὸ προηγούμενον διεστραμμένα, 524, C.

6. Ἡ κοινὴ γραφὴ ἦτο ἀκρασίας, τὰ ἄριστα ὅμως χειρόγραφα ἔχουσιν ἀκρατίας.

7. Ἐν ἀντιθέσει πρὸς τὰς μεγάλας τιμάς, ἃς οἱ δυνάσται καὶ οἱ τοιοῦτοι εἶχον ἐν τῷ βίῳ.

8. Δηλαδὴ κατ' εὐθεῖαν εἰς τὸν Τάρταρον, ὅπου φρουρούμενος ἔμελλε νὰ τιμωρῆται.

9. Ὁ Σωκράτης ἐν τοῖς ἔμπροσθεν ἐπραγματεύθη περὶ τοῦ σκοποῦ τῆς τιμωρίας, ἐνταῦθα δὲ ἐπανέρχεται εἰς τὸ ζήτημα τοῦτο, ἵνα τὴν σχέσιν αὐτῆς πρὸς τὸν βίον τῆς ψυχῆς βαθύτερον ἐρευνήσῃ. Ἡ τιμωρία ὁρίζεται κατὰ τὸν σκοπὸν αὐτῆς.

10. Συνήθως ἐφέρετο ἡ γραφὴ παράδειγμά τι· εἰς δοτικὴν ἔτρεψεν ὁ Bekker ἐρειδόμενος ἐπί τινων χειρογράφων. Περὶ τοῦ τοιούτου σκοποῦ τῆς τιμωρίας ὁ Πλάτων λέγει καὶ ἐν Πρωταγόρᾳ 324, B. «Ὁ δὲ μετὰ λόγου ἐπιχειρῶν κολάζειν οὐ τοῦ παρεληλυθότος ἕνεκα ἀδικήματος τιμωρεῖται ... ἀλλὰ τοῦ μέλλοντος χάριν, ἵνα μὴ αὖθις ἀδικήσῃ μήτε αὐτὸς οὗτος μήτε ἄλλος ὁ τοῦτον ἰδὼν κολασθέντα.»

11. Μήπως πάθωσι καὶ οὗτοι τὰ αὐτά.

12. Αἱ δύο αὗται μετοχαὶ γραμματικῶς μὲν κεῖνται παραλλήλως,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πων[1] οὗτοι, οἳ ἂν ἰάσιμα ἁμαρτήματα ἁμάρτωσιν· ὅμως δὲ δι' ἀλ-
γηδόνων καὶ ὀδυνῶν γίγνεται αὐτοῖς ἡ ὠφέλεια καὶ ἐνθάδε[2] καὶ ἐν
Ἅιδου· οὐ γὰρ οἷόν τε ἄλλως ἀδικίας ἀπαλλάττεσθαι· οἳ δ' ἂν τὰ C
ἔσχατα ἀδικήσωσι καὶ διὰ τοιαῦτα ἀδικήματα ἀνίατοι[3] γένων-
ται, ἐκ τούτων τὰ[4] παραδείγματα γίγνεται, καὶ οὗτοι αὐτοὶ μὲν
οὐκέτι ὀνίνανται οὐδέν, ἅτε ἀνίατοι ὄντες, ἄλλοι δὲ ὀνίνανται οἱ
τούτους ὁρῶντες διὰ τὰς ἁμαρτίας[5] τὰ μέγιστα καὶ ὀδυνηρότατα
καὶ φοβερώτατα πάθη πάσχοντας τὸν ἀεὶ χρόνον, ἀτεχνῶς παρα-
δείγματα ἀνηρτημένους[6] ἐκεῖ ἐν Ἅιδου ἐν τῷ δεσμωτηρίῳ,[7] τοῖς
ἀεὶ τῶν ἀδίκων ἀφικνουμένοις θεάματα καὶ νουθετήματα.[8] ὧν D
ἐγώ φημι ἕνα καὶ Ἀρχέλαον ἔσεσθαι,[9] εἰ ἀληθῆ λέγει Πῶλος,[10]
καὶ ἄλλον ὅστις ἂν τοιοῦτος[11] τύραννος ᾖ· οἶμαι δὲ καὶ τοὺς πολ-
λοὺς εἶναι τοὺς[12] τούτων τῶν παραδειγμάτων ἐκ τυράννων καὶ βα-

λογικῶς δὲ τὸ δίκην διδόναι εἶναι αἰτία τοῦ ὠφελεῖσθαι.

1. Ἐπειδὴ τὸ δίκην διδόναι ἰσοδυναμεῖ πρὸς τὸ τιμωρεῖσθαι, δέχεται τὴν σύνταξιν τῶν παθητικῶν ῥημάτων, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν, 472, E.

2. Ἐπὶ τῆς γῆς ἢ ἐν τῷ βίῳ.

3. Κατὰ τὴν θεωρίαν τοῦ Σωκράτους αἱ τιμωρίαι εἶναι ἀνάλογοι τῶν ἀδικημάτων, οἱ δὲ εἰς τὰ μέγιστα περιπεσοντες καθίστανται ἀνίατοι. Ὅμοια ὁ Πλάτων λέγει καὶ ἐν Φαίδωνι, 113, E. «Οἱ δ' ἂν δόξωσιν ἀνιάτως ἔχειν διὰ τὰ μεγέθη τῶν ἁμαρτημάτων.»

4. Ἔθηκε τὸ ἄρθρον διὰ τὴν προηγηθεῖσαν φράσιν, παραδείγματι τοῖς ἄλλοις γίγνεσθαι.

5. Τὸ αἴτιον τοῦτο προσδιορίζει τὴν μετοχὴν πάσχοντας.

6. Ἡ εἰκὼν εἴληπται ἐκ τῶν ἀνηρτημένων πινάκων. Τὰ ἐνταῦθα λεγόμενα ὑπὸ τοῦ Σωκράτους εἶναι τοιαῦτα, ὥστε οὐδὲν τὸ παράδοξον, ὅτι ἐμιμήθησαν ταῦτα οἱ ἐκκλησιαστικοὶ πατέρες.

7. Εἶναι ἀκριβέστερος προσδιορισμὸς τοῦ ἐν Ἅιδου.

8. Τὸ δεύτερον τοῦτο οὐσιαστικὸν δηλοῖ τὸν σκοπὸν τοῦ πρώτου.

9. Διὰ τὰς εἰρημένας ἀδικίας. Ὅρα 470, D—471, D.

10. Ἐπειδὴ ὁ Πῶλος μετὰ ὑπερβολῶν ἀπεικόνισε τὰς ἐγκληματικὰς πράξεις τοῦ Ἀρχελάου, ὁ Σωκράτης ἐκφράζει ἀμφιβολίαν περὶ τῆς ἀληθείας τῶν πράξεων ἐκείνου.

11. Ὁ τόνος τῆς προτάσεως πίπτει ἐπὶ τῆς ἀντωνυμίας τοιοῦτος.

12. Τὰ ἄριστα χειρόγραφα ἔχουσι τὸ ἄρθρον, ὅπερ διατηροῦσιν ὁ Stallbaum, ὁ Bekker καὶ ὁ Ast, ἐν ᾧ κατὰ τὴν κοινὴν παραλείπεται. Ἡ σύνταξις κατὰ τὸν Stallbaum ἔχει οὕτως· οἶμαι δὲ καὶ τοὺς πολλούς, τοὺς τούτων τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέων καὶ δυναστῶν καὶ τὰ τῶν πόλεων πραξάντων[1] γεγονότας· οὗτοι γὰρ διὰ τὴν ἐξουσίαν[2] μέγιστα καὶ ἀνοσιώτατα ἁμαρτήματα ἁμαρτάνουσι. μαρτυρεῖ δὲ τούτοις καὶ Ὅμηρος· βασιλέας
E γὰρ καὶ δυνάστας ἐκεῖνος πεποίηκε τοὺς ἐν Ἅιδου τὸν ἀεὶ χρόνον τιμωρουμένους, Τάνταλον[3] καὶ Σίσυφον[4] καὶ Τιτυόν·[5] Θερσίτην[6] δέ, καὶ εἴ τις ἄλλος πονηρὸς ἦν ἰδιώτης, οὐδεὶς πεποίηκε μεγάλαις τιμωρίαις συνεχόμενον ὡς ἀνίατον·[7] οὐ γάρ, οἶμαι, ἐξῆν[8]

παραδειγμάτων, εἶναι γεγονότας ἐκ τυράννων.

1. Καὶ οἱ δημοκρατικοὶ δὲν ἐξαιροῦνται, διότι καὶ οὗτοι ἐξ ἴσου δύνανται νὰ περιπέσωσιν εἰς ἁμαρτήματα, ὡς οἱ τύραννοι.

2. Ἐπειδὴ ὁ Καλλικλῆς καὶ οἱ τοιοῦτοι ἐνόμιζον, ὅτι ὁ πολιτικὸς βίος εἶναι ὁ ἄριστος καὶ ἡ ἐξουσία τὸ πρόβλημα παντὸς ἐλευθέρου ἀνδρός, ὁ φιλόσοφος δεικνύει, ὅτι ἡ εἰς ταύτην ἄγουσα ὁδὸς εἶναι πλήρης ἀδικημάτων.

3. Ὁ Τάνταλος ἦτο υἱὸς τοῦ Διὸς καὶ τῆς Πλουτοῦς· ἐπειδὴ δὲ ἐπαρθεὶς ἠσέβησε πρὸς τοὺς θεούς, ἐτιμωρήθη ὑπ' αὐτῶν. Διότι καταφλεγόμενος ὑπὸ δίψης δὲν ἠδύνατο νὰ πίῃ, ἐν ᾧ ἦτο ἐν τῷ ὕδατι καὶ δὲν ἠδύνατο νὰ γευθῇ τῶν ὡραίων καρπῶν, οἵτινες ἐπεκρέμαντο τῆς κεφαλῆς, Ὀδυσσ. Λ, 582.

4. Σίσυφος ὁ υἱὸς τοῦ Αἰόλου καὶ τῆς Ἐναρέτης ἦτο ὁ κτίστης καὶ βασιλεὺς τῆς Κορίνθου. Οὗτος κατεδικάσθη νὰ κυλίῃ ἐπὶ ὑψηλοῦ βράχου μέγαν λίθον· ἀλλ' ὅτε ἔμελλε νὰ φθάσῃ εἰς τὸ ἄκρον, ὁ ἀναιδὴς λίθος κατέπιπτεν, Ὀδυσσ. Λ. 395.

5. Ὁ Τιτυὸς ἰδὼν τὴν Λητὼ πορευομένην εἰς τοὺς Δελφοὺς ἠθέλησε νὰ βιάσῃ αὐτήν, ἀλλ' ἐτοξεύθη ὑπὸ τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος. Ἐν τῷ Ταρτάρῳ δύο γῦπες κατεσπάρασσον τὰ σπλάγχνα αὐτοῦ, Ὀδυσσ. Λ, 576.

6. Τεχνηέντως ἔλαβεν ὡς παράδειγμα τὸν ἀθλιώτερον ἰδιώτην, ἵνα ἀντιθέσῃ πρὸς ἐπιφανεστάτους βασιλεῖς.

7. Οὗτος διὰ τὸ ἁμάρτημα αὐτοῦ ἐτιμωρήθη ὑπὸ τοῦ Ὀδυσσέως, Ἰλιάδ. Β. 211—277.

8. Μετεχειρίσθη τὸ ἐξῆν καὶ οὐχὶ τὸ ἐνῆν, διότι τὰ κωλύματα εἶναι ἐξωτερικά. Τινὲς ἐνόμισαν, ὅτι τὸ ῥῆμα πρέπει νὰ συμπληρωθῇ διὰ τῆς φράσεως ἀνιάτῳ γίγνεσθαι, ὅπερ δὲν εἶναι ὀρθόν. Ὀρθότερον ὁ Deuschle καὶ ὁ Stallbaum συμπληροῦσι διὰ τῆς φράσεως, τὰ μέγιστα καὶ ἀνοσιώτατα ἁμαρτήματα ἁμαρτάνειν. Κατὰ τῆς συμπληρώσεως ταύτης ἀνθίσταται ὁ Münscher λέγων, ὅτι εἶναι ἀδύνατον νὰ συμπληρώσωμεν ἐκ χωρίου, ὅπερ χωρίζεται ἀπὸ τοῦ ἡμετέρου διὰ τριῶν προτάσεων. Νομίζομεν, ὅτι τοῦτο δὲν εἶναι λόγος σπουδαῖος· διότι τὰ ἐν τῷ μεταξὺ εἶναι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῷ· διὸ καὶ εὐδαιμονέστερος ἦν ἢ οἷς ἐξῆν. ἀλλὰ γάρ,[1] ὦ
Καλλίκλεις, ἐκ τῶν δυναμένων εἰσὶ καὶ οἱ σφόδρα πονηροὶ γιγνό- 526
μενοι ἄνθρωποι· οὐδὲν μὴν κωλύει καὶ ἐν τούτοις ἀγαθοὺς ἄνδρας
ἐγγίγνεσθαι, καὶ σφόδρα γε ἄξιον ἄγασθαι τῶν γιγνομένων· χα-
λεπὸν γάρ, ὦ Καλλίκλεις, καὶ πολλοῦ ἐπαίνου ἄξιον ἐν μεγάλῃ
ἐξουσίᾳ τοῦ ἀδικεῖν γενόμενον δικαίως διαβιῶναι. ὀλίγοι δὲ γί-
γνονται οἱ τοιοῦτοι· ἐπεὶ καὶ ἐνθάδε[2] καὶ ἄλλοθι γεγόνασιν, οἶμαι
δὲ καὶ ἔσονται[3] καλοὶ κἀγαθοὶ ταύτην τὴν ἀρετὴν τὴν τοῦ δι- Β
καίως διαχειρίζειν ἃ ἄν τις ἐπιτρέπῃ· εἷς δὲ καὶ πάνυ ἐλλόγιμος
γέγονε καὶ εἰς τοὺς ἄλλους Ἕλληνας,[4] Ἀριστείδης ὁ Λυσιμάχου·[5]
οἱ δὲ πολλοί, ὦ ἄριστε, κακοὶ γίγνονται τῶν δυναστῶν.[6]

LXXXII. Ὅπερ οὖν ἔλεγον,[7] ἐπειδὰν ὁ Ῥαδάμανθυς ἐκεῖνος τοι- √
οῦτόν τινα λάβῃ, ἄλλο μὲν περὶ αὐτοῦ οὐκ οἶδεν οὐδέν,[8] οὔθ' ὅστις
οὔθ' ὧντινων,[9] ὅτι[10] δὲ πονηρός τις· καὶ τοῦτο κατιδὼν ἀπέπεμψεν
εἰς Τάρταρον, ἐπισημηνάμενος[11] ἐάν τε ἰάσιμος ἐᾶν τε ἀνίατος δοκῇ

παρενθετικὴ παραπομπή. Ὁ Münscher συμπληροῖ διὰ τῆς φράσεως συνέχεσθαι μεγάλαις τιμωρίαις. Ἀλλ' ἂν μὴ πλανώμεθα, ἡ τοιαύτη συμπλήρωσις εἶναι ἀσυμβίβαστος πρὸς τὸ ἐξῆν. Τί σημαίνει· δὲν ἦτο ἐπιτετραμμένον εἰς αὐτὸν νὰ συνέχηται εἰς τιμωρίας;

1. Ἰσοδυναμεῖ πρὸς τὸ λατινικόν. at enim ἢ sed enim.

2. Δηλαδὴ ἐν Ἀθήναις.

3. Περὶ τῆς ἑαυτοῦ ἐποχῆς οὐδὲν λέγει ἤτοι ὁμολογεῖ, ὅτι τοιοῦτος πολιτικὸς δὲν ὑπάρχει.

4. Ὁ Ἀριστείδης δικαίως ἔταξε τοὺς φόρους, ὅτε οἱ Ἀθηναῖοι ἐγένοντο ἡγεμόνες τῶν Ἑλλήνων. Τότε ὄντως ἡ δικαιοσύνη τοῦ Ἀθηναίου πολιτικοῦ ἐγένετο γνωστὴ εἰς πάντας τοὺς Ἕλληνας.

5. Ὁ Σωκράτης, ὡς διαφωνεῖ πρὸς τοὺς περὶ τὸν Γοργίαν κατὰ τὰς ἀρχάς, οὕτω καὶ κατὰ τὸ πρότυπον τοῦ πολιτικοῦ ἀνδρός. Ὡς τοιοῦτον ὁ μὲν Πῶλος θεωρεῖ τὸν Ἀρχέλαον, ὁ δὲ Σωκράτης Ἀριστείδην τὸν Λυσιμάχου.

6. Εἶναι γενικὴ τοῦ ὅλου εἰς τὸ οἱ πολλοί. Ὁ Σωκράτης δυνάστας θεωρεῖ καὶ τοὺς ἐν ταῖς δημοκρατίαις ἄρχοντας.

7. Ἐπανέρχεται εἰς τὰ ἐν ταῖς ἔμπροσθεν εἰρημένα 524 Ε.

8. Διότι οἱ ἄνθρωποι κατ' ἀπόφασιν τοῦ Διὸς ἐγυμνώθησαν τῶν σωμάτων καὶ τῶν τιμῶν.

9. Ἔθηκε τὴν γενικήν, ὅπως δηλώσῃ, ὅτι εἶναι ἄγνωστον καὶ τὸ γένος.

10. Ὁμαλῶς ἔπρεπε νὰ εἴπῃ οἶδε δέ, ὅτι πονηρός τις.

11. Περὶ τούτου ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ, Χ, 614, λέγει· «Δι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

C εἶναι· ὁ δὲ ἐκεῖσε ἀφικόμενος τὰ προσήκοντα πάσχει. ἐνίοτε δ' ἄλλην[1] εἰσιδὼν ὁσίως βεβιωκυῖαν καὶ μετ' ἀληθείας[2], ἀνδρὸς ἰδιώτου ἢ ἄλλου τινός, μάλιστα μέν, ἔγωγέ φημι[3], ὦ Καλλίκλεις, φιλοσόφου τὰ αὑτοῦ πράξαντος[4] καὶ οὐ πολυπραγμονήσαντος ἐν τῷ βίῳ, ἡγάσθη τε καὶ ἐς μακάρων νήσους ἀπέπεμψε. ταὐτὰ ταῦτα καὶ ὁ Αἰακός·[5] ἑκάτερος δὲ τούτων ῥάβδον[6] ἔχων δικάζει· ὁ δὲ Μίνως ἐπισκοπῶν[7] κάθηται, μόνος ἔχων χρυσοῦν σκῆπτρον,[9]

D ὥς φησιν Ὀδυσσεὺς ὁ Ὁμήρου[9] ἰδεῖν αὐτὸν

χρύσεον σκῆπτρον ἔχοντα, θεμιστεύοντα νέκυσσιν.[10]

ἐγὼ μὲν οὖν, ὦ Καλλίκλεις, ὑπὸ τούτων τῶν λόγων πέπεισμαι,

καστὰς μεταξὺ δυοῖν χασμάτοιν καθῆσθαι, οὓς ἐπειδὴ δικάσειαν, τοὺς μὲν δικαίους κελεύειν πορεύεσθαι τὴν εἰς δεξιάν τε καὶ ἄνω διὰ τοῦ οὐρανοῦ, σημεῖα περιάψαντες τῶν δεδικασμένων ἐν τῷ πρόσθεν, τοὺς δὲ ἀδίκους τὴν εἰς ἀριστεράν τε καὶ κάτω, ἔχοντας καὶ τούτους ἐν τῷ ὄπισθεν σημεῖα πάντων, ὧν ἔπραξαν.»

1. Δηλαδὴ ψυχήν· ἐκφράζεται δὲ οὕτως, ὡσεὶ προηγεῖτο, τοιούτου τινὸς ψυχὴν λάβῃ.

2. Τοῦτο λέγεται ἐν ἀντιθέσει πρὸς τὰ περὶ τῶν δυναστῶν εἰρημένα, 525, Α. «Καὶ πάντα σκολιὰ ὑπὸ ψεύδους καὶ ἀλαζονείας καὶ οὐδὲν εὐθὺ διὰ τὸ ἄνευ ἀληθείας τεθράφθαι.»

3. Ἡ φράσις αὕτη ἐλέχθη παρενθετικῶς, ὡς καὶ τὸ οἶμαι.

4. Λέγεται ἐν ἀντιθέσει πρὸς τὸ πολυπραγμονεῖν. Ὁ Πλάτων τὸ τὰ ἑαυτοῦ πράττειν τινὰ καὶ μὴ πολυπραγμονεῖν ὀνομάζει δικαιοσύνην, Πολιτ. IV, 433, Α. «Καὶ μήν, ὅτι γε τὸ τὰ αὑτοῦ πράττειν καὶ μὴ πολυπραγμονεῖν δικαιοσύνη ἐστί, καὶ τοῦτο ἄλλων τε πολλῶν ἀκηκόαμεν καὶ αὐτοὶ πολλάκις εἰρήκαμεν.» Τοῦτο ὅμως δὲν ἀποκλείει καὶ τὴν ἐνέργειαν ὑπὲρ ἄλλων. Ὁ Σωκράτης ὄντως τοιοῦτον βίον διῆγεν, ὡς λέγει ἐν τῇ Ἀπολογίᾳ, 33, Α. «Ἐγὼ δὲ διδάσκαλος μὲν οὐδενὸς πώποτ' ἐγενόμην· εἴ δέ τίς μου λέγοντος καὶ τὰ ἐμαυτοῦ πράττοντος ἐπιθυμεῖ ἀκούειν, εἴτε νεώτερος εἴτε πρεσβύτερος, οὐδενὶ πώποτε ἐφθόνησα.»

5. Ἐννοεῖται τὸ ῥῆμα ποιεῖ.

6. Ἐνταῦθα ἔχει τὴν αὐτὴν σημασίαν, ἣν καὶ τὸ σκῆπτρον.

7. Οὗτος, ὡς εἴρηται, ἔχει ἀνωτέραν δικαστικὴν ἀρχήν.

8. Τὸ σκῆπτρον παράγεται ἐκ τοῦ σκήπτεσθαι· ἐν τοῖς ἡρωϊκοῖς χρόνοις ἦτο σύμβολον ἀξιώματος καὶ ἔφερον οἱ ἡγεμόνες, οἱ γέροντες, οἱ κήρυκες (καθ' ὅσον οὗτοι ἀπετέλουν ἐκτελεστικὴν ἐξουσίαν), οἱ δικασταί, οἱ ἱερεῖς καὶ οἱ τοιοῦτοι.

9. Ὁ Ὁμηρικὸς Ὀδυσσεύς, οἷον περιέγραψεν ὁ ποιητὴς οὗτος.

10. Ὁ στίχος οὗτος ἀπεσπάσθη ἐκ τῆς Ὀδυσείας Δ, 569.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ σκοπῶ ὅπως ἀποφανοῦμαι τῷ κριτῇ ὡς ὑγιεστάτην [1]τὴν ψυχήν· χαίρειν οὖν ἐάσας τὰς τιμὰς τὰς τῶν πολλῶν ἀνθρώπων,[2] τὴν ἀλήθειαν σκοπῶν[3] πειράσομαι τῷ ὄντι ὡς ἂν δύνωμαι βέλτιστος ὢν καὶ ζῆν καὶ ἐπειδὰν ἀποθνήσκω ἀποθνήσκειν. παρακαλῶ E
δὲ καὶ τοὺς ἄλλους πάντας ἀνθρώπους, καθ' ὅσον δύναμαι, καὶ δὴ καὶ σὲ ἀντιπαρακαλῶ[4] ἐπὶ τοῦτον τὸν βίον καὶ τὸν ἀγῶνα[5] τοῦτον, ὃν ἐγώ φημι ἀντὶ πάντων τῶν ἐνθάδε ἀγώνων εἶναι, καὶ ὀνειδίζω σοι,[6] ὅτι οὐχ οἷός τ' ἔσει σαυτῷ βοηθῆσαι, ὅταν ἡ δίκη σοι ᾖ καὶ ἡ κρίσις ἣν νῦν δὴ ἐγὼ ἔλεγον, ἀλλὰ ἐλθὼν παρὰ τὸν δικαστὴν τὸν τῆς Αἰγίνης υἱόν, ἐπειδάν σου ἐπιλαβόμενος ἄγῃ, 527
χασμήσει καὶ ἰλιγγιάσεις[7] οὐδὲν ἧττον ἢ ἐγὼ ἐνθάδε σὺ ἐκεῖ, καί σε ἴσως τυπτήσει τις καὶ ἐπὶ κόρρης ἀτίμως[8] καὶ πάντως προπηλακιεῖ.

LXXXIII. Τάχα δ' οὖν ταῦτα μῦθός σοι δοκεῖ λέγεσθαι ὥσπερ

1. Μετεχειρίσθη τὸ ἐπίθετον τοῦτο, διότι τὴν ἀδικίαν θεωρεῖ ὡς νόσον τὴν ψυχῆς.

2. Ὁ Deuschle ἐξήλειψε τὴν λέξιν ἀνθρώπων, ὅπερ ἀποδοκιμάζεται ὑπὸ τοῦ Keck, τοῦ Cron καὶ τοῦ Stallbaum. Ἡ φράσις πολλοὶ ἄνθρωποι εὑρηται καὶ ἀλλαχοῦ ἐν Φαίδωνι 65, Α. Κατὰ τὸν Kratz σημαίνει τοὺς ὑπὸ τῶν πολλῶν μακαριζομένους, ἐν Συμπ. 216. Ε.

3. Ἔννοεῖ τὸν φιλοσοφικὸν βίον ἐν ἀντιθέσει πρὸς τὸν πολιτικόν, ὃν ἐδήλωσε δ' ἀ τῶν τιμῶν τῶν πολλῶν

4. Λέγει ἀντιπαρακαλῶ, διότι ὁ Καλλικλῆς παρεκάλει τὸν φιλόσοφον ἐπὶ τὸν πολιτικὸν βίον.

5. Ἡ λέξις ἀγὼν ἐν τῇ ἑλληνικῇ γλώσσῃ ἔχει εὐρυτάτην σημασίαν. Προσηκόντως δὲ ὁ βίος τοῦ φιλοσόφου παραβάλλεται πρὸς ἀγῶνα ἕνεκα τῶν μεγάλων πόνων καὶ κινδύνων, ὧν τὸ ἆθλον κεῖται ἐν τῷ ἄλλῳ βίῳ.

6. Ἐνταῦθα ὁ φιλόσοφος παρῳδεῖ τὰ ὑπὸ τοῦ Καλλικλέους εἰρημένα, 486, Α. «Νῦν γὰρ εἴ τις σοῦ λαβόμενος ἢ ἄλλου ὁτουοῦν τῶν τοιούτων εἰς τὸ δεσμωτήριον ἀπαγάγοι, φάσκων ἀδικεῖν μηδὲν ἀδικοῦντα, οἶσθ' ὅτι οὐκ ἂν ἔχοις ὅ τι χρήσαιο σαυτῷ, ἀλλ' ἰλιγγιῴης ἂν καὶ χασμῷο οὐκ ἔχων ὅ τι εἴποις—τὸν δὲ τοιοῦτον, εἴ τι καὶ ἀγροικότερον εἰρῆσθαι, ἔξεστιν ἐπὶ κόρρης τύπτοντα μὴ διδόναι δίκην.»

7. Ὁ μὲν Καλλικλῆς ἔθηκε τὰ ῥήματα ταῦτα κατ' εὐκτικὴν ἔγκλισιν, ὁ δὲ Σωκράτης κατὰ μέλλοντα τῆς ὁριστικῆς, ἵνα δηλώσῃ τι βεβαιότερον.

8. Τὰ τοιαῦτα δὲν ἠδύνατο νὰ νοηθῶσι γενόμενα ἐν Ἅιδου, ἀλλ' ἐτέθησαν χάριν τῆς πα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γραὸς[1] καὶ καταφρονεῖς αὐτῶν,[2] καὶ οὐδέν γ' ἂν ἦν θαυμαστὸν καταφρονεῖν τούτων, εἴ πῃ ζητοῦντες εἴχομεν αὐτῶν βελτίω καὶ
B ἀληθέστερα εὑρεῖν·[3] νῦν δὲ[4] ὁρᾷς, ὅτι τρεῖς ὄντες ὑμεῖς, οἵπερ σοφώτατοί[5] ἐστε τῶν νῦν Ἑλλήνων, σύ τε καὶ Πῶλος καὶ Γοργίας, οὐκ ἔχετε ἀποδεῖξαι, ὡς δεῖ ἄλλον τινὰ βίον ζῆν ἢ τοῦτον, ὅσπερ καὶ ἐκεῖσε[6] φαίνεται συμφέρων. ἀλλ' ἐν τοσούτοις λόγοις τῶν ἄλλων ἐλεγχομένων μόνος οὗτος ἠρεμεῖ[7] ὁ λόγος, ὡς εὐλαβητέον ἐστὶ τὸ ἀδικεῖν μᾶλλον ἢ τὸ ἀδικεῖσθαι, καὶ παντὸς μᾶλλον ἀνδρὶ μελετητέον οὐ τὸ δοκεῖν εἶναι ἀγαθὸν ἀλλὰ τὸ εἶναι,[8] καὶ ἰδίᾳ καὶ δημοσίᾳ·[9] ἐὰν δέ τις κατά τι κακὸς γίγνηται, κολα-

ρῳδίας τῶν λόγων τοῦ Καλλικλέους.

1. Τοῦτο εἶχε περιπέσει εἰς παροιμίαν, ὡς ἐν Πολιτ. I, 350, Ε. «Ἐγὼ δέ σοι ὥσπερ ταῖς γραυσὶ ταῖς τοὺς μύθους λεγούσαις» καὶ ἐν Θεαιτ. 176, Β.

2. Ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου τὸ θρησκευτικὸν αἴσθημα εἶχεν ἐξασθενήσει παρὰ τοῖς Ἕλλησι καὶ τὰ περὶ μέλλοντος βίου ἐθεωροῦντο ὡς μῦθοι.

3. Δηλαδὴ ἐπειδὴ δὲν ἔχομεν βελτίω καὶ ἀληθέστερα, δὲν εἶναι δίκαιον νὰ καταφρονῶμεν τούτων. Εἶναι ἀληθές, ὅτι μεγάλοι νόες ὑπέβαλον εἰς αὐστηρὰν κριτικὴν τὴν ἑκάστοτε καθεστῶσαν θρησκείαν, ἀλλὰ καὶ οἱ κοῦφοι πάντων τῶν αἰώνων τὴν εὐφυΐαν αὐτῶν ἐν τῇ καταφρονήσει τῆς θρησκείας ἠθέλησαν νὰ ἐπιδείξωσιν

4. Ὁ δὲ δηλοῖ ἔντονον ἀντίθεσιν.

5. Τὸ ἐπίθετον τοῦτο ὁ Σωκράτης μεταχειρίζεται οὐχὶ μᾶλλον χάριν εἰρωνείας ἢ ἀποδείξεως, δηλ. εἶχεν ἀνάγκην τῆς σοφίας τῶν σοφιστῶν, ὅπως δείξῃ, ὅτι, ἀφ' οὗ τρεῖς σοφώτατοι ἄνδρες δὲν ἠδυνήθησαν νὰ ἀναιρεσωσι τὴν θεωρίαν τοῦ Σωκράτους, αὕτη εἶναι ἑδραία.

6. Ὁμαλῶς ἔπρεπε νὰ εἴπῃ ἐκεῖ· ὁ ὁποῖος βέβαια καὶ ἐν Ἅιδου εἶναι φανερόν, ὅτι ὠφελεῖ.

7. Ἐνταῦθα σημαίνει· εἶναι ἀμετάβλητος, ἢ ὡς λέγει ὁ Ὀλυμπιόδωρος «Ἀντὶ τοῦ ἀσάλευτος μένει ὑπὸ μηδενὸς ἐλεγχόμενος», ὡς καὶ ἐν Νόμ. X, 891, Α. «Τὰ περὶ νόμους προστάγματα ἐν γράμμασι τεθέντα—πάντως ἠρεμεῖ.»

8. Φαίνεται, ὅτι ἡ φράσις αὕτη εἶχε περιπέσει εἰς παροιμίαν ἀπὸ Αἰσχύλου καὶ ἐφεξῆς, ὅστις περὶ τοῦ Ἀμφιάραω λέγει ἐν Ἑπτὰ ἐπὶ Θήβ. στίχ. 598. «Οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει.» Παράβαλλ. καὶ Πολιτ. II, 362, Α. Ἐν Ἀθήναις ἡ φράσις αὕτη ἀπεδίδετο εἰς τὸν Ἀριστείδην, Πλούτ. ἐν βίῳ Ἀριστείδ. κεφ. 3. Οἱ δὲ Ῥωμαῖοι κατὰ μίμησιν μετεχειρίζοντο τὴν φράσιν περὶ τοῦ Κάτωνος, Σαλλ. 54. «(Cato) esse quam videri bonus malebat. . »

9. Ὁ Πλάτων ἤθελεν, ἵνα ὁ ποι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στέος ἐστί, καὶ τοῦτο δεύτερον ἀγαθὸν μετὰ τὸ εἶναι δίκαιον, τὸ γίγνεσθαι καὶ κολαζόμενον διδόναι δίκην· καὶ πᾶσαν κολακείαν C
καὶ τὴν περὶ ἑαυτὸν καὶ τὴν περὶ τοὺς ἄλλους, καὶ περὶ ὀλίγους, καὶ περὶ πολλούς,[1] φευκτέον,[2] καὶ τῇ ῥητορικῇ οὕτω χρηστέον, ἐπὶ τὸ δίκαιον ἀεί, καὶ τῇ ἄλλῃ πάσῃ πράξει. ἐμοὶ οὖν[3] πειθόμενος ἀκολούθησον ἐνταῦθα,[4] οἱ ἀφικόμενος εὐδαιμονήσεις καὶ ζῶν καὶ τελευτήσας, ὡς ὁ σὸς λόγος σημαίνει· καὶ ἔασόν τινά σου καταφρονῆσαι ὡς ἀνοήτου[5] καὶ προπηλακίσαι, ἐὰν βούληταί

λιτικὸς βίος ἐρείδηται ἐπὶ τῶν αὐτῶν ἠθικῶν ἀρχῶν, ἐφ' ὧν καὶ ὁ ἰδιωτικός.

1. Κατὰ τὴν θεωρίαν τοῦ Σωκράτους ἡ ῥητορικὴ εἶναι κολακεία περὶ πολλούς.

2. Αἱ προηγούμεναι αἰτιατικαὶ ἀνήκουσιν εἰς τὸ φευκτέον καὶ εἶναι ἀναγκασικὸν αἴτιον.

3. Τὸ συμπέρασμα λέγεται μετά τινος συγκινήσεως. Δὲν λέγει δὲ πειθόμενός μοι, ἀλλ' ἐμοὶ πειθόμενος, ἵνα ποιήσῃ ἀντίθεσιν πρὸς τὴν ἐπὶ τὸν πολιτικὸν βίον παράκλησιν τοῦ Καλικλέους, 489, C. « Ἀλλ' ὦ γαθέ, ἐμοὶ πείθου, παῦσαι δ' ἐλέγχων, πραγμάτων δ' εὐμουσίαν ἄσκει. . . . » Ἐν ἄλλαις λέξεσιν, ἐγὼ δὲν πείθομαι εἰς σέ, ἀλλὰ σὺ πρέπει νὰ πεισθῇς εἰς ἐμέ.

4. Δηλαδὴ εἰς τοῦτον τὸν τρόπον τοῦ βίου.

5. Κατὰ μὲν τὴν κοινὴν γραφὴν ἔλειπεν ἡ κτητικὴ ἀντωνυμία, τὰ ἄριστα ὅμως τῶν χειρογράφων ἔχουσι ταύτην, ἣν ἐδέξαντο οἱ περιφανέστεροι κριτικοὶ καὶ ἐκδόται, οἷος ὁ Hermann, Stallbaum, Hirschig, Deuschle καὶ Cron· διότι ὁ Καλλικλῆς δὲν ὡμολόγησε μὲν τὰ ἐνταῦθα ὑπὸ τοῦ Σωκράτους λεγόμενα, ἀλλ' ἐπειδὴ ἐκ τῶν διαφόρων ὁμολογιῶν αὐτοῦ ὁ φιλόσοφος ἔφθασεν εἰς τὸ προκείμενον συμπέρασμα, ὁ Πλατωνικὸς Σωκράτης κατὰ τὸ ἔθος αὐτοῦ ἠδύνατο νὰ εἴπῃ, ὅτι καὶ τὰ συμπεράσματα ὁ πολιτικὸς ὡμολόγησεν. Τούναντίον ὁ Heindorf, ὁ Jahn, ὁ Kratz καὶ ὁ Münscher θέλουσι νὰ ἀπορρίψωσι τὴν ἀντωνυμίαν. Οὗτοι παρατηροῦσιν, ὅτι οὐδαμοῦ ὁ Καλλικλῆς ὡμολόγησεν, ὅτι ὁ δίκαιος ἐν τῷ βίῳ καὶ μετὰ θάνατον εἶναι εὐδαίμων. Πρὸς τούτοις τὸ ὁ σὸς λόγος ἀντιφάσκει πρὸς τὸ ἐμοὶ πειθόμενος. Οἱ λόγοι οὗτοι δὲν εἶναι ἀσθενεῖς. Διὰ τοῦτο οὐχὶ ἀφυῶς ὁ Münscher προτείνει, ἵνα γραφῇ ὁ σοφὸς λόγος ἐννοῶν τὸν μῦθον, ὃν ὁ Σωκράτης θεωρεῖ λόγον.

6. Ἐν τοῖς χρόνοις τῆς διαφθορᾶς οἱ ἠθικοὶ καταφρονοῦνται ὡς ἀνόητοι. Ἐν ᾧ τὸ νοητὸς ἔχει παθητικὴν σημασίαν, τὸ ἀνόητος ἔχει ἐνεργητικήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ νὰ μὰ Δία σύ γε[1] θαρρῶν πατάξαι[2] τὴν ἄτιμον ταύτην πληγήν·[3] οὐδὲν γὰρ δεινὸν πείσει, ἐὰν τῷ ὄντι ἧς καλὸς κἀγαθός, ἀσκῶν ἀρετήν. κἄπειτα οὕτω κοινῇ ἀσκήσαντες,[4] τότε ἤδη,[5] ἐὰν δοκῇ χρῆναι,[6] ἐπιθησόμεθα τοῖς πολιτικοῖς,[7] ἢ ὁποῖον ἄν τι ἡμῖν δοκῇ, τότε βουλευσόμεθα[8], βελτίους ὄντες βουλεύεσθαι ἢ νῦν. αἰσχρὸν γὰρ ἔχοντάς γε ὡς νῦν φαινόμεθα ἔχειν, ἔπειτα[9] νεανιεύε-
Ε σθαι[10] ὡς τι[11] ὄντας, οἷς οὐδέποτε ταὐτὰ δοκεῖ περὶ τῶν αὐτῶν[12], καὶ ταῦτα περὶ τῶν μεγίστων·[13] εἰς τοσοῦτον ἥκομεν ἀπαιδευ-

1. Εἶναι τὸ ὑποκείμενον τοῦ ἐκ τῆς προηγουμένης προτάσεως ἐννοουμένου ῥήματος ἔασον. Ἔθηκε δὲ τὸ ὑποκείμενον οὐχὶ ἐν τῇ ἀρχῇ, ἀλλ' ἐνταῦθα πρὸς ἔμφασιν. δηλ. δὲν ἠξεύρω ἄλλοι τί θὰ πράξωσιν, ἀλλὰ σὺ τοὐλάχιστον ὁ τιμῶν τὴν ἀνδρείαν ἔχε τὸ θάρος νὰ ὑποστῇς τὴν προσβολὴν ταύτην. Ἄλλως δὲν ἐλλείπουσι παραδείγματα, ἐν οἷς τὸ ὑποκείμενον τίθεται εἰς τὴν δευτέραν πρότασιν, ὡς Ὀδυσσ. Β. 326. καὶ Θεόκριτ. Ι, 124 καὶ Χ, 34.

2. Ἄλλοι γράφουσι πάτταξαι, δηλ. προστακτικὴν ἀντὶ ἀπαρεμφάτου, ὅπερ δὲν ἐπιδοκιμάζεται.

3. Ὁ Σωκράτης ἔχει ὑπ' ὄψει τὴν φράσιν τοῦ Καλλικλέους, 486, C. «Ἔξεστιν ἐπὶ κόρρης τύπτοντα μὴ διδόναι δίκην. » Ἡ ἰδέα αὕτη εἶναι ἀξία τοῦ εὐαγγελίου· δὲν εἶναι ἄτιμος ὁ τυπτόμενος, ἀλλ' ὁ τύπτων ἀδίκως.»

4. Τὸ ἀντικείμενον εἶναι ἀρετήν.

5. Δηλαδὴ μετὰ τὴν ἄσκησιν τῆς ἀρετῆς.

6. Ὁ Καλλικλῆς ἐνόμιζεν, ὅτι ἕκαστος πολίτης ὀφείλει νὰ γείνῃ πολιτικὸς καὶ ἐνταῦθα ἔθετε τὸ ἰδανικὸν τοῦ ἀνθρωπίνου βίου. Τοῦτο ὅμως δὲν ἦτο μόνη γνωμη τοῦ Καλλικλέους, ἀλλὰ τῆς ἐποχῆς· Κατὰ τὸν Σωκράτη ὅμως τὸ πολιτεύεσθαι ἐξαρτᾶται ἐκ τῆς γνώμης τοῦ ὑποκειμένου.

7. Εἶναι γένους οὐδετέρου. Τὸ δὲ ἐπιτίθεσθαι ἔχει ἐνταῦθα τὴν σημασίαν τοῦ ἐπιχειρεῖν, Ἡρόδοτ. Ι. 96. «Ἐν τῇ ἑαυτοῦ ἐὼν καὶ πρότερον δόκιμος καὶ μᾶλλόν τι καὶ δικαιοσύνην ἐπιθέμενος ἤσκεε.»

8. Ἐνταῦθα σαφῶς ὁ Πλάτων θέλει νὰ δικαιολογήσῃ καὶ τὸν Σωκράτη καὶ ἑαυτόν, ὅτι δὲν ἐπολιτεύοντο.

9. Ἀναπληροῖ τὴν μετοχὴν ἔχοντας.

10. Τὸ ῥῆμα τοῦτο μετεχειρίσθη ὁ Καλλικλῆς περὶ τοῦ Σωκράτους, 482, C. «Ὦ Σώκρατες, δοκεῖς νεανιεύεσθαι ἐν τοῖς λόγοις ὡς ἀληθῶς δημηγόρος ὤν.»

11. Τὸ τὶ ἐνταῦθα σημαίνει μέγα τι καὶ σπουδαῖον, ὡς 472. «Καὶ καταψευδομαρτυρηθείη τις ὑπὸ πολλῶν καὶ δοκούντων εἶναί τι. »

12. Ἐννοεῖ τὰς ἀντιφάσεις, εἰς ἃς περιέπιπτον οἱ περὶ τὸν Γοργίαν καὶ πρὸ πάντων ὁ Καλλικλῆς.

13. Οἷον τὸ περὶ τοῦ βίου ζήτημα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σίας[1]! ὥσπερ οὖν[2] ἡγεμόνι τῷ λόγῳ χρησώμεθα τῷ νῦν παραφανέντι, ὃς ἡμῖν σημαίνει, ὅτι οὗτος ὁ τρόπος ἄριστος τοῦ βίου, τὴν δικαιοσύνην καὶ τὴν ἄλλην ἀρετὴν ἀσκοῦντας καὶ ζῆν καὶ τεθνάναι. τούτῳ οὖν ἑπώμεθα, καὶ τοὺς ἄλλους παρακαλῶμεν, μὴ ἐκείνῳ,[3] ᾧ σὺ πιστεύων ἐμὲ παρακαλεῖς· ἔστι[4] γὰρ οὐδενὸς ἄξιος, ὦ Καλλίκλεις.

1. Τοῦτο ποιεῖ ζωηρὰν ἀντίθεσιν, πρὸς ὅ τι ἐν τοῖς ἔμπροσθεν περὶ τοῦ Καλλικλέους ἔλεγεν 487, Β. «Πεπαίδευσαί τε γὰρ ἱκανῶς, ὡς πολλοὶ ἂν φήσαιεν Ἀθηναίων.» Οὕτως ὁ φιλόσοφος καταδικάζει τὴν ψευδοπαιδείαν, ἣν ἐτίμων οἱ πολλοὶ τῶν Ἀθηναίων.

2. Τὸ τελευταῖον συμπέρασμα περιέχει τὴν βάσιν, ἐφ' ἧς ἡ θεωρία τοῦ Σωκράτους ἐρείδεται.

3. Ἡ ἀντωνυμία σημαίνει τὸ ἠθικῶς μακρὰν κείμενον.

4. Ἐν τῷ τελευταίῳ κεφαλαίῳ ὁ Σωκράτης ἀποφαίνεται κατηγορηματικώτερον, διότι τὴν θεωρίαν αὐτοῦ ἐστήριξεν ἐν τοῖς ἔμπροσθεν. Οὕτως, ἐν ᾧ ὁ φιλόσοφος ἤρξατο τοῦ διαλόγου μετὰ μετριοφροσύνης, ὁ δὲ Γοργίας καὶ οἱ περὶ αὐτὸν ἐσεμνύνοντο διὰ τὴν ἑαυτῶν σοφίαν, ἐν τῷ τέλει παρατηροῦμεν τὸ ἐναντίον. Ἡ φιλοσοφικὴ μετριοφροσύνη νικήσασα τὴν ῥητορικὴν ἀλαζονείαν δὲν παρεξετράπη ἐκ τῆς νίκης, ἀλλὰ κατέληξεν εἰς γλῶσσαν παραινετικήν, εὐγενῆ καὶ μεγαλοπρεπῆ.

Πόν σιωπά του διαλόγου ἄρα ειόνγρ. σφ. 82 κ.ε

ΥΠΟΥΡΓΕΙΟΝ ΠΡΟΝΟΙΑΣ ΚΥΒΕΡΝΗΣΕΩΣ - ΕΛΛΗΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΗΜΑΡΤΗΜΕΝΩΝ ΔΙΟΡΘΩΣΙΣ

Σελ.	*Στίχ.*	*Ἀντὶ*	*Ἀνάγνωθι*
18	32	αὐτὸν	αὐτὸν
58	29	εὐρόνωτοι	εὐρύνωτοι
62	10	ἤ οἱ ἀγαθοὶ ἔπρεπε νὰ ἦ-ναι μᾶλλον κακοί.	ἤ οἱ κακοὶ ἔπρεπε νὰ ἦναι μᾶλλον ἀγαθοί.
65	17	ἐρωτᾷ	ἐρωτᾷ
73	31	εἶδον	εἶδος
83	29	Einleitunhg	Einleitung
138	9	δυσχερίας	δυσχερείας
155	17	εἰρημένου	εἰρημένον
158	7	οἵτινες	οἵτινες
169	37	συνάδειν	συνᾴδειν
186	12	eoncessa	concessa
190	16	ἀπεικονίζεται	ἀπεικονίζεται
209	22	Ὀλλανδὸς	Ὁλλανδὸς
236	19	Ἐγίνωσκε ἀλλὰ	Ἐγίνωσκεν, ἀλλὰ
258	5	ἦ	ἦ
308	21	πληρώση	πληρώσῃ
312	13	συγγενένεσθαι	συγγενέσθαι
356	20	καταδείξῃ	καταδείξει
364	11	μεῖζον, μέν	μεῖζον μέν,
366	9	ἀδικήσῳμεν	ἀδικήσωμεν
367	1	δοκεί	δοκεῖ
377	3	τῳ θεῷ	τῷ θεῷ
»	39	ιτότητος	λιτότητος
388	22	ἐκεῖον	ἐκεῖνο
»	30	Λακεδαιμονίου	Λακεδαιμονίους
389	27	ὁμολαγοίη	ὁμολογοίη
392	17	Μιλτιάδης	Μιλτιάδης
»	33	εὕρηνται	εὕρηνται
396	27	ἀρτωπόλιον	ἀρτοπώλιον
400	11	γνοῦν	γοῦν
409	24	τυχνάκις	συχνάκις
410	35	μετριάση	μετριάσῃ
411	11	ἐγὼ μὲ	ἐγὼ δὲ
»	18	γλώσση	γλώσσῃ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑαυτῆς = εἰμοῦ = ἀφ' ἐμαυτοῦ

δοί = Αἰολικὸ ἀντὶ δέ ἢ δή με ἐπικλιματικὸν χαρακτῆρα ἐξ ἀναλογίας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤΙΣΜΟΥ ΚΑΙ ΕΠΙΣΤΗΜΩΝ

ΚΙΝΗΤΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

ΗΜΕΡΟΜΗΝΙΑ ΕΠΙΣΤΡΟΦΗΣ

800
ΠΛ

ΠΛΑΤΩΝΟΣ ΓΟΡΓΙΑΣ

άριθ. χρ. 42

Ημερομηνία επιστροφής | ΟΝΟΜΑΤΕΠΩΝΥΜΟΝ

ΥΠΟΥΡΓΕΙΟΝ ΒΟΥΛΗΣ ΜΟΥ

Ανηκουσα Κεντρικη Βιβλιοθηκη Βασιλικου



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας